Αἱ ἐνδείξεις πάλιν, ἄλλαι μὲν ἀπὸ τὸ γενικὸν φαίνονται ὅτι ἀποδεικνύουν τὸ μερικόν, ἄλλαι δὲ ἀπὸ τὸ μερικὸν τὸ γενικόν. Καὶ αἱ μὲν ἀναγκαῖαι ἐνδείξεις καλοῦνται τεκμήριαι, αἱ δὲ ἄλλαι δὲν ἔχουν ὄνομα πρὸς ἰδιαιτέραν διάκρισίν των.

Λέγω δὲ ἀναγκαίας τὰς ἐνδείξεις ἀπὸ τὰς ὁποίας ἠμπορεῖ νὰ συναχθῇ ἕνας συλλογισμός. Διὰ τοῦτο μεταξὺ τῶν ἐνδείξεων τὸ τεκμήριον ἔχει αὐτὴν τὴν ἰδιότητα. Διότι ὅταν ἐκεῖνο ποὺ ἐλέχθη νομισθῇ ὅτι δὲν εἶναι δυνατὸν νὰ ἀνασκευασθῇ, τότε λέγομεν ὅτι παρήχθη τεκμήριον, ὡς κάτι τελειωτικῶς ἀποδεδειγμένον. Καὶ πράγματι, εἰς τὴν ἀρχαίαν γλῶσσαν αἱ λέξεις τέκμαρ καὶ πέρας εἶχαν τὴν ἰδίαν σημασίαν [3].

'Εκ τῶν ἐνδείξεων ἄλλαι μέν, ὅπως εἴπομεν, χωροῦν ἀπὸ τὸ μερικὸν εἰς τὸ γενικὸν κατὰ τὸν ἑξῆς τρόπον. "Αν εἴπωμεν λόγου χάριν ὅτι, ἐπειδὴ ὁ Σωκράτης ἦτο σοφὸς καὶ δίκαιος, ὑπάρχει ἔνδειξις ὅτι οἱ σοφοὶ εἶναι καὶ δίκαιοι. Αὐτὸ εἶναι ἔνδειξις, ἀλλ' εἶναι δυνατὸν νὰ ἀνασκευασθῇ καὶ ἂν ἀκόμη ὑποθέσωμεν ὅτι εἰς τὴν εἰδικὴν περίπτωσιν ὅπου ἐλέχθη εἶναι ἀληθές. Διότι μὲ τὴν ἔνδειξιν αὐτὴν δὲν ἠμπορεῖ νὰ κατασκευασθῇ συλλογισμός. Παρουσιάζονται ὅμως καὶ ὡς ἑξῆς: Κάποιος εἶναι ἄρρωστος, καὶ ἔνδειξις περὶ τούτου εἶναι τὸ ὅτι ἔχει πυρετόν. "Η κάποια ἔχει γάλα, καὶ αὐτὸ εἶναι ἔνδειξις ὅτι ἐγέννησε. Αἱ ἐνδείξεις

μόνον γάρ, ἂν ἀληθὲς ᾖ, ἄλυτόν ἐστιν. Τὸ δὲ ὡς τὸ καθόλου πρὸς τὸ κατὰ μέρος ἔχον, οἷον εἴ τις εἴπειεν, ὅτι πυρέττει, σημεῖον εἶναι, πυκνὸν γὰρ ἀναπνεῖ. Λυτὸν δὲ καὶ τοῦτο, κἂν ἀληθὲς ᾖ· ἐνδέχεται γὰρ καὶ μὴ πυρέττοντα πνευστιᾶν. Τί μὲν οὖν εἰκός ἐστι καὶ τί σημεῖον καὶ τεκμήριον, καὶ τί διαφέρουσιν, εἴρηται μὲν καὶ νῦν, μᾶλλον δὲ φανερῶς καὶ περὶ τούτων, καὶ διὰ τίν' αἰτίαν τὰ μὲν ἀσυλλόγιστά ἐστι τὰ δὲ συλλελογισμένα, ἐν τοῖς ἀναλυτικοῖς (Anal. prior. II, 27) *διώρισται περὶ αὐτῶν.*

Παράδειγμα δὲ ὅτι μέν ἐστιν ἐπαγωγὴ καὶ περὶ ποῖα ἐπαγωγή, εἴρηται· ἔστι δὲ οὔτε ὡς μέρος πρὸς ὅλον οὔθ' ὡς ὅλον πρὸς μέρος οὔθ' ὡς ὅλον πρὸς ὅλον, ἀλλ' ὡς μέρος πρὸς μέρος, ὅμοιον πρὸς ὅμοιον, ὅταν ἄμφω μὲν ᾖ ὑπὸ τὸ αὐτὸ γένος, γνωριμώτερον δὲ θάτερον ᾖ θατέρου, παράδειγμά ἐστιν· οἷον ὅτι ἐπιβουλεύει τυραννίδι Διονύσιος αἰτῶν τὴν φυλακήν· καὶ γὰρ Πεισίστρατος πρότερον ἐπιβουλεύων ᾔτει φυλακὴν καὶ λαβὼν ἐτυράννευσε, καὶ Θεαγένης ἐν Μεγάροις· καὶ ἄλλοι ὅσους ἴσασι, παράδειγμα πάντες γίγνονται τοῦ Διονυσίου, ὃν οὐκ ἴσασίν πω εἰ διὰ τοῦτο αἰτεῖ. Πάντα δὲ ταῦτα ὑπὸ τὸ αὐτὸ καθόλου, ὅτι ὁ ἐπιβουλεύων τυραννίδι φυλακὴν αἰτεῖ.

1358 a *Ἐξ ὧν μὲν οὖν λέγονται αἱ δοκοῦσαι εἶναι πίστεις ἀποδεικτικαί, εἴρηται. Τῶν δὲ ἐνθυμημάτων μεγίστη διαφορὰ καὶ μάλιστα λεληθυῖα σχεδὸν παρὰ πᾶσίν ἐστιν ἥπερ καὶ περὶ τὴν διαλεκτικὴν μέθοδον τῶν συλλογισμῶν· τὰ μὲν γὰρ αὐτῶν ἐστι κατὰ τὴν ῥητορικὴν ὥσπερ καὶ κατὰ τὴν διαλε-*

αὐταὶ εἶναι ἀναγκαῖαι. Καὶ μόνον αἱ ἐνδείξεις αὐτοῦ τοῦ εἴδους εἶναι τεκμήρια. Διότι αὐταὶ μόναι, ἂν εἶναι ἀληθῆ τὰ δεδομένα ἐπὶ τῶν ὁποίων στηρίζονται, δὲν εἶναι δυνατὸν νὰ ἀνασκευασθοῦν. Ἂς ἴδωμεν τώρα τὰς ἐνδείξεις ποὺ ἀπὸ τὸ γενικὸν χωροῦν πρὸς τὸ μερικόν. Ἂν κάποιος, λόγου χάριν, εἴπῃ ὅτι ὁ δεῖνα ἀναπνέει γρήγορα, καὶ αὐτὸ εἶναι ἔνδειξις ὅτι ἔχει πυρετόν. Ἀλλὰ καὶ αὐτό, καὶ ἐὰν εἰς τὴν συγκεκριμένην περίπτωσιν ἀληθεύῃ, δύναται (ὡς γενικὸν συμπέρασμα) νὰ ἀνασκευασθῇ. Διότι εἶναι δυνατὸν νὰ πνευστιᾷ κανεὶς χωρὶς νὰ ἔχῃ πυρετόν. Ἔτσι λοιπὸν ἔχομεν ἐξηγήσει καὶ τώρα τί εἶναι πιθανόν, τί εἶναι ἔνδειξις, τί εἶναι τεκμήριον καὶ ποῖαι αἱ μεταξύ των διαφοραί. Εἰς δὲ τὰ Ἀναλυτικὰ ἐξεθέσαμεν σαφέστερα τὰ περὶ αὐτῶν καὶ τὴν αἰτίαν διὰ τὴν ὁποίαν μερικὰ ἀπ' αὐτὰ δὲν ἠμποροῦν νὰ ἀποτελέσουν μέρος λογικοῦ συλλογισμοῦ, ἐνῷ ἄλλα πάλιν ἠμποροῦν.

Ὡς πρὸς τὸ παράδειγμα, ἐλέχθη προηγουμένως ὅτι εἶναι ἐπαγωγὴ καὶ εἰς ποῖα θέματα εἶναι δυνατὸν νὰ ἐφαρμοσθῇ. Δὲν ἔχει τὴν σχέσιν τοῦ μερικοῦ πρὸς τὸ γενικόν, οὔτε τοῦ γενικοῦ πρὸς τὸ μερικόν, οὔτε τοῦ γενικοῦ πρὸς τὸ γενικόν. Ἔχει τὴν σχέσιν τοῦ μερικοῦ πρὸς τὸ μερικὸν καὶ τοῦ ὁμοίου πρὸς τὸ ὅμοιον. Ἔχομεν παράδειγμα ὅταν καὶ αἱ δύο προτάσεις εἶναι μέρη τοῦ αὐτοῦ γένους, ἀλλ' ἡ μία εἶναι γνωστοτέρα ἀπὸ τὴν ἄλλην. Ἔτσι διὰ ν' ἀποδείξωμεν ὅτι ὁ Διονύσιος, ἀφοῦ ζητεῖ σωματοφυλακήν, ἐπιδιώκει νὰ γίνῃ τύραννος, ἀναφέρομεν ὅτι καὶ ὅτι ὁ Πεισίστρατος προηγουμένως, ὅταν ἐπεδίωκε νὰ γίνῃ τύραννος, ἐζήτησε νὰ τοῦ δοθῇ σωματοφυλακὴ καί, ἅμα τοῦ ἐδόθη, ἔγινε τύραννος, ὅπως καὶ ὁ Θεαγένης εἰς τὰ Μέγαρα. Καὶ αὐτοὶ καὶ ὅλοι οἱ ἄλλοι, ὅσοι εἶναι γνωστοί, γίνονται παράδειγμα διὰ τὸν Διονύσιον, ποὺ ἀκόμη δὲν εἶναι γνωστὸν ἂν δι' αὐτὸν τὸν σκοπὸν ζητεῖ σωματοφυλακήν. Ὅλα δὲ αὐτὰ ὑπάγονται ὑπὸ τὴν αὐτὴν γενικὴν κρίσιν, ὅτι ἐκεῖνος ποὺ ἐπιδιώκει νὰ γίνῃ τύραννος, ζητεῖ πρῶτον νὰ τοῦ δοθῇ σωματοφυλακή. Ἐξεθέσαμεν λοιπὸν ἀπὸ ποῖα στοιχεῖα ἀποτελοῦνται αἱ ἀποδείξεις ποὺ φαίνονται πειστικαί.

Μεταξὺ δὲ τῶν ἐνθυμημάτων ὑπάρχει πολὺ μεγάλη διαφορά, ἡ ὁποία ἔχει διαφύγει τελείως τὴν προσοχὴν σχεδὸν ὅλων ὅσοι ἔχουν ἀσχοληθῆ μὲ τὴν ρητορικὴν καὶ ἡ ὁποία συναντᾶται ἐπίσης καὶ εἰς τὴν διαλεκτικὴν μέθοδον τῶν συλ-

κτικὴν μέθοδον τῶν συλλογισμῶν, τὰ δὲ κατ' ἄλλας τέχνας καὶ δυνάμεις, τὰς μὲν οὔσας τὰς δ' οὔπω κατειλημμένας· διὸ καὶ λανθάνουσίν τε [τοὺς ἀκροατάς], καὶ μᾶλλον ἁπτόμενοι κατὰ τρόπον μεταβαίνουσιν ἐξ αὐτῶν. Μᾶλλον δὲ σαφὲς ἔσται τὸ λεγόμενον διὰ πλειόνων ῥηθέν. Λέγω γὰρ διαλεκτικούς τε καὶ ῥητορικοὺς συλλογισμοὺς εἶναι περὶ ὧν τοὺς τόπους λέγομεν. Οὗτοι δ' εἰσὶν οἱ κοινοὶ περὶ δικαίων καὶ φυσικῶν καὶ περὶ πολιτικῶν καὶ περὶ πολλῶν διαφερόντων εἴδει, οἷον ὁ τοῦ μᾶλλον καὶ ἧττον τόπος· οὐδὲν γὰρ μᾶλλον ἔσται ἐκ τούτου συλλογίσασθαι ἢ ἐνθύμημα εἰπεῖν περὶ δικαίων ἢ περὶ φυσικῶν ἢ περὶ ὁτουοῦν· καίτοι ταῦτα εἴδει διαφέρει. Ἴδια δὲ ὅσα ἐκ τῶν περὶ ἕκαστον εἶδος καὶ γένος προτάσεών ἐστιν, οἷον περὶ φυσικῶν εἰσι προτάσεις ἐξ ὧν οὔτε ἐνθύμημα οὔτε συλλογισμός ἐστι περὶ τῶν ἠθικῶν, καὶ περὶ τούτων ἄλλαι ἐξ ὧν οὐκ ἔσται περὶ τῶν φυσικῶν· ὁμοίως δὲ τοῦτ' ἔχει ἐπὶ πάντων. Κἀκεῖνα μὲν οὐ ποιήσει περὶ οὐδὲν γένος ἔμφρονα· περὶ οὐδὲν γὰρ ὑποκείμενόν ἐστιν· ταῦτα δὲ ὅσῳ τις ἂν βελτίω ἐκλέγηται, [τὰς προτάσεις] λήσει ποιήσας ἄλλην ἐπιστήμην τῆς διαλεκτικῆς καὶ ῥητορικῆς· ἂν γὰρ ἐντύχῃ ἀρχαῖς, οὐκέτι διαλεκτικὴ οὐδὲ ῥητορικὴ ἀλλ' ἐκείνη ἔσται ἧς ἔχει τὰς ἀρχάς. Ἔστι δὲ τὰ πλεῖστα τῶν ἐνθυμημάτων ἐκ τούτων τῶν εἰδῶν λεγόμενα τῶν κατὰ μέρος καὶ

1. Βλ. βιβλ. Β' κεφ. 23 καὶ 24, καθὼς καὶ εἰσαγωγικόν μου σημείωμα.
2. Δηλ. ἐκείνους ποὺ δὲν ἀναφέρονται εἰς τὴν ρητορικὴν καὶ διαλεκτικήν.

λογισμῶν. Ἄλλα μὲν ἐνθυμήματα ἀνάγονται εἰς τὴν ρητορικήν, ὅπως ἀκριβῶς καὶ συλλογισμοί τινες ἀνάγονται εἰς τὴν διαλεκτικήν. Ἄλλα ὅμως ἀναφέρονται εἰς ἄλλας τέχνας καὶ ἱκανότητας, ἀπὸ τὰς ὁποίας μερικαὶ μὲν ὑπάρχουν, ἄλλαι ὅμως δὲν εἶναι ἀκόμη γνωσταί. Ἔτσι πολλοὶ ρήτορες, χωρὶς νὰ τὸ ἀντιληφθοῦν οἱ ἀκροαταί των, ἐπιδίδονται ἰδιαιτέρως καὶ ὑπερβολικὰ εἰς ἐνθυμήματα ξένα πρὸς τὴν ρητορικήν. Ἀλλὰ τοῦτο θὰ γίνῃ περισσότερον ἀντιληπτόν, ὅταν, κατωτέρω τὸ ἀναπτύξωμεν ἐκτενέστερον.

Ὀνομάζω ρητορικοὺς καὶ διαλεκτικοὺς συλλογισμοὺς ἐκείνους ποὺ χρησιμοποιοῦμεν διὰ νὰ ἀναπτύξωμεν τοὺς κοινοὺς τόπους [1]. Αὐτοὶ εἶναι κοιναὶ κρίσεις ποὺ ἠμποροῦν νὰ ἐφαρμοσθοῦν καὶ εἰς τὸ δίκαιον καὶ εἰς τὴν φυσικὴν καὶ εἰς τὴν πολιτικὴν καὶ εἰς διάφορα ἄλλα εἰδικὰ ζητήματα, ὅπως λόγου χάριν ὁ κοινὸς τόπος περὶ τοῦ περισσοτέρου καὶ τοῦ ὀλιγωτέρου. Διότι ἀπὸ αὐτὸν ἠμποροῦμεν ἐξ ἴσου καλὰ νὰ καταρτίσωμεν συλλογισμὸν ἢ ἐνθύμημα εἴτε ἐπὶ νομικῶν εἴτε ἐπὶ φυσικῶν εἴτε ἐπὶ ὁποιωνδήποτε ἄλλων ζητημάτων. Μολονότι τὸ καθένα ἀπὸ αὐτὰ εἶναι διαφορετικοῦ εἴδους ἀπὸ τὰ ἄλλα. Εἰδικὰ δὲ ἐνθυμήματα εἶναι ἐκεῖνα ποὺ συνάγονται ἀπὸ προτάσεις ποὺ ἀνήκουν μόνον εἰς ἓν ὡρισμένον εἶδος ἢ γένος. Ὑπάρχουν, λόγου χάριν, εἰς τὴν φυσικὴν προτάσεις, ἀπὸ τὰς ὁποίας δὲν ἠμποροῦν νὰ συναχθοῦν ἐνθυμήματα οὔτε συλλογισμοὶ ποὺ νὰ ἔχουν ἐφαρμογὴν εἰς τὰς ἠθικὰς ἐπιστήμας, καὶ πάλιν εἰς τὰς ἠθικὰς ἐπιστήμας ὑπάρχουν προτάσεις ἀπὸ τὰς ὁποίας δὲν ἠμποροῦν νὰ συναχθοῦν ἐνθυμήματα οὔτε συλλογισμοὶ διὰ τὴν φυσικήν. Αὐτὸ δὲ ἐφαρμόζεται ἐπὶ ὅλων τῶν εἰδικῶν ζητημάτων. Καὶ οἱ μὲν ρητορικοὶ καὶ διαλεκτικοὶ συλλογισμοὶ καὶ ἐνθυμήματα δὲν εἶναι δυνατὸν νὰ καταστήσουν κανένα ἱκανὸν διὰ μίαν ὡρισμένην ἐπιστήμην, διότι δὲν ἀναφέρονται εἰς ἓν ὡρισμένον θέμα. Τοὺς δὲ ἄλλους πάλιν συλλογισμοὺς καὶ τὰ ἐνθυμήματα [2], ὅσον καλυτέρας προτάσεις ἐκλέγει ἐκεῖνος ποὺ τοὺς χρησιμοποιεῖ, τόσον, χωρὶς νὰ τὸ καταλάβῃ, θὰ ἔχῃ καταλήξει εἰς τὸ νὰ πραγματευθῇ κάποιαν ἄλλην ἐπιστήμην διαφορετικὴν ἀπὸ τὴν ρητορικὴν καὶ τὴν διαλεκτικήν. Καὶ ἂν συναντήσῃ γενικὰς ἀρχάς, δὲν θ' ἀφοροῦν αὗται πλέον οὔτε τὴν διαλεκτικὴν οὔτε τὴν ρητορικήν, ἀλλὰ τὴν εἰδικὴν ἐπιστήμην ἐκείνην, τῆς ὁποίας κατέχει τὰς γενικὰς ἀρχάς.

Τὰ περισσότερα ἐνθυμήματα ἀνάγονται εἰς αὐτὰ τὰ με-

ἰδίων, ἐκ δὲ τῶν κοινῶν ἐλάττω. Καθάπερ οὖν καὶ ἐν τοῖς τοπικοῖς, καὶ ἐνταῦθα διαιρετέον τῶν ἐνθυμημάτων τά τε εἴδη καὶ τοὺς τόπους ἐξ ὧν ληπτέον. Λέγω δ᾽ εἴδη μὲν τὰς καθ᾽ ἕκαστον γένος ἰδίας προτάσεις, τόπους δὲ τοὺς κοινοὺς ὁμοίως πάντων. Πρότερον οὖν εἴπωμεν περὶ τῶν εἰδῶν· πρῶτον δὲ λάβωμεν τὰ γένη τῆς ῥητορικῆς, ὅπως διελόμενοι πόσα ἐστίν, περὶ τούτων χωρὶς λαμβάνωμεν τὰ στοιχεῖα καὶ τὰς προτάσεις.

3. *Ἔστιν δὲ τῆς ῥητορικῆς εἴδη τρία τὸν ἀριθμόν· τοσοῦτοι γὰρ καὶ οἱ ἀκροαταὶ τῶν λόγων ὑπάρχουσιν ὄντες. Σύγκειται μὲν γὰρ ἐκ τριῶν ὁ λόγος, ἔκ τε τοῦ λέγοντος καὶ*
1358b *περὶ οὗ λέγει καὶ πρὸς ὅν, καὶ τὸ τέλος πρὸς τοῦτόν ἐστιν, λέγω δὲ τὸν ἀκροατήν. Ἀνάγκη δὲ τὸν ἀκροατὴν ἢ θεωρὸν εἶναι ἢ κριτήν, κριτὴν δὲ ἢ τῶν γεγενημένων ἢ τῶν μελλόντων. Ἔστιν δ᾽ ὁ μὲν περὶ τῶν μελλόντων κρίνων οἷον ἐκκλησιαστής, ὁ δὲ περὶ τῶν γεγενημένων οἷον ὁ δικαστής, ὁ δὲ [περὶ] τῆς δυνάμεως [ὁ] θεωρός, ὥστ᾽ ἐξ ἀνάγκης ἂν εἴη τρία γένη τῶν λόγων τῶν ῥητορικῶν, συμβουλευτικόν, δικανικόν, ἐπιδεικτικόν. Συμβουλῆς δὲ τὸ μὲν προτροπὴ τὸ δὲ ἀποτροπή· ἀεὶ γὰρ καὶ οἱ ἰδίᾳ συμβουλεύοντες καὶ οἱ κοινῇ δημηγοροῦντες τούτων θάτερον ποιοῦσιν. Δίκης δὲ τὸ μὲν κατηγορία τὸ δ᾽ ἀπολογία· τούτων γὰρ ὁποτερονοῦν ποιεῖν ἀνάγκη τοὺς ἀμφισβητοῦντας. Ἐπιδεικτικοῦ δὲ τὸ μὲν ἔπαινος τὸ δὲ ψόγος. Χρόνοι δὲ ἑκάστου τούτων εἰσὶ τῷ*

---

1. Θεωρός: Ἐννοεῖ τὸν ἀκροατὴν τῶν πανηγυρικῶν λόγων.

2. Ὁ ἀκροατὴς τοῦ πανηγυρικοῦ κρίνει περὶ τῆς ἀξίας ἑνὸς προσώπου ἢ ἑνὸς γεγονότος καὶ ὄχι, ὅπως πολλάκις ἔχει μεταφρασθῆ, περὶ τῆς ἀξίας τοῦ ῥήτορος ἢ τοῦ πανηγυρικοῦ λόγου.

ρικὰ καὶ ἰδιαίτερα εἴδη καὶ πολὺ ὀλιγώτερα προέρχονται ἀπὸ τοὺς κοινοὺς τόπους. Πρέπει λοιπὸν καὶ ἐδῶ νὰ διακρίνωμεν, ὅπως ἐπράξαμεν καὶ εἰς τὰ Τοπικά, τὰ εἴδη καὶ τοὺς τόπους ἀπὸ τοὺς ὁποίους θὰ συνάγωμεν ἐνθυμήματα. Ὀνομάζω δὲ εἴδη μὲν τὰς προτάσεις ποὺ λαμβάνομεν ἀπὸ ὡρισμένην εἰδικὴν κατηγορίαν γνώσεων, τόπους δὲ ἐκείνας ποὺ εἶναι κοιναὶ εἰς ὅλα τὰ εἴδη. Ἂς ὁμιλήσωμεν πρῶτον περὶ τῶν εἰδῶν. Ἂς ἐξετάσωμεν δὲ προηγουμένως τὰ εἴδη τῆς ρητορικῆς καί, ἀφοῦ διακρίνωμεν πόσα εἶναι, ἂς ἐξετάσωμεν ἰδιαιτέρως τὰ στοιχεῖα καὶ τὰς προτάσεις ποὺ ἀνάγονται εἰς ἓν ἕκαστον ἐξ αὐτῶν.

3. ΤΑ ΤΡΙΑ ΕΙΔΗ ΤΟΥ ΡΗΤΟΡΙΚΟΥ ΛΟΓΟΥ. Ο ΠΟΛΙΤΙΚΟΣ, Ο ΔΙΚΑΝΙΚΟΣ ΚΑΙ Ο ΠΑΝΗΓΥΡΙΚΟΣ

Ὑπάρχουν τρία εἴδη ρητορικῆς. Διότι καὶ οἱ ἀκροαταὶ εἶναι τριῶν εἰδῶν. Καὶ ὁ ρητορικὸς δὲ λόγος ἀποτελεῖται ἀπὸ τρία στοιχεῖα. Ἀπὸ τὸν ρήτορα, ἀπὸ τὸ θέμα τοῦ λόγου καὶ ἀπὸ τὸ ἀκροατήριον. Καὶ ὁ τελικὸς σκοπὸς τοῦ λόγου ἀφορᾷ τὸ τρίτον τοῦτο στοιχεῖον, δηλ. τὸ ἀκροατήριον.

Κατ' ἀνάγκην ὁ ἀκροατὴς ἢ ἁπλῶς παρίσταται [1] κατὰ τὴν ἐμφάνισιν τοῦ λόγου, ἢ εἶναι κριτὴς (μὲ ἁρμοδιότητα νὰ ἀποφασίσῃ ἐπὶ τοῦ θέματος τῆς ἀγορεύσεως). Ἐὰν εἶναι κριτής, κρίνει ἢ περὶ τῶν πραγμάτων ποὺ ἔγιναν ἤδη, ἢ περὶ ἐκείνων ποὺ πρόκειται νὰ γίνουν. Τὸ μέλος, λόγου χάριν, μιᾶς πολιτικῆς συνελεύσεως κρίνει περὶ τῶν μελλόντων, ὁ δὲ δικαστὴς περὶ ὅσων ἔχουν γίνει. Ὁ δὲ ἁπλῶς παριστάμενος κρίνει περὶ τῆς ἀξίας ἑνὸς προσώπου ἢ ἑνὸς γεγονότος [2].

Κατ' ἀνάγκην λοιπὸν ὑπάρχουν ἐπίσης τρία εἴδη λόγων, ὁ πολιτικός, ὁ δικανικὸς καὶ ὁ πανηγυρικός. Ὁ πολιτικὸς ἀποβλέπει εἰς τὸ νὰ παροτρύνῃ ἢ νὰ ἀποτρέψῃ. Πράγματι δέ, καὶ ἐκεῖνοι ποὺ ἰδιαιτέρως συμβουλεύουν ἕνα γνωστόν των, καὶ ἐκεῖνοι ποὺ δημηγοροῦν ἐνώπιον τοῦ λαοῦ, πάντοτε κάμνουν ἢ τὸ ἓν ἢ τὸ ἄλλο. Ἡ δίκη δὲ πάλιν περιέχει ἀφ' ἑνὸς μὲν τὴν κατηγορίαν, ἀφ' ἑτέρου δὲ τὴν ὑπεράσπισιν. Οἱ διάδικοι, πράγματι, κατ' ἀνάγκην ἢ τὸ ἕνα κάμνουν ἢ τὸ ἄλλο ἀπ' αὐτὰ τὰ δύο. Τέλος ὁ πανηγυρικὸς λόγος περιέχει ἄλλοτε μὲν τὸν ἔπαινον, ἄλλοτε δὲ τὴν κατάκρισιν.

μὲν συμβουλεύοντι ὁ μέλλων· περὶ γὰρ τῶν ἐσομένων συμβουλεύει ἢ προτρέπων ἢ ἀποτρέπων, τῷ δὲ δικαζομένῳ ὁ γενόμενος· περὶ γὰρ τῶν πεπραγμένων ἀεὶ ὁ μὲν κατηγορεῖ ὁ δὲ ἀπολογεῖται, τῷ δ' ἐπιδεικτικῷ κυριώτατος μὲν ὁ παρών· κατὰ γὰρ τὰ ὑπάρχοντα ἐπαινοῦσιν ἢ ψέγουσιν πάντες, προσχρῶνται δὲ πολλάκις καὶ τὰ γενόμενα ἀναμιμνήσκοντες καὶ τὰ μέλλοντα προεικάζοντες. Τέλος δὲ ἑκάστοις τούτων ἕτερόν ἐστι, καὶ τρισὶν οὖσι τρία, τῷ μὲν συμβουλεύοντι τὸ συμφέρον καὶ βλαβερόν· ὁ μὲν γὰρ προτρέπων ὡς βέλτιον συμβουλεύει, ὁ δὲ ἀποτρέπων ὡς χεῖρον ἀποτρέπει, τὰ δ' ἄλλα πρὸς τοῦτο συμπαραλαμβάνει ἢ δίκαιον ἢ ἄδικον, ἢ καλὸν ἢ αἰσχρόν· τοῖς δὲ δικαζομένοις τὸ δίκαιον καὶ τὸ ἄδικον, τὰ δ' ἄλλα καὶ οὗτοι συμπαραλαμβάνουσι πρὸς ταῦτα· τοῖς δ' ἐπαινοῦσιν καὶ ψέγουσιν τὸ καλὸν καὶ τὸ αἰσχρόν, τὰ δ' ἄλλα καὶ οὗτοι πρὸς ταῦτα ἐπαναφέρουσιν. Σημεῖον δ' ὅτι τὸ εἰρημένον ἑκάστοις τέλος· περὶ μὲν γὰρ τῶν ἄλλων ἐνίοτε οὐκ ἂν ἀμφισβητήσαιεν, οἷον ὁ δικαζόμενος ὡς οὐ γέγονεν ἢ οὐκ ἔβλαψεν· ὅτι δ' ἀδικεῖ, οὐδέ ποτ' ἂν ὁμολογήσειεν· οὐδὲν γὰρ ἂν ἔδει δίκης. Ὁμοίως δὲ καὶ οἱ συμβουλεύοντες τὰ μὲν ἄλλα πολλάκις προΐενται, ὡς δὲ ἀσύμφορα συμβουλεύουσιν ἢ ἀπ' ὠφελίμων ἀποτρέπουσιν οὐκ ἂν ὁμολογήσαιεν· ὡς δ' οὐκ ἄδικον τοὺς ἀστυγείτονας καταδουλοῦσθαι καὶ τοὺς μηδὲν ἀδικοῦντας, πολλάκις οὐδὲν φροντίζουσιν. Ὁμοίως δὲ καὶ

Τὸ καθένα ἀπ' αὐτὰ τὰ εἴδη ἀναφέρεται εἰς ἄλλην περίοδον χρόνου. Ὁ πολιτικὸς ἀναφέρεται εἰς τὸ μέλλον. Πράγματι, δίδει κανεὶς πάντοτε συμβουλὰς δι' ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν εἰς τὸ μέλλον, εἴτε ὑποστηρίζων εἴτε καταπολεμῶν μίαν πρότασιν. Ὁ δικανικὸς λόγος ἀφορᾷ τὸ παρελθόν, διότι πάντοτε περὶ ἐκείνων ποὺ ἔχουν ἤδη πραχθῆ ὁ μὲν εἰς κατηγορεῖ, ὁ δ' ἕτερος ἀπολογεῖται. Ὁ πανηγυρικὸς δὲ λόγος ἀναφέρεται μὲν κυρίως εἰς τὴν παροῦσαν χρονικὴν περίοδον, διότι γενικῶς ὁ ἔπαινος ἢ ἡ μομφὴ ἀποδίδονται εἰς ἐπίκαιρα γεγονότα, συχνὰ ὅμως, ἐκτὸς αὐτῶν, χρησιμοποιεῖται καὶ ὑπενθυμίζεται τὸ παρελθὸν ἢ διατυπώνονται προβλέψεις διὰ τὸ μέλλον.

Τέλος τὸ κάθε εἶδος ἀπ' αὐτὰ ἀποβλέπει εἰς ἰδιαίτερον σκοπόν. Εἰς τὰ τρία λοιπὸν εἴδη ἀντιστοιχοῦν τρεῖς διαφορετικοὶ σκοποί. Ὁ συμβουλεύων ἐξετάζει τί συμφέρει καὶ τί εἶναι ἐπιζήμιον. Διότι ἐκεῖνος ποὺ παροτρύνει, παρουσιάζει τὴν πρότασίν του ὡς συμφέρουσαν, ἐκεῖνος δὲ ποὺ ἀποτρέπει, προσπαθεῖ ν' ἀποδείξῃ ὅτι εἶναι ἐπιζημία. Χρησιμοποιεῖ δὲ μόνον ἐπιβοηθητικῶς καὶ ἐπιχειρήματα ποὺ ἁρμόζουν εἰς τὰ ἄλλα δύο εἴδη τοῦ λόγου, ὅπως τὸ δίκαιον καὶ τὸ ἄδικον, ἡ ἀρετὴ καὶ ἡ κακία. Εἰς τὰς δικαστικὰς δὲ ὑποθέσεις οἱ ὁμιληταὶ ἀποβλέπουν εἰς τὸ δίκαιον ἢ εἰς τὸ ἄδικον. Καὶ ἐδῶ ὅμως πάλιν ἐπιβοηθητικῶς γίνεται χρῆσις ἐπιχειρημάτων ποὺ ἁρμόζουν εἰς τὰ ἄλλα εἴδη τοῦ λόγου. Τέλος ἐκεῖνοι, οἱ ὁποῖοι ἐπαινοῦν ἢ μέμφονται, ἐξετάζουν τὴν ἀρετὴν καὶ τὴν κακίαν καὶ εἰς αὐτὰ ἑνώνουν ἐπίσης ἐπιχειρήματα ποὺ ἀντλοῦν ἀπὸ τὰ δύο ἄλλα εἴδη τοῦ λόγου.

Τὰ ἑξῆς ἀποδεικνύουν ὅτι πράγματι κάθε εἶδος λόγου ἔχει τὸν ἰδιαίτερον σκοπὸν ποὺ ἐξεθέσαμεν. Συμβαίνει συχνὰ οἱ ρήτορες νὰ μὴ ἀμφισβητήσουν καθόλου ὡρισμένα σημεῖα ξένα πρὸς τὸν σκοπόν των. Ἠμπορεῖ, λόγου χάριν, ὁ δικανικὸς ρήτωρ νὰ παραδεχθῇ ὅτι τὸ δεῖνα γεγονὸς δὲν ἔλαβε χώραν, ἢ δὲν ἔφερε ζημίαν. Ἀλλὰ ποτὲ δὲν θὰ ὁμολογήσῃ ὅτι ὑπέπεσεν εἰς ἀδίκημα. Διότι τότε δὲν θὰ ἐχρειάζετο κἂν νὰ γίνῃ δίκη. Κατὰ τὸν αὐτὸν τρόπον, ὁ πολιτικὸς ρήτωρ εἶναι δυνατὸν νὰ ἀδιαφορήσῃ δι' ἄλλα σημεῖα, ἀλλὰ ποτὲ δὲν θὰ παραδεχθῇ ὅτι ἐκεῖνο ποὺ συμβουλεύει δὲν συμφέρει εἰς τὴν πολιτείαν, ἢ ὅτι ἡ πρότασις τὴν ὁποίαν καταπολεμεῖ εἶναι συμφέρουσα. Πολλάκις ὅμως δὲν καταβάλλει καμμίαν φροντίδα διὰ νὰ ἐξετάσῃ ἂν δὲν εἶναι ἄδικον νὰ ἐπιχειρηθῇ ἡ ὑποδούλωσις ἑνὸς γειτονικοῦ λαοῦ, ἐναντίον τοῦ ὁποίου δὲν ὑπάρχει κανὲν παράπονον. Ἐπίσης ἐκεῖνος

οἱ ἐπαινοῦντες καὶ οἱ ψέγοντες οὐ σκοποῦσιν εἰ συμφέ-
1359a ροντα ἔπραξεν ἢ βλαβερά, ἀλλὰ καὶ ἐν ἐπαίνῳ πολλάκις τιθέασιν ὅτι ὀλιγωρήσας τοῦ αὐτῷ λυσιτελοῦντος ἔπραξεν ὅ τι καλόν, οἷον Ἀχιλλέα ἐπαινοῦσιν ὅτι ἐβοήθησε τῷ ἑταίρῳ Πατρόκλῳ εἰδὼς ὅτι δεῖ αὐτὸν ἀποθανεῖν ἐξὸν ζῆν. Τούτῳ δὲ ὁ μὲν τοιοῦτος θάνατος κάλλιον, τὸ δὲ ζῆν συμφέρον.

Φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι ἀνάγκη περὶ τούτων ἔχειν πρῶτον τὰς προτάσεις· τὰ γὰρ τεκμήρια καὶ τὰ εἰκότα καὶ τὰ σημεῖα προτάσεις εἰσὶν ῥητορικαί· ὅλως μὲν γὰρ συλλογισμὸς ἐκ προτάσεών ἐστιν, τὸ δ' ἐνθύμημα συλλογισμός ἐστι συνεστηκὼς ἐκ τῶν εἰρημένων προτάσεων.

Ἐπεὶ δὲ οὔτε πραχθῆναι οἷόν τε οὔτε πραχθήσεσθαι τὰ ἀδύνατα ἀλλὰ τὰ δυνατά, οὐδὲ τὰ μὴ γενόμενα ἢ μὴ ἐσόμενα οὐχ οἷόν τε τὰ μὲν πεπρᾶχθαι τὰ δὲ πραχθήσεσθαι, ἀναγκαῖον καὶ τῷ συμβουλεύοντι καὶ τῷ δικαζομένῳ καὶ τῷ ἐπιδεικτικῷ ἔχειν προτάσεις περὶ δυνατοῦ καὶ ἀδυνάτου, καὶ εἰ γέγονεν ἢ μή, καὶ εἰ ἔσται ἢ μή. Ἔτι δὲ ἐπεὶ ἅπαντες καὶ ἐπαινοῦντες καὶ ψέγοντες καὶ προτρέποντες καὶ ἀποτρέποντες καὶ κατηγοροῦντες καὶ ἀπολογούμενοι οὐ μόνον τὰ εἰρημένα δεικνύναι πειρῶνται ἀλλὰ καὶ ὅτι μέγα ἢ μικρὸν τὸ ἀγαθὸν ἢ τὸ κακόν, ἢ τὸ καλὸν ἢ τὸ αἰσχρόν, ἢ τὸ δίκαιον ἢ τὸ ἄδικον, ἢ καθ' αὑτὰ λέγοντες ἢ πρὸς ἄλληλα ἀντιπαραβάλλοντες, δῆλον ὅτι δέοι ἂν καὶ περὶ μεγέθους καὶ μικρότητος καὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος προτάσεις ἔχειν, καὶ καθόλου καὶ περὶ ἑκάστου, οἷον τί μεῖζον ἀγα-

1. Δηλ. τὸ συμφέρον, τὸ δίκαιον, τὸ ὡραῖον.

ποὺ ἐκφωνεῖ πανηγυρικὸν λόγον διὰ νὰ ἐπαινέσῃ ἢ νὰ ψέξῃ, δὲν ἐξετάζει ἂν ἐκεῖνος, διὰ τὸν ὁποῖον ὁμιλεῖ, ἔκαμεν ὠφελίμους ἢ βλαβερὰς πράξεις· ἀπεναντίας, ἐνῷ τὸν ἐπαινεῖ, ἀποδεικνύει ὅτι ἐξετέλεσε μίαν ὡραίαν πρᾶξιν παραμελήσας τὸ προσωπικόν του συμφέρον. Ἐπαινοῦν, παραδείγματος χάριν, τὸν Ἀχιλλέα, διότι, ἐξεδικήθη τὸν φίλον του Πάτροκλον, ἂν καὶ ἐγνώριζεν ὅτι, ὅταν κάμῃ αὐτὴν τὴν πρᾶξιν, θὰ ἀποθάνῃ, ἐνῷ ἠμποροῦσε νὰ σώσῃ τὴν ζωήν του. Ἦτο ὡραιότερον διὰ τὸν Ἀχιλλέα νὰ ἀποθάνῃ κατ' αὐτὸν τὸν τρόπον. Τὸ συμφέρον του ὅμως ἦτο νὰ διατηρήσῃ τὴν ζωήν του.

Ἀπὸ ὅσα ἐξετέθησαν καθίσταται φανερὸν ὅτι κυρίως αἱ προτάσεις πρέπει νὰ ἀφοροῦν αὐτὰ τὰ σημεῖα[1]. Διότι τὰ τεκμήρια καὶ αἱ πιθανότητες καὶ αἱ ἐνδείξεις εἶναι προτάσεις καθαρῶς ρητορικαί. Καὶ γενικῶς μὲν ὁ συλλογισμὸς ἀποτελεῖται ἀπὸ προτάσεις, τὸ δὲ ἐνθύμημα εἶναι συλλογισμός, ποὺ ἀποτελεῖται ἀπὸ προτάσεις αὐτοῦ τοῦ εἴδους ποὺ ἀνωτέρω ἐξεθέσαμεν.

Ἐπειδὴ εἶναι ἀπαράδεκτον τὸ νὰ ἔχουν γίνει ἢ νὰ πρόκειται νὰ γίνουν εἰς τὸ μέλλον πράγματα ἀδύνατα, ἀλλὰ μόνον τὰ δυνατά, καὶ ἐπίσης εἶναι ἀπαράδεκτον τὸ νὰ ἔχουν συμβῆ ἐκεῖνα ποὺ δὲν ἔχουν συμβῆ, ἢ τὸ νὰ πρόκειται νὰ συμβοῦν ἐκεῖνα ποὺ (ἀναγκαστικὰ) δὲν πρόκειται νὰ συμβοῦν, εἶναι ἀνάγκη καὶ ὁ πολιτικὸς καὶ ὁ δικανικὸς καὶ ὁ πανηγυρικὸς ρήτωρ νὰ διαθέτουν προτάσεις ποὺ νὰ ἀφοροῦν τὸ δυνατὸν καὶ τὸ ἀδύνατον, εἰς τρόπον ὥστε νὰ δύνανται νὰ συναχθοῦν συμπεράσματα ἂν κάτι τι ἔχει γίνει ἢ ὄχι, πρόκειται νὰ γίνῃ ἢ δὲν πρόκειται.

Ἀκόμη, ἀφοῦ ὅλοι οἱ ρήτορες, εἴτε πρόκειται περὶ ἐπαίνου ἢ μομφῆς, εἴτε πρόκειται περὶ προτροπῆς ἢ ἀποτροπῆς, εἴτε πρόκειται περὶ κατηγορίας ἢ ὑπερασπίσεως, προσπαθοῦν ὄχι μόνον ν' ἀποδείξουν ὅσα ἤδη ἔχομεν ἐκθέσει, ἀλλ' ἀκόμη καὶ νὰ ἐξάρουν ἢ νὰ σμικρύνουν τὴν σημασίαν τοῦ καλοῦ ἢ τοῦ κακοῦ, τοῦ ὡραίου ἢ τοῦ ἀσχήμου, ἢ τοῦ δικαίου ἢ τοῦ ἀδίκου (ποὺ περιέχουν τὰ ἀποδειχθέντα πράγματα), εἴτε ἐξεταζόμενα αὐτὰ καθ' ἑαυτὰ εἴτε ἐν συγκρίσει πρὸς ἄλληλα, εἶναι προφανὲς ὅτι πρέπει νὰ προβάλλῃ ὁ ρήτωρ καὶ προτάσεις περὶ τῆς μικρᾶς ἢ μεγάλης ἐκτάσεως καὶ σημασίας καὶ ἀπὸ γενικῆς ἀπόψεως καὶ δι' ἓν

θὸν ἢ ἔλαττον ἢ ἀδίκημα ἢ δικαίωμα· ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων. Περὶ ὧν μὲν οὖν ἐξ ἀνάγκης δεῖ λαβεῖν τὰς προτάσεις, εἴρηται· μετὰ δὲ ταῦτα διαιρετέον ἰδίᾳ περὶ ἑκάστου τούτων, οἷον περὶ ὧν συμβουλὴ καὶ περὶ ὧν οἱ ἐπιδεικτικοὶ λόγοι, τρίτον δὲ περὶ ὧν αἱ δίκαι.

4. *Πρῶτον μὲν οὖν ληπτέον περὶ ποῖα ἀγαθὰ ἢ κακὰ ὁ συμβουλεύων συμβουλεύει, ἐπειδὴ οὐ περὶ ἅπαντα ἀλλ' ὅσα ἐνδέχεται καὶ γενέσθαι καὶ μή. Ὅσα δὲ ἐξ ἀνάγκης ἢ ἔστιν ἢ ἔσται ἢ ἀδύνατον ἢ εἶναι ἢ γενέσθαι, περὶ δὲ τούτων οὐκ ἔστι συμβουλή. Οὐδὲ δὴ περὶ τῶν ἐνδεχομένων ἁπάντων· ἔστιν γὰρ καὶ φύσει ἔνια καὶ ἀπὸ τύχης γινόμενα ἀγαθὰ τῶν ἐνδεχομένων καὶ γίγνεσθαι καὶ μή, περὶ ὧν οὐδὲν πρὸ ἔργου τὸ συμβουλεύειν· ἀλλὰ δῆλον ὅτι περὶ ὅσων ἐστὶν τὸ βουλεύεσθαι. Τοιαῦτα δ' ἐστὶν ὅσα πέφυκεν ἀνάγεσθαι εἰς ἡμᾶς, καὶ ὧν ἡ ἀρχὴ τῆς γενέσεως ἐφ' ἡμῖν ἐστιν· μέχρι*
1359 b *γὰρ τούτου σκοποῦμεν, ἕως ἂν εὕρωμεν εἰ ἡμῖν δυνατὰ ἢ ἀδύνατα πρᾶξαι.*

Καθ' ἕκαστον μὲν οὖν ἀκριβῶς διαριθμήσασθαι καὶ διαλαβεῖν εἰς εἴδη περὶ ὧν εἰώθασι χρηματίζειν, ἔτι δ' ὅσον ἐνδέχεται περὶ αὐτῶν διορίσαι κατὰ τὴν ἀλήθειαν, οὐ δεῖ κατὰ τὸν παρόντα καιρὸν ζητεῖν διὰ τὸ μήτε τῆς ῥητορικῆς εἶναι τέχνης ἀλλ' ἐμφρονεστέρας καὶ μᾶλλον ἀληθινῆς, πολλῷ τε πλείω δεδόσθαι καὶ νῦν αὐτῇ τῶν οἰκείων θεωρημάτων· ὅπερ γὰρ καὶ πρότερον εἰρηκότες τυγχάνομεν, ἀληθές ἐστιν, ὅτι ἡ ῥητορικὴ σύγκειται μὲν ἔκ τε τῆς ἀναλυτικῆς

1. Κυριολεκτικῶς: ὁ ἐκφωνῶν πολιτικὸν λόγον, ὅταν συμβουλεύῃ.

2. Τὸ «ἔμφρων» ἔχει ἐδῶ τὴν σημασίαν ἐπιστήμης ἱκανῆς νὰ κρίνῃ πραγματικὰ ζητήματα, ἐνῷ τῆς ρητορικῆς ἔργον εἶναι μᾶλλον τὸ πῶς θὰ παρουσιασθοῦν τὰ διάφορα ζητήματα καὶ ὄχι αὐτὴ ἡ οὐσία των. Εἶναι μᾶλλον τυπικὴ παρὰ οὐσιαστικὴ τέχνη.

ἕκαστον ζήτημα ἰδιαιτέρως. Νὰ ἐξετάζῃ, λόγου χάριν, ποῖον ἀγαθὸν ἢ ποῖον ἀδίκημα ἢ ποῖον δικαίωμα εἶναι μεγαλύτερον ἢ μικρότερον, καὶ οὕτω καθεξῆς. Ἐξεθέσαμεν ἀνωτέρω ἐπὶ ποίων σημείων πρέπει κατ' ἀνάγκην νὰ βασίζωνται αἱ προτάσεις τοῦ ρήτορος. Κατόπιν τούτου πρέπει νὰ διακρίνωμεν ἕκαστον εἶδος τοῦ ρητορικοῦ λόγου, δηλ. εἰς ποίας περιπτώσεις ὑπάρχει συμβουλή, ἢ πανηγυρικὸς λόγος, ἢ τέλος δικαστικὴ ὑπόθεσις.

4. ΠΕΡΙ ΤΟΥ ΠΟΛΙΤΙΚΟΥ ΛΟΓΟΥ

Πρῶτον πρέπει νὰ ἐξετάσωμεν ποῖα ἀγαθὰ ἢ κακὰ ἔχει ὑπ' ὄψιν του ὁ πολιτικὸς ἀνὴρ ὅταν ἀγορεύῃ [1], ἀφοῦ συμβουλαὶ δὲν δίδονται δι' ὁποιονδήποτε ζήτημα, ἀλλὰ μόνον δι' ἐκεῖνα ποὺ εἶναι δυνατὸν καὶ νὰ γίνουν καὶ νὰ μὴ γίνουν.

Ἀπεναντίας διὰ τὰ γεγονότα τῶν ὁποίων ἡ ὕπαρξις εἴτε εἰς τὸ παρὸν εἴτε εἰς τὸ μέλλον θὰ πραγματοποιηθῇ ἀναγκαστικά, καθὼς καὶ διὰ τὰ γεγονότα ποὺ εἶναι ἀδύνατον νὰ ἔγιναν ἢ νὰ γίνουν, δὲν χωρεῖ συμβουλή.

Ἀκόμη δὲν δίδονται συμβουλαὶ καὶ περὶ ὅλων τῶν πραγμάτων ποὺ εἶναι ἐνδεχόμενον νὰ γίνουν, διότι μερικὰ καλὰ πράγματα, ἀπὸ ἐκεῖνα ποὺ εἶναι ἐνδεχόμενον καὶ νὰ γίνουν καὶ νὰ μὴ γίνουν, πραγματοποιοῦνται ὅλως διόλου φυσικὰ καὶ τυχαῖα. Δι' αὐτά, βέβαια, δὲν ὠφελεῖ νὰ δίδωμεν συμβουλάς. Εἶναι φανερὸν ὅτι θέματα τῶν δημοσίων συζητήσεων εἶναι ἐκεῖνα ποὺ ἐκ φύσεως ἀνάγονται εἰς τὴν πρωτοβουλίαν μας, καθὼς καὶ ἐκεῖνα τῶν ὁποίων ἡ ἀρχὴ τῆς ὑπάρξεως ἐξαρτᾶται ἀπὸ ἡμᾶς. Ἡ δὲ ἔρευνα τῶν ζητημάτων προχωρεῖ μέχρις ὅτου βεβαιωθῶμεν ἂν μᾶς εἶναι ἢ δὲν μᾶς εἶναι δυνατὸν νὰ ἐνεργήσωμεν.

Ἡ λεπτομερὴς καὶ ἀκριβὴς ἀπαρίθμησις ὅλης τῆς ποικιλίας τῶν ὑποθέσεων περὶ τῶν ὁποίων συνήθως δίδονται συμβουλαί, ἡ ὑποδιαίρεσις αὐτῶν εἰς εἴδη, καὶ ἀκόμη ἡ ἐν τῷ μέτρῳ τοῦ δυνατοῦ παροχὴ αὐστηρῶν ὁρισμῶν κάθε εἴδους, δὲν πρέπει νὰ ζητῆται ἀπὸ τὴν παροῦσαν πραγματείαν. Διότι τοῦτο δὲν εἶναι ἔργον τῆς ρητορικῆς τέχνης, ἀλλ' ἑτέρας οὐσιαστικωτέρας [2] καὶ περισσότερον ἀληθινῆς. Καὶ μάλιστα τῆς ἔχει ἤδη δοθῆ ἔκτασις μεγαλυτέρα ἀπὸ ἐκείνην ποὺ τῆς ἀνήκει.

Ἡ ἀλήθεια εἶναι, καθὼς ἐξεθέσαμεν καὶ προηγουμένως, ὅτι ἡ ρητορικὴ ἀποτελεῖται ἀπὸ ἕνα μέρος τῆς ἀναλυτικῆς

ἐπιστήμης καὶ τῆς περὶ τὰ ἤθη πολιτικῆς, ὁμοία δ' ἐστὶν τὰ μὲν τῇ διαλεκτικῇ τὰ δὲ τοῖς σοφιστικοῖς λόγοις. Ὅσῳ δ' ἂν τις ἢ τὴν διαλεκτικὴν ἢ ταύτην μὴ καθάπερ ἂν δυνάμεις ἀλλ' ἐπιστήμας πειρᾶται κατασκευάζειν, λήσεται τὴν φύσιν αὐτῶν ἀφανίσας τῷ μεταβαίνειν ἐπισκευάζων εἰς ἐπιστήμας ὑποκειμένων τινῶν πραγμάτων, ἀλλὰ μὴ μόνον λόγων. Ὅμως δὲ ὅσα πρὸ ἔργου μέν ἐστι διελεῖν, ἔτι δ' ὑπολείπει σκέψιν τῇ πολιτικῇ ἐπιστήμῃ, εἴπωμεν καὶ νῦν.

Σχεδὸν γάρ, περὶ ὧν βουλεύονται πάντες καὶ περὶ ὧν ἀγορεύουσιν οἱ συμβουλεύοντες, τὰ μέγιστα τυγχάνει πέντε τὸν ἀριθμὸν ὄντα· ταῦτα δ' ἐστὶν περί τε πόρων, καὶ πολέμου καὶ εἰρήνης, ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας, καὶ τῶν εἰσαγομένων καὶ ἐξαγομένων, καὶ νομοθεσίας. Ὥστε περὶ μὲν πόρων τὸν μέλλοντα συμβουλεύειν δέοι ἂν τὰς προσόδους τῆς πόλεως εἰδέναι τίνες καὶ πόσαι, ὅπως εἴτε τις παραλείπεται προστεθῇ καὶ εἴ τις ἐλάττων αὐξηθῇ, ἔτι δὲ τὰς δαπάνας τῆς πόλεως ἁπάσας, ὅπως εἴ τις περίεργος ἀφαιρεθῇ καὶ εἴ τις μείζων ἐλάττων γένηται· οὐ γὰρ μόνον πρὸς τὰ ὑπάρχοντα προστιθέντες πλουσιώτεροι γίνονται, ἀλλὰ καὶ ἀφαιροῦντες τῶν δαπανημάτων. Ταῦτα δ' οὐ μόνον ἐκ τῆς περὶ τὰ ἴδια ἐμπειρίας ἐνδέχεται συνορᾶν, ἀλλ' ἀναγκαῖον καὶ τῶν παρὰ τοῖς ἄλλοις εὑρημένων ἱστορικὸν εἶναι πρὸς τὴν περὶ τούτων συμβουλήν.

Περὶ δὲ πολέμου καὶ εἰρήνης τὴν δύναμιν εἰδέναι τῆς πόλεως, ὁπόση τε ὑπάρχει ἤδη καὶ πόσην ἐνδέχεται ὑπάρξαι, καὶ ποία τις ἥ τε ὑπάρχουσά ἐστιν καὶ ἥ τις ἐνδέχεται προσγενέσθαι, ἔτι δὲ πολέμους πῶς καὶ τίνας πεπολέμηκεν.

---

1. Δηλ. ἀπὸ ὅ,τι ἐφαρμόζεται εἰς τὴν χώραν του.

ἐπιστήμης καὶ ἀπὸ ἕνα μέρος τῶν ἠθικῶν καὶ πολιτικῶν ἐπιστημῶν. Ὁμοιάζει δὲ ὑπό τινας ἐπόψεις πρὸς τὴν διαλεκτικὴν καὶ ὑπὸ ἄλλας πρὸς τὴν τέχνην τῶν σοφιστῶν.

Ἐὰν ὅμως καταβάλωμεν προσπάθειαν νὰ μὴ δεχθῶμεν ὅτι ἡ διαλεκτική, καθὼς καὶ ἡ τέχνη ποὺ τώρα μᾶς ἀπασχολεῖ, εἶναι γενικὰ ἐφόδια, ἀλλὰ θελήσωμεν νὰ τὰς ἀναγάγωμεν εἰς αὐτοτελεῖς ἐπιστήμας, χωρὶς νὰ τὸ καταλάβωμεν, θὰ χάσωμεν ἀπὸ μπροστά μας τὴν ἀληθινήν των φύσιν καὶ θὰ τὰς μετατρέψωμεν εἰς ἐπιστήμας, ποὺ ἀφοροῦν ὡρισμένα δεδομένα πράγματα, καὶ ὄχι ἁπλῶς τέχνας, ποὺ ἀφοροῦν μόνον τοὺς λόγους.

Ὁπωσδήποτε θὰ ἐξετάσωμεν τώρα ὅλα ὅσα εἶναι σκόπιμον νὰ διεξέλθωμεν καὶ ἐδῶ, θ' ἀφήσωμεν δὲ εἰς τὴν πολιτικὴν ἐπιστήμην τὴν περὶ αὐτῶν πληρεστέραν ἔρευναν, ἡ ὁποία καὶ ἀνήκει εἰς τὴν ἁρμοδιότητά της. Πράγματι, ὅλα σχεδὸν ὅσα ἀποτελοῦν ἀντικείμενον δημοσίας συζητήσεως, καὶ περὶ τῶν ὁποίων ἀγορεύουν οἱ πολιτικοὶ ἄνδρες, ἀνάγονται εἰς πέντε κατηγορίας. Εἶναι δὲ αὗται ἡ περὶ τῶν δημοσίων οἰκονομικῶν, ἡ περὶ πολέμου καὶ εἰρήνης, ἡ περὶ ἀμύνης τῆς χώρας, ἡ περὶ εἰσαγωγῶν καὶ ἐξαγωγῶν καὶ ἡ περὶ τῆς νομοθεσίας.

Ἐκεῖνος λοιπὸν ποὺ πρόκειται νὰ λάβῃ τὸν λόγον περὶ τῶν δημοσίων οἰκονομικῶν, πρέπει νὰ γνωρίζῃ ποῖα καὶ πόσα εἶναι τὰ δημόσια ἔσοδα, εἰς τρόπον ὥστε, ἂν ἔχῃ λησμονηθῆ κάποιο ἀπ' αὐτά, νὰ προστεθῆ, καὶ ἂν κάποιο ἄλλο εἶναι ἀνεπαρκές, νὰ αὐξηθῆ. Πρέπει ἀκόμη νὰ γνωρίζῃ ὅλας τὰς δημοσίας δαπάνας, ὥστε τῶν μὲν περιττῶν νὰ προτείνῃ τὴν κατάργησιν, τῶν δὲ ὑπερόγκων τὸν περιορισμόν. Διότι δὲν γίνεται κανεὶς πλουσιώτερος μόνον μὲ τὸ νὰ αὐξάνῃ τὰ ὑπάρχοντά του, ἀλλὰ καὶ μὲ τὸ νὰ περιορίζῃ τὰς δαπάνας του. Καὶ δὲν εἶναι δυνατὸν νὰ ἀντιμετωπίζῃ κανεὶς αὐτὰ τὰ ζητήματα μόνον ἀπὸ τὴν ἰδίαν πεῖραν του [1]. Εἶναι ἀνάγκη νὰ γνωρίζῃ καὶ ποῖα μέτρα ἐφαρμόζονται καὶ εἰς τὸ ἐξωτερικόν, διὰ νὰ εἶναι εἰς θέσιν νὰ δίδῃ συμβουλὰς περὶ τοῦ θέματος τούτου.

Διὰ νὰ ὁμιλήσῃ δὲ περὶ πολέμου καὶ εἰρήνης πρέπει νὰ γνωρίζῃ τὴν στρατιωτικὴν δύναμιν τοῦ κράτους, καὶ ἐκείνην ποὺ ὑπάρχει ἤδη καὶ ἐκείνην ποὺ εἶναι δυνατὸν νὰ παρασκευασθῆ. Ἐπίσης νὰ γνωρίζῃ ποίας ἀξίας εἶναι ἡ ὑπάρχουσα καὶ ἐκείνη ποὺ εἶναι δυνατὸν νὰ προστεθῆ εἰς αὐτήν, καὶ εἰς ποίους πολέμους ἔλαβε μέρος καὶ πῶς ἐπολέμησε,

Οὐ μόνον δὲ τῆς οἰκείας πόλεως ἀλλὰ καὶ τῶν ὁμόρων ταῦτα ἀναγκαῖον εἰδέναι. [Ἢ] καὶ πρὸς οὓς ἐπίδοξον πολεμεῖν, ὅπως πρὸς μὲν τοὺς κρείττους εἰρηνεύηται, πρὸς δὲ
1360 a *τοὺς ἥττους ἐπ' αὐτοῖς ᾖ τὸ πολεμεῖν. Καὶ τὰς δυνάμεις, πότερον ὅμοιαι ἢ ἀνόμοιαι· ἔστιν γὰρ καὶ ταύτῃ πλεονεκτεῖν ἢ ἐλαττοῦσθαι. Ἀναγκαῖον δὲ καὶ πρὸς ταῦτα μὴ μόνον τοὺς οἰκείους πολέμους τεθεωρηκέναι ἀλλὰ καὶ τοὺς τῶν ἄλλων, πῶς ἀποβαίνουσιν· ἀπὸ γὰρ τῶν ὁμοίων τὰ ὅμοια γίγνεσθαι πέφυκεν.*

Ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας μὴ λανθάνειν πῶς φυλάττεται, ἀλλὰ καὶ τὸ πλῆθος εἰδέναι τῆς φυλακῆς καὶ τὸ εἶδος καὶ τοὺς τόπους τῶν φυλακτηρίων (τοῦτο δ' ἀδύνατον μὴ ἔμπειρον ὄντα τῆς χώρας), ἵν' εἴτ' ἐλάττων ἡ φυλακὴ προστεθῇ καὶ εἴ τις περίεργος ἀφαιρεθῇ καὶ τοὺς ἐπιτηδείους τόπους τηρῶσι μᾶλλον.

Ἔτι δὲ περὶ τροφῆς, πόση δαπάνη ἱκανὴ τῇ πόλει καὶ ποία, ἥ αὐτοῦ τε γιγνομένη καὶ εἰσαγώγιμος, καὶ τίνων τ' ἐξαγωγῆς δέονται καὶ τίνων εἰσαγωγῆς, ἵνα πρὸς ταῦτα καὶ συνθῆκαι καὶ συμβολαὶ γίγνωνται· πρὸς δύο γὰρ διαφυλάττειν ἀναγκαῖον ἀνεγκλήτους τοὺς πολίτας, πρός τε τοὺς κρείττους καὶ πρὸς τοὺς εἰς ταῦτα χρησίμους.

Εἰς δ' ἀσφάλειαν ἅπαντα μὲν ταῦτα ἀναγκαῖον δύνασθαι θεωρεῖν, οὐκ ἐλάχιστον δὲ περὶ νομοθεσίας ἐπαΐειν· ἐν γὰρ τοῖς νόμοις ἐστὶν ἡ σωτηρία τῆς πόλεως, ὥστ' ἀναγκαῖον εἰδέναι πόσα τέ ἐστι πολιτειῶν εἴδη, καὶ ποῖα συμφέρει ἑκάστῃ, καὶ ὑπὸ τίνων φθείρεσθαι πέφυκεν καὶ οἰκείων τῆς πολιτείας καὶ ἐναντίων. Λέγω δὲ τὸ ὑπὸ οἰκείων

---

1. Ἔτσι ἑρμηνεύομεν τὴν γραφὴν «πρὸς ταῦτα», τὴν ὁποίαν καὶ νομίζομεν ὀρθήν. Ἂν γίνῃ δεκτὴ ἡ γραφὴ «πρὸς τούτους» ἡ φράσις πρέπει ν' ἀποδοθῇ ὡς ἑξῆς : διὰ νὰ γίνουν μὲ τὰς χώρας, εἰς τὰς ὁποίας θὰ ἐξαχθοῦν τὰ πλεονάσματα ἢ ἀπὸ τὰς ὁποίας θὰ εἰσαχθοῦν ὅσα ἐλλείπουν, αἱ πρέπουσαι συνθῆκαι καὶ συμφωνίαι.

Πρέπει δὲ ὅλας αὐτὰς τὰς πληροφορίας νὰ κατέχῃ, ὄχι μόνον σχετικὰ μὲ τὴν ἰδικήν του πολιτείαν, ἀλλὰ καὶ μὲ τὰς γειτονικάς. Νὰ γνωρίζῃ μὲ ποίας ἀπ' αὐτὰς εἶναι ἐνδεχόμενον νὰ γίνῃ πόλεμος, πρὸς τὸν σκοπὸν νὰ συμβουλεύῃ τὴν διατήρησιν τῆς εἰρήνης μὲ τοὺς ἰσχυροτέρους καὶ νὰ ἐπιφυλάσσεται νὰ συμβουλεύσῃ τὸν πόλεμον ἐναντίον τῶν ἀσθενεστέρων. Πρέπει νὰ γνωρίζῃ ἂν αἱ πολεμικαὶ δυνάμεις εἶναι ἴσαι ἢ ἄνισοι, διότι καὶ ἀπ' αὐτὸ ἐξαρτᾶται ἡ νίκη ἢ ἡ ἧττα. Πρὸς τούτοις εἶναι ἀνάγκη νὰ ἐξετάζῃ ποίαν ἔκβασιν εἶχαν, ὄχι μόνον οἱ πόλεμοι εἰς τοὺς ὁποίους εἶχε λάβει μέρος ἡ χώρα του, ἀλλὰ καὶ οἱ μεταξὺ ἄλλων λαῶν. Διότι εἶναι φυσικὸν αἱ ὅμοιαι αἰτίαι νὰ ἐπιφέρουν ὅμοια ἀποτελέσματα.

Εἰς δὲ τὰ ζητήματα τῆς ἀμύνης τῆς χώρας ὁ πολιτικὸς ρήτωρ δὲν πρέπει νὰ ἀγνοῇ πῶς φρουρεῖται αὕτη. Πρέπει μάλιστα νὰ γνωρίζῃ καὶ τὸν ἀριθμὸν καὶ τὸ εἶδος τῆς φρουρᾶς καὶ τὰ ὀχυρὰ μέρη ποὺ φρουροῦνται (τοῦτο δὲ εἶναι ἀδύνατον εἰς ἐκεῖνον ποὺ δὲν γνωρίζει καλὰ τὴν χώραν), εἰς τρόπον ὥστε ἐκεῖ ποὺ εἶναι ἀνεπαρκὴς ἡ φρουρὰ νὰ προστεθῇ καὶ ἄλλη, καὶ ὅπου εἶναι περισσοτέρα ἀπὸ ὅ,τι χρειάζεται νὰ ἐλαττωθῇ, ἀκόμη δὲ νὰ φρουρῶνται καλύτερον τὰ ἐπίκαιρα σημεῖα.

Ἐπὶ τοῦ θέματος τῆς ἐπαρκείας τῆς χώρας εἰς τρόφιμα, ὁ πολιτικὸς ρήτωρ πρέπει νὰ γνωρίζῃ τὸ ποσὸν καὶ τὸ εἶδος ποὺ χρειάζεται ἡ πολιτεία καὶ ἐξ αὐτῶν ποῖα παράγονται ὑπὸ τῆς χώρας καὶ ποῖα εἰσάγονται ἀπὸ τὸ ἐξωτερικόν. Ποῖα εἴδη πρέπει νὰ ἐξαχθοῦν καὶ ποῖα νὰ εἰσαχθοῦν διὰ νὰ γίνουν πρὸς τὸν σκοπὸν τοῦτον συνθῆκαι καὶ συμφωνίαι [1]. Διότι εἶναι ἀνάγκη νὰ μὴ ἔρχεται ἡ πολιτεία εἰς προστριβὰς πρὸς δύο κατηγορίας κρατῶν. Πρὸς τὰ ἰσχυρότερά της καὶ πρὸς ἐκεῖνα μὲ τὰ ὁποῖα ἔχει ἐμπορικὰς ἀνταλλαγάς.

Ἐὰν δὲ πρέπῃ ὁ πολιτικὸς ἀνὴρ νὰ εἶναι εἰς θέσιν νὰ ἐξετάζῃ ὅλα αὐτὰ τὰ ζητήματα διὰ τὴν ἀσφάλειαν τῆς χώρας, δὲν εἶναι μικρᾶς σημασίας καὶ τὸ νὰ εἶναι κάτοχος τῶν νομοθετικῶν ζητημάτων. Διότι ἐπὶ τῶν νόμων στηρίζεται ἡ σωτηρία τῆς πολιτείας. Ὥστε εἶναι ἀνάγκη νὰ γνωρίζῃ τὰ διάφορα εἴδη πολιτευμάτων καὶ τὰ πλεονεκτήματα ἑκάστου. Ἐπίσης δὲ ποῖαι εἶναι αἱ ἀφορμαί, εἴτε ἐνυπάρχουσαι εἰς τὸ κάθε πολίτευμα εἴτε ἐξωτερικαί, ποὺ ἐκ φύσεως ὁδηγοῦν εἰς τὴν καταστροφὴν τοῦ πολιτεύματος. Λέγω

φθείρεσθαι, ὅτι ἔξω τῆς βελτίστης πολιτείας αἱ ἄλλαι πᾶσαι καὶ ἀνιέμεναι καὶ ἐπιτεινόμεναι φθείρονται, οἷον δημοκρατία οὐ μόνον ἀνιεμένη ἀσθενεστέρα γίνεται ὥστε τέλος ἥξει εἰς ὀλιγαρχίαν, ἀλλὰ καὶ ἐπιτεινομένη σφόδρα, ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης οὐ μόνον ἀνιέμενα ἔρχεται εἰς τὸ μέσον, ἀλλὰ καὶ σφόδρα γρυπὰ γινόμενα ἢ σιμὰ οὕτως διατίθεται ὥστε μηδὲ μυκτῆρα δοκεῖν εἶναι. Χρήσιμον δὲ πρὸς τὰς νομοθεσίας τὸ μὴ μόνον ἐπαΐειν τίς πολιτεία συμφέρει ἐκ τῶν παρεληλυθότων θεωροῦντι, ἀλλὰ καὶ τὰς παρὰ τοῖς ἄλλοις εἰδέναι, αἱ ποῖαι τοῖς ποίοις ἁρμόττουσιν. Ὥστε δῆλον ὅτι πρὸς μὲν τὴν νομοθεσίαν αἱ τῆς γῆς περίοδοι χρήσιμοι· (ἐντεῦθεν γὰρ λαβεῖν ἔστιν τοὺς τῶν ἐθνῶν νόμους), πρὸς δὲ τὰς πολιτικὰς συμβουλὰς αἱ τῶν περὶ τὰς πράξεις γραφόντων ἱστορίαι· ἅπαντα δὲ ταῦτα πολιτικῆς ἀλλ' οὐ ῥητορικῆς ἔργον ἐστίν.

Περὶ ὧν μὲν οὖν ἔχειν δεῖ ⟨τὰς προτάσεις⟩ τὸν μέλλοντα
1360 b *συμβουλεύειν, τὰ μέγιστα τοσαῦτά ἐστιν· ἐξ ὧν δὲ δεῖ καὶ περὶ τούτων καὶ περὶ τῶν ἄλλων προτρέπειν ἢ ἀποτρέπειν, λέγωμεν πάλιν.*

5. *Σχεδὸν δὲ καὶ ἰδίᾳ ἑκάστῳ καὶ κοινῇ πᾶσι σκοπός τίς ἐστιν, οὗ στοχαζόμενοι καὶ αἱροῦνται καὶ φεύγουσιν· καὶ τοῦτ' ἐστὶν ἐν κεφαλαίῳ εἰπεῖν ἥ τ' εὐδαιμονία καὶ τὰ μόρια αὐτῆς. Ὥστε παραδείγματος χάριν λάβωμεν τί ἐστιν ὡς ἁπλῶς εἰπεῖν ἡ εὐδαιμονία, καὶ ἐκ τίνων τὰ μόρια ταύτης· περὶ γὰρ ταύτης καὶ τῶν εἰς ταύτην συντεινόντων καὶ*

δὲ ὅτι καταστρέφονται ἀπὸ αἴτια ποὺ ἐνυπάρχουν εἰς αὐτά, διότι, ἂν ἐξαιρεθῇ τὸ ἄριστον πολίτευμα, ὅλα τὰ ἄλλα καταστρέφονται εἴτε μὲ τὸ νὰ χαλαρωθοῦν εἴτε μὲ τὸ νὰ ἐπιταθοῦν. Ἔτσι, παραδείγματος χάριν, ἡ λαοκρατία, χαλαρωνομένη, ἐξασθενεῖ καὶ καταλήγει εἰς ὀλιγαρχίαν. τὸ ἴδιο δὲ τῆς συμβαίνει καὶ ὅταν ἐπιταθῇ εἰς τὸ ἔπακρον. Καθὼς ἀκριβῶς καὶ ἡ γρυπὴ ἢ ἡ σιμὴ μύτη. Αὐτὴ πλησιάζει εἰς τὸ κανονικὸν σχῆμα, ὅταν χαλαρωθῇ ἡ γρυπότης καὶ ἡ σιμότης, ὅταν δὲ ἐνταθοῦν εἰς τὸ ἔπακρον, τότε τὸ σχῆμα τῆς μύτης διαμορφώνεται κατὰ τρόπον ὥστε νὰ φαίνεται ὅτι οὔτε κἂν ὑπάρχουν ρουθούνια.

Εἶναι δὲ ὠφέλιμον, διὰ νὰ συμβάλῃ ὁ πολιτικὸς ἀνὴρ εἰς τὸ νομοθετικὸν ἔργον, ὄχι μόνον νὰ κατανοῇ ποῖον εἶναι τὸ πολίτευμα ποὺ παρουσιάζει τὰ περισσότερα πλεονεκτήματα, διὰ τῆς ἐξετάσεως τῶν ὅσων συνέβησαν κατὰ τὸ παρελθόν, ἀλλὰ νὰ γνωρίζῃ καὶ τὰ ξένα πολιτεύματα, τίνος εἴδους εἶναι καὶ εἰς τίνος εἴδους πολίτας ἁρμόζουν. Εἶναι λοιπὸν φανερὸν ὅτι διὰ τὴν νομοθεσίαν εἶναι χρήσιμοι αἱ περιηγήσεις εἰς διαφόρους τόπους, διότι ἔτσι εἶναι δυνατὸν νὰ μάθῃ κανεὶς τοὺς νόμους τῶν διαφόρων ἐθνῶν, διὰ δὲ τὰς πολιτικὰς συμβουλὰς εἶναι χρήσιμα τὰ ἱστορικὰ συγγράμματα. Αὐτὰ ὅλα ὅμως ἀποτελοῦν ἀντικείμενον ὄχι τῆς ρητορικῆς, ἀλλὰ τῆς πολιτικῆς ἐπιστήμης. Αὐταὶ εἶναι αἱ κυριώτεραι προτάσεις τὰς ὁποίας πρέπει νὰ ἔχῃ εἰς τὴν διάθεσίν του ὁ πολιτικὸς ρήτωρ. Καὶ τώρα θὰ ἐκθέσωμεν τὰ μέσα ποὺ πρέπει νὰ μεταχειρίζεται διὰ νὰ παροτρύνῃ ἢ νὰ ἀποτρέπῃ καὶ περὶ αὐτῶν τῶν ζητημάτων καὶ περὶ τῶν ἄλλων.

5. ΤΙ ΠΡΕΠΕΙ ΝΑ ΠΡΟΒΑΛΛΗ Ο ΠΟΛΙΤΙΚΟΣ ΡΗΤΩΡ ΔΙΑ ΝΑ ΠΡΟΤΡΕΨΗ Η ΝΑ ΑΠΟΤΡΕΨΗ. Η ΕΥΗΜΕΡΙΑ ΚΑΙ ΤΑ ΕΙΔΗ ΤΗΣ

Ὁ κάθε σχεδὸν ἄνθρωπος καὶ ὅλοι οἱ ἄνθρωποι ἀπὸ κοινοῦ θέτουν εἰς τὸν ἑαυτόν των ἕνα σκοπόν, καὶ ἐπειδὴ αὐτὸν τὸν σκοπὸν ἐπιδιώκουν, ἐνεργοῦν κατὰ προτίμησιν ὡρισμένας πράξεις, καὶ ἄλλας πάλιν τὰς ἀποφεύγουν. Ὁ σκοπὸς αὐτὸς εἶναι μὲ δύο λόγια ἡ εὐημερία καὶ τὰ μέρη ποὺ τὴν ἀποτελοῦν.

Ἂς ἐξετάσωμεν λοιπὸν χάριν παραδείγματος τί εἶναι κυριολεκτικὰ ἡ εὐημερία καὶ ἀπὸ τί ἀποτελοῦνται τὰ μέρη της. Διότι αἱ συμβουλαὶ τῶν πολιτικῶν ρητόρων ποὺ προ-

τῶν ἐναντίων ταύτη αἵ τε προτροπαὶ καὶ αἱ ἀποτροπαὶ πᾶσαί εἰσιν· τὰ μὲν γὰρ παρασκευάζοντα ταύτην ἢ τῶν μορίων τι, ἢ μεῖζον ἀντ' ἐλάττονος ποιοῦντα, δεῖ πράττειν, τὰ δὲ φθείροντα ἢ ἐμποδίζοντα ἢ τὰ ἐναντία ποιοῦντα μὴ πράττειν.

Ἔστω δὴ εὐδαιμονία εὐπραξία μετ' ἀρετῆς, ἢ αὐτάρκεια ζωῆς, ἢ ὁ βίος ὁ μετὰ ἀσφαλείας ἥδιστος, ἢ εὐθενία κτημάτων καὶ σωμάτων μετὰ δυνάμεως φυλακτικῆς τε καὶ πρακτικῆς τούτων· σχεδὸν γὰρ τούτων ἓν ἢ πλείω τὴν εὐδαιμονίαν ὁμολογοῦσιν εἶναι ἅπαντες.

Εἰ δή ἐστιν ἡ εὐδαιμονία τοιοῦτον, ἀνάγκη αὐτῆς εἶναι μέρη εὐγένειαν πολυφιλίαν χρηστοφιλίαν πλοῦτον εὐτεκνίαν πολυτεκνίαν εὐγηρίαν, ἔτι τὰς τοῦ σώματος ἀρετάς, οἷον ὑγίειαν κάλλος ἰσχὺν μέγεθος, δύναμιν ἀγωνιστικήν, δόξαν τιμὴν εὐτυχίαν ἀρετήν· οὕτω γὰρ ἂν αὐταρκέστατος εἴη, εἰ ὑπάρχοι αὐτῷ τά τ' ἐν αὐτῷ καὶ τὰ ἐκτὸς ἀγαθά· οὐ γὰρ ἔστιν ἄλλα παρὰ ταῦτα. Ἔστι δ' ἐν αὐτῷ μὲν τὰ περὶ ψυχὴν καὶ τὰ ἐν σώματι, ἔξω δὲ εὐγένεια καὶ φίλοι καὶ χρήματα καὶ τιμή. Ἔτι δὲ προσήκειν οἰόμεθα δυνάμεις ὑπάρχειν καὶ τύχην· οὕτω γὰρ ἂν ἀσφαλέστατος ὁ βίος εἴη. Λάβωμεν τοίνυν ὁμοίως καὶ τούτων ἕκαστον τί ἐστιν.

Εὐγένεια μὲν οὖν ἐστιν ἔθνει μὲν καὶ πόλει τὸ αὐτόχθονας ἢ ἀρχαίους εἶναι, καὶ ἡγεμόνας τοὺς πρώτους ἐπιφανεῖς, καὶ πολλοὺς ἐπιφανεῖς γεγονέναι ἐξ αὐτῶν ἐπὶ τοῖς ζηλουμένοις· ἰδίᾳ δὲ εὐγένεια ἢ ἀπ' ἀνδρῶν ἢ ἀπὸ γυναι-

τρέπουν ἢ ἀποτρέπουν κάτι, ἀφοροῦν ὅλαι τὴν εὐημερίαν τῆς χώρας, καθὼς καὶ τὰς ἐνεργείας ποὺ συντελοῦν ἢ ποὺ ἀντιτίθενται εἰς αὐτήν, ἀφοῦ βέβαια πρέπει νὰ πράττωμεν ἐκείνας τὰς πράξεις ποὺ προπαρασκευάζουν τὴν εὐημερίαν, ἢ ἓν ἀπὸ τὰ μέρη της, ἢ τὴν ὑπάρχουσαν κάμνουν μεγαλυτέραν, καὶ πάλιν νὰ μὴ πράττωμεν ἐκεῖνα ποὺ τὴν καταστρέφουν, τῆς δημιουργοῦν ἐμπόδια ἢ προκαλοῦν ὅσα εἶναι ἀντίθετα τῆς εὐημερίας.

Εὐημερία θὰ εἶναι, φυσικά, ἡ ἐπιτυχία εἰς τὴν ζωήν μας, ποὺ πραγματοποιεῖται μὲ τὴν βοήθειαν τῆς ἀρετῆς, ἢ ἡ ζωὴ ποὺ ἐπαρκεῖ εἰς τὸν ἑαυτόν της, ἢ ὁ πιὸ εὐχάριστος καὶ ἀσφαλὴς τρόπος ζωῆς, ἢ ἡ ἀφθονία κτημάτων καὶ δούλων εἰς ἐκεῖνον ποὺ ἔχει τὴν ἱκανότητα νὰ τὰ διαφυλάττῃ καὶ νὰ τὰ χρησιμοποιῇ. Καὶ πράγματι, ὅλοι σχεδὸν συμφωνοῦν ὅτι ἡ εὐημερία εἶναι ἕνα ἢ περισσότερα ἀπὸ αὐτὰ τὰ ἀγαθά.

Ἂν ὅμως ἡ εὐημερία εἶναι κάτι τέτοιο, πρέπει ὑποχρεωτικὰ νὰ συγκροτῆται ἀπὸ τὰ ἑξῆς μέρη, ἀπὸ τὴν εὐγένειαν τῆς καταγωγῆς, ἀπὸ πολλοὺς καὶ χρηστοὺς φίλους, πλοῦτον, πολλοὺς καὶ καλοὺς ἀπογόνους, καλὰ ὑστερνά, καὶ ἀκόμη ἀπὸ σωματικὰς ἀρετὰς ὅπως ἡ ὑγεία, ἡ ὀμορφιά, ἡ σωματικὴ δύναμις, ἡ κορμοστασιά, ἡ ἐπίδοσις εἰς τὰς ἀθλητικὰς ἀσκήσεις, ἡ δόξα, ἡ ἐκτίμησις, ἡ εὔνοια τῆς τύχης, ἡ ἀρετὴ ἢ καὶ τὰ μέρη αὐτῆς, ἡ σωφροσύνη, ἡ ἀνδρεία, ἡ δικαιοσύνη καὶ ἡ ἐγκράτεια. Καὶ πράγματι, τότε μόνον θὰ ἦτο κανεὶς πλήρως ἱκανοποιημένος, ἐὰν διέθετε καὶ τὰ προτερήματα ποὺ ἠμπορεῖ κανεὶς νὰ ἔχῃ ἀπὸ τὸν ἑαυτόν του καὶ τὰ ἐξωτερικά. Διότι, ἐκτὸς αὐτῶν, τίποτε ἄλλο δὲν ὑπάρχει. Προτερήματα ποὺ ἠμπορεῖ κανεὶς νὰ τὰ ἔχῃ ἀπὸ τὸν ἑαυτόν του, εἶναι τὰ ψυχικὰ καὶ τὰ σωματικά, ἐξωτερικὰ δὲ εἶναι ἡ εὐγένεια τῆς καταγωγῆς, οἱ φίλοι, ὁ πλοῦτος καὶ ἡ ἐκτίμησις. Πρέπει ἀκόμη, νομίζομεν, νὰ διαθέτῃ κανεὶς ἱκανότητα καὶ καλὴν τύχην. Καὶ τότε ἡ ζωή του θὰ εἶναι τελείως ἐξησφαλισμένη. Ἂς ἐξετάσωμεν λοιπὸν τώρα κατὰ τὸν ἴδιον τρόπον αὐτὰ τὰ ἀγαθά, διὰ νὰ ἴδωμεν ἀπὸ τί ἀποτελεῖται τὸ καθένα.

Εὐγένεια καταγωγῆς δι' ἓν ἔθνος ἢ δι' ἓν κράτος ὑπάρχει, ὅταν οἱ πολῖται του εἶναι αὐτόχθονες ἢ παλαιόθεν ἐγκατεστημένοι ἐκεῖ, καὶ οἱ παλαιοὶ ἀρχηγοί των ἦσαν διαπρεπεῖς, καὶ ἀπέκτησαν ἐκλεκτοὺς ἀπογόνους, ποὺ αἱ πράξεις των προκαλοῦν τὸν ζῆλον. Διὰ δὲ τὰ ἄτομα ἡ εὐγένεια καταγωγῆς προέρχεται ἢ ἀπὸ τὸν πατρικὸν ἢ ἀπὸ τὸν μητρι-

κῶν, καὶ γνησιότης ἀπ᾽ ἀμφοῖν, καὶ ὥσπερ ἐπὶ πόλεως τούς τε πρώτους γνωρίμους ἢ ἐπ᾽ ἀρετῇ ἢ πλούτῳ ἢ ἄλλῳ τῳ τῶν τιμωμένων, καὶ πολλοὺς ἐπιφανεῖς ἐκ τοῦ γένους καὶ ἄνδρας καὶ γυναῖκας καὶ νέους καὶ πρεσβυτέρους.

Εὐτεκνία δὲ καὶ πολυτεκνία οὐκ ἄδηλα· ἔστιν δὲ τῷ κοι-
1361 a νῷ μὲν [εὐτεκνία], νεότης ἂν ᾖ πολλὴ καὶ ἀγαθή, ἀγαθὴ δὲ κατ᾽ ἀρετὴν σώματος, οἷον μέγεθος κάλλος ἰσχὺν δύναμιν ἀγωνιστικήν· ψυχῆς δὲ σωφροσύνη καὶ ἀνδρία νέου ἀρεταί. Ἰδίᾳ δὲ εὐτεκνία καὶ πολυτεκνία τὸ τὰ ἴδια τέκνα πολλὰ καὶ τοιαῦτα εἶναι, καὶ θήλεα καὶ ἄρρενα· θηλειῶν δὲ ἀρετὴ σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ σωφροσύνη καὶ φιλεργία ἄνευ ἀνελευθερίας. Ὁμοίως δὲ καὶ ἰδίᾳ καὶ κοινῇ καὶ κατ᾽ ἄνδρας καὶ κατὰ γυναῖκας δεῖ ζητεῖν ἕκαστον ὑπάρχειν τῶν τοιούτων· ὅσοις γὰρ τὰ κατὰ γυναῖκας φαῦλα ὥσπερ Λακεδαιμονίοις, σχεδὸν κατὰ τὸ ἥμισυ οὐκ εὐδαιμονοῦσιν.

*** Πλούτου δὲ μέρη νομίσματος πλῆθος, γῆς, χωρίων κτῆσις πλήθει καὶ μεγέθει καὶ κάλλει διαφερόντων, ἔτι δὲ ἐπίπλων κτῆσις καὶ ἀνδραπόδων καὶ βοσκημάτων πλήθει καὶ κάλλει διαφερόντων, ταῦτα δὲ πάντα ⟨οἰκεῖα⟩ καὶ ἀσφαλῆ καὶ ἐλευθέρια καὶ χρήσιμα. Ἔστιν δὲ χρήσιμα μὲν μᾶλλον τὰ κάρπιμα, ἐλευθέρια δὲ τὰ πρὸς ἀπόλαυσιν· κάρπιμα δὲ λέγω ἀφ᾽ ὧν αἱ πρόσοδοι, ἀπολαυστικὰ δὲ ἀφ᾽ ὧν μηδὲν παρὰ τὴν χρῆσιν γίγνεται, ὅ τι καὶ ἄξιον. Ὅρος δὲ ἀσφαλείας μὲν τὸ ἐνταῦθα καὶ οὕτω κεκτῆσθαι ὥστ᾽ ἐφ᾽

κὸν κλάδον καὶ σύγκειται εἰς τὸ νὰ κατάγεται κανεὶς ἀπὸ νομίμους γεννήτορας, καί, ὅπως συμβαίνει καὶ μὲ τὰ κράτη, πρέπει οἱ παλαιότεροι γνωστοὶ πρόγονοι νὰ ἔχουν διακριθῆ ἕνεκα τῆς ἀξίας των ἢ τοῦ πλούτου των ἢ ἄλλου προτερήματος ἀπ᾽ ἐκεῖνα ποὺ προκαλοῦν τὴν ἐκτίμησιν, καὶ εἰς τὴν οἰκογένειαν αὐτὴν νὰ ἔχουν διαδεχθῆ ἀλλήλας πολλαὶ γενεαὶ ἐπιφανῶν προσώπων, ἀνδρῶν καὶ γυναικῶν, νέων καὶ γέρων.

Τί σημαίνει πολλοὶ καὶ καλοὶ ἀπόγονοι δὲν ἔχει ἀνάγκην ἐξηγήσεως. Ἀπὸ τῆς ἀπόψεως τοῦ δημοσίου συμφέροντος καλοὶ ἀπόγονοι ὑπάρχουν, ὅταν ἡ νεολαία εἶναι πολυάριθμος καὶ ἐκλεκτή, τόσον ἐν σχέσει πρὸς τὰς σωματικὰς ἀρετάς, δηλ. ἔχει παράστημα, ὀμορφιά, σωματικὴν δύναμιν, ἐπίδοσιν εἰς τὸν ἀθλητισμόν, ὅσον καὶ ἐν σχέσει πρὸς τὰς ψυχικὰς ἀρετάς, ποὺ δι᾽ ἕνα νέον εἶναι ἡ ἀνδρεία καὶ ἡ ἐγκράτεια. Ἀπὸ δὲ τῆς ἀτομικῆς ἀπόψεως ἔχει κανεὶς τὸ πλεονέκτημα τῆς εὐτεκνίας καὶ τῆς πολυτεκνίας, ὅταν ἔχῃ πολλὰ ἰδικά του παιδιά, προικισμένα μὲ τὰ προτερήματα ποὺ ἀνεφέραμεν, ἀγόρια καὶ κορίτσια. Καὶ γιὰ μὲν τὰ κορίτσια σωματικαὶ ἀρεταὶ εἶναι ἡ ὀμορφιὰ καὶ τὸ παράστημα καὶ ψυχικαὶ ἡ ἐγκράτεια καὶ ἡ ἐργατικότης ποὺ δὲν καταντᾶ εἰς δουλοπρέπειαν. Καὶ πρέπει ἐξ ἴσου νὰ ἐπιδιώκωμεν νὰ ἔχουν τὰ προτερήματα αὐτὰ καὶ τὰ ἰδικά μας παιδιά, ἀγόρια καὶ κορίτσια, καθὼς καὶ ὅλα τὰ παιδιὰ τῆς πολιτείας. Διότι ὅπου οἱ θεσμοὶ ποὺ ἀφοροῦν τὰς γυναῖκας εἶναι κακοί, ὅπως συμβαίνει εἰς τοὺς Λακεδαιμονίους, σχεδὸν λείπει ἡ μισὴ εὐημερία.

Στοιχεῖα τοῦ πλούτου εἶναι τὰ πολλὰ χρήματα, ἡ ἀφθονία ἀκινήτων κτημάτων καὶ ἡ ἰδιοκτησία καλλιεργησίμων ἐκτάσεων. Ἔπειτα ἡ κατοχὴ κινητῶν πραγμάτων, δούλων καὶ κοπαδιῶν, ποὺ διακρίνονται διὰ τὴν ποσότητα καὶ τὴν ποιότητά των. Ὅλα αὐτὰ πρέπει νὰ τὰ κατέχῃ κανεὶς ἀδιαφιλονεικήτως καὶ ἀσφαλῶς, νὰ τὰ μεταχειρίζεται ὅπως ταιριάζει σὲ ἐλεύθερον ἄνθρωπον, ἢ νὰ τοῦ εἶναι χρήσιμα. Καὶ χρήσιμα μὲν εἶναι περισσότερον ἐκεῖνα ποὺ ἀποδίδουν καρπούς, λέγομεν δὲ ὅτι χρησιμοποιοῦνται ὅπως ταιριάζει σὲ ἐλεύθερον ἄνθρωπον, ἐκεῖνα ποὺ χρησιμοποιοῦνται δι᾽ ἀτομικὴν ἀπόλαυσιν. Καὶ ὀνομάζω ἀγαθὰ ποὺ ἀποδίδουν καρπούς, ἐκεῖνα ποὺ μᾶς φέρουν ἕνα εἰσόδημα, ἀγαθὰ δὲ ἀτομικῆς ἀπολαύσεως, ἐκεῖνα ἀπὸ τὰ ὁποῖα κανένα ἄλλο ἄξιον λόγου ὄφελος δὲν ἔχομεν ἐκτὸς τοῦ ὅτι ἡμεῖς οἱ ἴδιοι τὰ χρησιμοποιοῦμεν. Ἀσφάλεια τῆς περιουσίας εἶναι τὸ νὰ τὴν κατέχῃς κατὰ τρόπον καὶ ὑπὸ συνθήκας ὥστε ἀπὸ σένα καὶ

αὐτῷ εἶναι τὴν χρῆσιν αὐτῶν, τοῦ δὲ οἰκεῖα εἶναι ὅταν ἐφ' αὐτῷ ᾖ ἀπαλλοτριῶσαι ἢ μή· λέγω δὲ ἀπαλλοτρίωσιν δόσιν καὶ πρᾶσιν. Ὅλως δὲ τὸ πλουτεῖν ἐστιν ἐν τῷ χρῆσθαι μᾶλλον ἢ ἐν τῷ κεκτῆσθαι· καὶ γὰρ ἡ ἐνέργειά ἐστι τῶν τοιούτων καὶ ἡ χρῆσις πλοῦτος.

Εὐδοξία δ' ἐστὶν τὸ ὑπὸ πάντων σπουδαῖον ὑπολαμβάνεσθαι ἢ τοιοῦτόν τι ἔχειν οὗ πάντες ἐφίενται ἢ οἱ πολλοὶ ἢ οἱ ἀγαθοὶ ἢ οἱ φρόνιμοι.

Τιμὴ δ' ἐστὶν μὲν σημεῖον εὐεργετικῆς εὐδοξίας, τιμῶνται δὲ δικαίως μὲν καὶ μάλιστα οἱ εὐεργετηκότες, οὐ μὴν ἀλλὰ τιμᾶται καὶ ὁ δυνάμενος εὐεργετεῖν· εὐεργεσία δὲ ἢ εἰς σωτηρίαν καὶ ὅσα αἴτια τοῦ εἶναι, ἢ εἰς πλοῦτον, ἢ εἴς τι τῶν ἄλλων ἀγαθῶν, ὧν μὴ ῥᾳδία ἡ κτῆσις ἢ ὅλως ἢ ἐνταῦθα ἢ ποτέ· πολλοὶ γὰρ διὰ μικρὰ δοκοῦντα τιμῆς τυγχάνουσιν, ἀλλ' οἱ τόποι καὶ οἱ καιροὶ αἴτιοι. Μέρη δὲ τιμῆς θυσίαι, μνῆμαι ἐν μέτροις καὶ ἄνευ μέτρων, γέρα, τεμένη, προεδρίαι, τάφοι, εἰκόνες, τροφαὶ δημόσιαι, τὰ βαρβαρικά, οἷον προσκυνήσεις καὶ ἐκστάσεις, δῶρα τὰ παρ' ἑκάστοις τίμια. Καὶ γὰρ τὸ δῶρόν ἐστι κτήματος δόσις καὶ τιμῆς σημεῖον, διὸ καὶ οἱ φιλοχρήματοι καὶ οἱ φιλότιμοι ἐφίενται αὐτῶν· ἀμφοτέροις γὰρ ἔχει ὧν δέονται·
1361 b *καὶ γὰρ κτῆμά ἐστιν, οὗ ἐφίενται οἱ φιλοχρήματοι, καὶ τιμὴν ἔχει, οὗ οἱ φιλότιμοι.*

Σώματος δὲ ἀρετὴ ὑγίεια, αὕτη δὲ οὕτως ὥστε ἀνόσους εἶναι χρωμένους τοῖς σώμασιν· πολλοὶ γὰρ ὑγιαίνουσιν ὥσπερ

---

1. Παραφράζομεν, ἀπομακρυνόμενοι τοῦ κειμένου. Ἔτσι πιστεύομεν ὅτι μένομεν πιστότεροι εἰς τὸ νόημα.

2. Τέμενος· ἄλσος συνήθως, ἐπονομαζόμενον μὲ τὸ ὄνομα διαπρεποῦς προσώπου. Πρβλ. σήμερον τὴν ὀνομασίαν ὁδῶν, πλατειῶν κτλ. μὲ τὰ ὀνόματα διαπρεπῶν ἀνδρῶν, πρὸς ἀπονομὴν τιμῆς εἰς αὐτούς.

μόνον νὰ ἐξαρτᾶται ἡ χρῆσις της. Εἶσαι δὲ ἀπόλυτος κύριος τῆς περιουσίας σου, ὅταν ἠμπορῇς ἐλεύθερα νὰ τὴν ἀπαλλοτριώσῃς. Ὀνομάζω δὲ ἀπαλλοτρίωσιν εἴτε τὴν δωρεὰν εἴτε τὴν πώλησιν. Γενικὰ δὲ ὁ πλοῦτος περισσότερον συνίσταται εἰς τὴν χρῆσιν παρὰ εἰς τὴν ἰδιοκτησίαν τῶν ἀγαθῶν, διότι ὄχι τὸ νὰ κατέχῃς, ἀλλὰ τὸ νὰ χρησιμοποιῇς τὰ ἀγαθὰ ποὺ κατέχεις ἀποτελεῖ τὸν πλοῦτον [1].

Δόξα εἶναι τὸ νὰ θεωρῆται κανεὶς ἀπὸ ὅλους σπουδαῖος ἄνθρωπος ἢ τὸ νὰ ἔχῃ πλεονέκτημα ἀπ' ἐκεῖνα ποὺ ὅλοι, ἢ οἱ περισσότεροι, ἢ οἱ χρηστοὶ καὶ οἱ φρόνιμοι ἄνθρωποι θὰ ἐπιθυμοῦσαν νὰ τὸ ἔχουν.

Τιμαὶ ἀπονέμονται εἰς ἐκείνους ποὺ πιστεύεται ὅτι ἠμποροῦν νὰ κάμουν τὸ καλόν. Τιμῶνται δὲ πρὸ πάντων οἱ εὐεργέται, καὶ δικαίως. Ἐν τούτοις τιμᾶται καὶ ἐκεῖνος ποὺ εἶναι εἰς θέσιν νὰ κάμῃ εὐεργεσίας. Εὐεργεσία δὲ εἶναι καὶ ἡ σωτηρία ἢ ὅ,τι ἄλλο ἀποτελεῖ προϋπόθεσιν τῆς ὑπάρξεως, καὶ ἡ οἰκονομικὴ ἐνίσχυσις καὶ ἡ παροχὴ οἱουδήποτε ἄλλου ἀγαθοῦ ἀπ' ἐκεῖνα ποὺ ἡ ἀπόκτησίς των δὲν εἶναι εὔκολη, εἴτε ἀπολύτως, εἴτε εἰς ὡρισμένον χρόνον καὶ ὑπὸ ὡρισμένας συνθήκας. Καὶ πράγματι, εἰς πολλοὺς ἀπονέμονται τιμαὶ δι' ἀσημάντους εὐεργεσίας. Τοῦτο ὀφείλεται εἰς τὰς περιστάσεις καὶ τὰς συνθήκας ὑπὸ τὰς ὁποίας γίνονται αἱ μικραὶ αὐταὶ εὐεργεσίαι. Ἡ τιμὴ ἀπονέμεται κατὰ διαφόρους τρόπους, διὰ θυσιῶν, δι' ἀναμνηστικῶν ἐπιγραφῶν, ἐμμέτρων ἢ ὄχι, διὰ δώρων, δι' ὀνομασίας δημοσίου τόπου μὲ τὸ ὄνομα τοῦ τιμωμένου [2], δι' ἀπονομῆς πρωτοκαθεδρίας, διὰ τάφων, δι' ἀγαλμάτων, διὰ συντηρήσεως δημοσίᾳ δαπάνῃ. Οἱ δὲ βάρβαροι προσκυνοῦν καὶ κάμνουν τόπον εἰς ἐκεῖνον ποὺ θέλουν νὰ τιμήσουν. Τέλος εἰς ἔνδειξιν τιμῆς προσφέρονται καὶ δῶρα, ἐκεῖνα ποὺ εἰς ἕκαστον τόπον θεωροῦνται πολύτιμα. Πράγματι, τὸ δῶρον εἶναι συγχρόνως καὶ παροχὴ ἑνὸς πράγματος ἀξίας καὶ ἔνδειξις τιμῆς. Δι' αὐτὸ καὶ οἱ φιλοχρήματοι καὶ οἱ φιλόδοξοι τὰ ἐπιδιώκουν. Διότι ἀνταποκρίνονται εἰς τὰς ἐπιθυμίας καὶ τούτων καὶ ἐκείνων. Πράγματι, τὸ δῶρον καὶ ἀπόκτημα εἶναι, καὶ τὸ ἐπιδιώκουν γι' αὐτὸ οἱ φιλοχρήματοι, καὶ ἔνδειξις τιμῆς, καὶ τὸ ἐπιδιώκουν οἱ φιλόδοξοι.

Ἡ κυριωτέρα σωματικὴ ἀρετὴ εἶναι ἡ ὑγεία. Ἔχει δὲ ὑγείαν ἐκεῖνος πού, ἂν καὶ κάμνει χρῆσιν τῶν σωματικῶν ἱκανοτήτων του, δὲν ἀρρωσταίνει. Διότι ὑπάρχουν καὶ ἄνθρωποι ποὺ εἶναι μὲν καλὰ εἰς τὴν ὑγείαν των, ὅπως λέγουν

Ἡρόδικος λέγεται, οὓς οὐδεὶς ἂν εὐδαιμονίσειε τῆς ὑγιείας διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων ἢ τῶν πλείστων. Κάλλος δὲ ἕτερον καθ' ἑκάστην ἡλικίαν ἐστίν. Νέου μὲν οὖν κάλλος τὸ πρὸς τοὺς πόνους χρήσιμον ἔχειν τὸ σῶμα τούς τε πρὸς δρόμον καὶ πρὸς βίαν, ἡδὺν ὄντα ἰδεῖν πρὸς ἀπόλαυσιν, διὸ οἱ πένταθλοι κάλλιστοι, ὅτι πρὸς βίαν καὶ πρὸς τάχος ἅμα πεφύκασιν· ἀκμάζοντος δὲ πρὸς μὲν πόνους τοὺς πολεμικούς, ἡδὺν δ' εἶναι δοκεῖν μετὰ φοβερότητος· γέροντος δὲ πρὸς μὲν πόνους τοὺς ἀναγκαίους ἱκανόν, ἄλυπον δὲ διὰ τὸ μηδὲν ἔχειν ὧν τὸ γῆρας λωβᾶται. Ἰσχὺς δ' ἐστὶ μὲν δύναμις τοῦ κινεῖν ἕτερον ὡς βούλεται, ἀνάγκη δὲ κινεῖν ἕτερον ἢ ἕλκοντα ἢ ὠθοῦντα ἢ αἴροντα ἢ πιέζοντα ἢ συνθλίβοντα, ὥστε ὁ ἰσχυρὸς ἢ πᾶσιν ἢ τούτων τισίν ἐστιν ἰσχυρός. Μεγέθους δὲ ἀρετὴ τὸ ὑπερέχειν κατὰ μῆκος καὶ βάθος καὶ πλάτος τῶν πολλῶν τοσούτῳ μείζονι ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς κινήσεις διὰ τὴν ὑπερβολήν. Ἀγωνιστικὴ δὲ σώματος ἀρετὴ σύγκειται ἐκ μεγέθους καὶ ἰσχύος [καὶ τάχους·] καὶ γὰρ ὁ ταχὺς ἰσχυρός ἐστιν· ὁ γὰρ δυνάμενος τὰ σκέλη ῥιπτεῖν πως καὶ κινεῖν ταχὺ καὶ πόρρω δρομικός, ὁ δὲ θλίβειν καὶ κατέχειν παλαιστικός, ὁ δὲ ὦσαι τῇ πληγῇ πυκτικός, ὁ δ' ἀμφοτέροις τούτοις παγκρατιαστικός, ὁ δὲ πᾶσι πένταθλος.

Εὐγηρία δ' ἐστὶν βραδυτὴς γήρως μετ' ἀλυπίας· οὔτε

1. Ἡρόδικος ὁ Σηλυβριώτης, ἰατρός, τὸν ὁποῖον μνημονεύει ὁ Πλάτων εἰς τὸν «Φαῖδρον» καὶ τὴν «Πολιτείαν».

διὰ τὸν Ἡρόδικον[1], ἀλλὰ κανεὶς δὲν θὰ τοὺς ἐκαλοτύχιζε διὰ τὴν ὑγείαν των, ἀφοῦ εἶναι ὑποχρεωμένοι νὰ ἀπέχουν ἀπὸ ὅλας ἢ ἀπὸ τὰς περισσοτέρας ἀνθρωπίνους ἀπολαύσεις.

Ἡ ὀμορφιὰ διαφέρει ἀναλόγως τῆς ἡλικίας. Ἡ ὀμορφιὰ τοῦ νέου συνίσταται εἰς τὸ νὰ ἔχῃ σῶμα ἱκανὸν νὰ ὑποφέρῃ τοὺς κόπους ποὺ προέρχονται ἀπὸ τὸν δρόμον καὶ ἀπὸ τὰ διάφορα βίαια ἀγωνίσματα, καὶ νὰ ἔχῃ ἐμφάνισιν γλυκεῖαν καὶ εὐχάριστον πρὸς ἀπόλαυσιν. Γι' αὐτὸ οἱ ἀθληταὶ τοῦ πεντάθλου εἶναι οἱ ὡραιότεροι νέοι, διότι ἐκ φύσεως εἶναι προικισμένοι καὶ μὲ σωματικὴν δύναμιν καὶ μὲ εὐλυγισίαν. Τοῦ ἀνδρὸς ποὺ εὑρίσκεται εἰς τὴν ἀκμὴν τῆς ἡλικίας του ὀμορφιὰ εἶναι ἡ ἀντοχὴ εἰς τοὺς κόπους τοῦ πολέμου καὶ ἡ φυσιογνωμία, ποὺ ἐνῷ εἶναι εὐχάριστος, ἐμπνέει συγχρόνως τὸν φόβον. Ἡ δὲ ὀμορφιὰ τοῦ γέροντος εἶναι τὸ νὰ ἠμπορῇ νὰ ὑποφέρῃ τοὺς ἀπαραιτήτους εἰς τὴν ἡλικίαν του κόπους χωρὶς νὰ στενοχωρῆται, ἀπηλλαγμένος ἀπὸ τὰς ἐνοχλήσεις τοῦ γήρατος.

Σωματικὴ δὲ δύναμις εἶναι τὸ νὰ ἠμπορῇ κανεὶς νὰ μετακινήσῃ τὸν ἄλλον ὅπως θέλει. Διὰ νὰ τὸν μετακινήσῃ ὅμως πρέπει κατ' ἀνάγκην ἢ νὰ τὸν τραβήξῃ ἢ νὰ τὸν σπρώξῃ, ἢ νὰ τὸν σηκώσῃ ψηλά, ἢ νὰ τὸν ρίξῃ κάτω καὶ νὰ τὸν πιέσῃ, ἢ τέλος νὰ τὸν σφίξῃ. Ἐπομένως εἶναι κανεὶς δυνατὸς ἢ εἰς ὅλα αὐτὰ ἢ εἰς μερικὰ ἀπ' αὐτά.

Καλὸν ἀνάστημα εἶναι τὸ νὰ ὑπερέχῃ κανεὶς ἀπὸ τοὺς περισσοτέρους ἀνθρώπους σὲ ὕψος, πάχος καὶ πλάτος, εἰς τόσην ὅμως ἀναλογίαν ὥστε νὰ μὴ γίνωνται βραδύτεραι αἱ κινήσεις του ἀπὸ τὴν ὑπερβολὴν τῶν ἰδιοτήτων αὐτῶν.

Ἡ ἀθλητικὴ δὲ ἱκανότης ἀποτελεῖται ἀπὸ τὸν συνδυασμὸν καλοῦ ἀναστήματος, σωματικῆς δυνάμεως καὶ εὐκινησίας (διότι καὶ ὁ εὐκίνητος εἶναι δυνατός). Καὶ πράγματι, ἐκεῖνος ποὺ μπορεῖ νὰ κινῇ πρὸς τὰ ἐμπρὸς τὰ πόδια του κατὰ κάποιον ὡρισμένον τρόπον, νὰ τὰ κινῇ γρήγορα καὶ νὰ κάμνῃ μεγάλα βήματα, εἶναι ἱκανὸς ὡς ἀθλητὴς δρόμου. Καλὸς διὰ τὴν πάλην εἶναι ἐκεῖνος ποὺ ἔχει τὴν δύναμιν νὰ σφίγγῃ καὶ νὰ κρατῇ τὸν ἀντίπαλόν του, καλὸς διὰ τὴν πυγμαχίαν ἐκεῖνος ποὺ μὲ κτυπήματα μπορεῖ ν' ἀπωθήσῃ τὸν ἀντίπαλον· ἐκεῖνος πάλιν, ποὺ εἶναι ἱκανὸς καὶ εἰς τὰ δύο αὐτά, εἶναι καλὸς διὰ τὸ παγκράτιον, καὶ τέλος καλὸς διὰ τὸ πένταθλον εἶναι ἐκεῖνος ποὺ συγκεντρώνει ὅλας αὐτὰς τὰς ἱκανότητας.

Καλὰ ὑστερνὰ εἶναι τὰ γηρατεῖα ποὺ ἔρχονται ἀργὰ καὶ χωρὶς νὰ ὑποφέρῃ κανείς. Πράγματι, δὲν ἠμποροῦμεν νὰ

γὰρ εἰ ταχὺ γηράσκει, εὔγηρως, οὔτ' εἰ μόγις μὲν λυπηρῶς δέ. Ἔστιν δὲ καὶ ἐκ τῶν τοῦ σώματος ἀρετῶν καὶ τύχης· μὴ ἄνοσος γὰρ ὢν μηδὲ ἰσχυρὸς οὐκ ἔσται ἀπαθὴς οὐδ' ἄλυπος, καὶ πολυχρόνιος [οὔτ'] ἄνευ τύχης διαμείνειεν ἄν. Ἔστιν δέ τις καὶ χωρὶς ἰσχύος καὶ ὑγιείας ἄλλη δύναμις μακροβιότητος. Πολλοὶ γὰρ ἄνευ τῶν τοῦ σώματος ἀρετῶν μακρόβιοί εἰσιν· ἀλλ' οὐδὲν ἡ ἀκριβολογία χρήσιμος ἡ περὶ τούτων εἰς τὰ νῦν.

Πολυφιλία δὲ καὶ χρηστοφιλία οὐκ ἄδηλα τοῦ φίλου ὡρισμένου, ὅτι ἔστιν ὁ τοιοῦτος φίλος ὅς τις, ἃ οἴεται ἀγαθὰ εἶναι ἐκείνῳ, πρακτικός ἐστιν αὐτῶν δι' ἐκεῖνον. Ὧ δὴ πολλοὶ τοιοῦτοι, πολύφιλος, ᾧ δὲ καὶ ἐπιεικεῖς ἄνδρες, χρηστόφιλος.

Εὐτυχία δέ ἐστιν ὧν ἡ τύχη ἀγαθῶν αἰτία, ταῦτα γί-
1362a *γνεσθαι καὶ ὑπάρχειν ἢ πάντα ἢ τὰ πλεῖστα ἢ τὰ μέγιστα. Αἰτία δ' ἐστὶν ἡ τύχη ἐνίων μὲν καὶ ὧν αἱ τέχναι, πολλῶν δὲ καὶ ἀτέχνων, οἷον ὅσων ἡ φύσις, ἐνδέχεται δὲ καὶ παρὰ φύσιν εἶναι· ὑγιείας μὲν γὰρ τέχνη αἰτία, κάλλους δὲ καὶ μεγέθους φύσις. Ὅλως δὲ τὰ τοιαῦτα τῶν ἀγαθῶν ἐστὶν ἀπὸ τύχης, ἐφ' οἷς ἐστὶν ὁ φθόνος. Ἔστιν δὲ καὶ τῶν παρὰ λόγον ἀγαθῶν αἰτία τύχη, οἷον εἰ οἱ ἄλλοι αἰσχροὶ ἀδελφοί, ὁ δὲ καλός, ἢ οἱ ἄλλοι μὴ εἶδον τὸν θησαυρόν, ὁ δ' εὗρεν, ἢ εἰ τοῦ πλησίον ἔτυχεν τὸ βέλος, τούτου δὲ μή, ἢ εἰ μὴ ἦλθε μόνος ἀεὶ φοιτῶν, οἱ δὲ ἅπαξ ἐλθόντες διεφθάρησαν· πάντα γὰρ τὰ τοιαῦτα εὐτυχήματα δοκεῖ εἶναι.* ***

---

1. Ἐννοεῖ τὰ «παρὰ λόγον» ἀγαθά, τῶν ὁποίων δίδει ἀμέσως παρακάτω ἀρκετὰ παραδείγματα.

2. Εἰς τὸ κείμενον, καὶ ἐδῶ καὶ εἰς ἄλλα ἐδάφια, ἡ ἰατρικ χαρακτηρίζεται ὡς τέχνη. Σήμερον ὅμως αὐτὸ δὲν θὰ εἶχε νόημ

εἴπουμεν ὅτι ἔχει καλὰ ὑστερνὰ οὔτε ἐκεῖνος ποὺ γηράσκει γρήγορα, οὔτε πάλιν ἐκεῖνος μὲν ποὺ γηράσκει μὲν ἀργά, ἀλλὰ τότε ὑποφέρει πολύ. Τὸ ἀγαθὸν αὐτὸ ἐξαρτᾶται καὶ ἀπὸ τὰς σωματικὰς ἀρετάς, ἀλλὰ καὶ ἀπὸ τὰς ἰδιοτροπίας τῆς τύχης. Πράγματι, ἐκεῖνος ποὺ δὲν εἶναι ἀπηλλαγμένος ἀπὸ ἀρρώστεια καὶ δὲν ἔχει ἰσχυρὰν κρᾶσιν, δὲν εἶναι δυνατὸν νὰ μὴ ὑποφέρῃ στὰ γεράματά του. Ἀλλὰ καὶ χωρὶς τὴν εὔνοιαν τῆς τύχης δὲν ἠμπορεῖ νὰ ζήσῃ κανεὶς πολλὰ χρόνια χωρὶς ἐνοχλήσεις. Καὶ ὅταν ὅμως λείπῃ ἡ ὑγεία καὶ ἡ δύναμις ὑπάρχει κάποια ἄλλη αἰτία μακροβιότητος. Καὶ πράγματι, συχνὰ βλέπομεν νὰ ζοῦν πάρα πολλὰ χρόνια ἄνθρωποι ποὺ δὲν ἔχουν αὐτὰ τὰ σωματικὰ προσόντα. Ἀλλὰ δὲν θὰ μᾶς ἐχρησίμευε πρὸς τὸ παρὸν εἰς τίποτε ἡ λεπτομερὴς ἐξέτασις αὐτοῦ τοῦ ζητήματος.

Τὸ νὰ ἔχῃ κανεὶς πολλοὺς καὶ χρηστοὺς φίλους εἶναι πρόδηλον πλεονέκτημα, ὅταν δώσωμεν τὸν ὁρισμὸν ὅτι φίλος εἶναι ἐκεῖνος ποὺ εἶναι ἕτοιμος νὰ κάμῃ διὰ τὸν φίλον του ὅσα, κατὰ τὴν γνώμην του, τοῦ εἶναι ὠφέλιμα. Ὀνομάζομεν λοιπὸν πολύφιλον ἐκεῖνον ποὺ ἔχει πολλοὺς τέτοιους φίλους καὶ χρηστόφιλον ἐκεῖνον ποὺ ἔχει φίλους χρηστοὺς ἀνθρώπους.

Τυχηρὸς εἶναι ἐκεῖνος ποὺ ηὗρεν ἢ παράγει ἢ ὅλα ἢ τὰ περισσότερα ἀπὸ ἐκεῖνα τὰ ἀγαθὰ ποὺ ὀφείλονται εἰς τὴν τύχην. Ἡ δὲ τύχη εἶναι αἰτία καὶ μερικῶν ἀγαθῶν ποὺ ἠμποροῦν νὰ προέλθουν καὶ ἀπὸ κάποιαν τέχνην ἢ ἐπιστήμην, ἀλλὰ καὶ πολλῶν ἄλλων ποὺ δὲν ἠμπορεῖ νὰ τὰ δημιουργήσῃ καμμία τέχνη. Τέτοια εἶναι τὰ φυσικὰ χαρίσματα, καθὼς καὶ μερικὰ ποὺ δὲν ἠμπορεῖ οὔτε κἂν εἰς τὴν φύσιν νὰ ἀποδοθοῦν [1]. Ἔτσι ἡ διατήρησις τῆς ὑγείας προέρχεται καὶ ἀπὸ τὴν ἰατρικὴν ἐπιστήμην [2]. Ἡ ὀμορφιὰ ὅμως καὶ τὸ ἀνάστημα εἶναι φυσικὰ χαρίσματα. Γενικῶς δὲ ὀφείλονται εἰς τὴν εὔνοιαν τῆς τύχης ἐκεῖνα τὰ ἀγαθὰ ποὺ προκαλοῦν τὸν φθόνον. Ἡ τύχη ἐπίσης εἶναι αἰτία μερικῶν ἀγαθῶν ποὺ ἡ λογικὴ δὲν ἠμπορεῖ νὰ τὰ ἐξηγήσῃ. Ὅταν, παραδείγματος χάριν, κάποιος εἶναι ὡραῖος, ἐνῷ ὅλοι οἱ ἀδελφοί του εἶναι ἄσχημοι. Ἢ ὅταν κανεὶς ἀπὸ ὅλους τοὺς ἄλλους δὲν εἶδε τὸν θησαυρὸν καὶ κάποιος τὸν ἀνεκάλυψε. Ἢ ὅταν τὸ βέλος δὲν ἐκτύπησε κάποιον, ἀλλὰ τὸν πλαϊνόν του, ἢ ὅταν κάποιος, ποὺ ἐσύχναζεν εἰς ἕνα ὡρισμένον μέρος, εἶναι ὁ μόνος ποὺ δὲν εὑρέθηκε ἐκεῖ τὴν ἡμέραν τοῦ κινδύνου, ἐνῷ ἄλλοι, ποὺ μόνον ἐκείνην τὴν φορὰν ἐπῆγαν εἰς αὐτὸ τὸ μέρος, ἐχάθηκαν. Καὶ ὅλα τὰ παρόμοια ἀποδίδονται εἰς τὴν εὔνοιαν τῆς τύχης.

Περὶ δὲ ἀρετῆς ἐπείπερ οἰκειότατος ὁ περὶ τοὺς ἐπαίνους τόπος, ὅταν περὶ ἐπαίνου ποιώμεθα τὸν λόγον, τότε διοριστέον.

6. Ὧν μὲν οὖν δεῖ στοχάζεσθαι προτρέποντα ὡς ἐσομένων ἢ ὑπαρχόντων, καὶ ὧν ἀποτρέποντα, φανερόν· τὰ γὰρ ἐναντία τούτων ἐστίν. Ἐπεὶ δὲ πρόκειται τῷ συμβουλεύοντι σκοπὸς τὸ συμφέρον, βουλεύονται γὰρ οὐ περὶ τοῦ τέλους ἀλλὰ περὶ τῶν πρὸς τὸ τέλος, ταῦτα δ' ἐστὶ τὰ συμφέροντα κατὰ τὰς πράξεις, τὸ δὲ συμφέρον ἀγαθόν, ληπτέον ἂν εἴη τὰ στοιχεῖα περὶ ἀγαθοῦ καὶ συμφέροντος ἁπλῶς. Ἔστω δὴ ἀγαθὸν ὃ ἂν αὐτὸ ἑαυτοῦ ἕνεκα ᾖ αἱρετόν, καὶ οὗ ἕνεκα ἄλλο αἱρούμεθα, καὶ οὗ ἐφίεται πάντα ἢ πάντα τὰ αἴσθησιν ἔχοντα ἢ νοῦν ἢ εἰ λάβοι νοῦν· καὶ ὅσα ὁ νοῦς ἂν ἑκάστῳ ἀποδοίη, καὶ ὅσα ὁ περὶ ἕκαστον νοῦς ἀποδίδωσιν ἑκάστῳ· τοῦτο ⟨γάρ⟩ ἐστιν ἑκάστῳ ἀγαθόν, καὶ οὗ παρόντος εὖ διάκειται καὶ αὐτάρκως ἔχει, καὶ τὸ αὔταρκες, καὶ τὸ ποιητικὸν ἢ φυλακτικὸν τῶν τοιούτων, καὶ ᾧ ἀκολουθεῖ τὰ τοιαῦτα, καὶ τὰ κωλυτικὰ τῶν ἐναντίων καὶ τὰ φθαρτικά. Ἀκολουθεῖ δὲ διχῶς· ἢ γὰρ ἅμα ἢ ὕστερον, οἷον τῷ μὲν μανθάνειν τὸ ἐπίστασθαι ὕστερον, τῷ δὲ ὑγιαίνειν τὸ ζῆν ἅμα. Καὶ τὰ ποιητικὰ τριχῶς, τὰ μὲν ὡς τὸ ὑγιαίνειν ὑγιείας, τὰ δὲ ὡς σιτία ὑγιείας, τὰ δὲ ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπὶ τὸ πολὺ ποιεῖ ὑγίειαν. Τούτων δὲ κειμένων ἀνάγκη

---

1. Εἰς τὸ 9ον κεφάλαιον τοῦ Α' τούτου βιβλίου.
2. Ἡ φράσις αὐτὴ προστίθεται διὰ νὰ διασαφηνισθῇ τὸ νόημα.

Διὰ τὴν ἀρετὴν πάλιν, ἐπειδὴ εἶναι κοινὸς τόπος πάρα πολὺ κατάλληλος διὰ τὸν ἔπαινον, θὰ ἀσχοληθῶμεν ἐκεῖ ὅπου θὰ κάμωμεν λόγον περὶ τοῦ ἐπαίνου [1].

Αὐτὰ προδήλως πρέπει νὰ ἔχῃ εἰς τὸν νοῦν του ἐκεῖνος ποὺ θέλει νὰ προτρέψῃ ἢ νὰ ἀποτρέψῃ, εἴτε ἡ ὁμιλία του ἀφορᾷ τὸ παρόν, εἴτε τὸ μέλλον. Ἀποτρέπει δὲ κανεὶς ἀπὸ τὰ ἀντίθετα ἐκείνων ποὺ ἕως τώρα ἐξετέθησαν.

6. ΤΟ ΚΑΛΟΝ ΚΑΙ ΤΟ ΣΥΜΦΕΡΟΝ

Ἀφοῦ ὁ πολιτικὸς ρήτωρ τάσσει εἰς τὸν ἑαυτόν του ὡς σκοπὸν νὰ συμβουλεύῃ ἐκεῖνα ποὺ συμφέρουν, ὁ τελικὸς ὅμως αὐτὸς σκοπὸς δὲν ἀποτελεῖ τὸ θέμα τῶν συζητήσεων—ἀφοῦ ὅλοι εἶναι σύμφωνοι ὅτι τὸ συμφέρον πρέπει νὰ ἐπιδιώκεται [2]—, ἀλλὰ τὰ μέσα ποὺ ἄγουν πρὸς τὸν σκοπόν, δηλ. αἱ ἐνέργειαι ποὺ συμφέρουν, καὶ ἀκόμη, ἀφοῦ ἐκεῖνο ποὺ εἶναι συμφέρον εἶναι καλόν, θὰ ἔπρεπε νὰ προσδιορίσωμεν κατὰ κάποιον γενικὸν τρόπον τὰ στοιχεῖα ποὺ ἀποτελοῦν τὸ καλὸν καὶ τὸ συμφέρον.

Ἂς δεχθῶμεν ὅτι καλὸν εἶναι ἐκεῖνο ποὺ πρέπει κανεὶς νὰ ἀκολουθῇ, διότι εἶναι αὐτὸ ποὺ εἶναι, καὶ ποὺ ἐξ αἰτίας του πρέπει νὰ ἀκολουθῇ κάτι ἄλλο, καὶ ποὺ τὸ ἐπιθυμοῦν ὅλα τὰ ὄντα, θέλω νὰ εἰπῶ ὅλα τὰ ὄντα ποὺ ἔχουν αἰσθήσεις καὶ νοῦν, ἢ ὅλα, ἂν ἀποκτοῦσαν νοῦν. Ἐπίσης ἐκεῖνο ποὺ ἡ διάνοια θὰ καθώριζεν ὅτι ἁρμόζει εἰς τὸν καθένα, ἢ ἐκεῖνο ποὺ ἡ διάνοια τοῦ καθενὸς καθορίζει ὅτι τοῦ ἁρμόζει, αὐτὸ εἶναι γιὰ τὸν καθένα τὸ καλόν. Καλὸν εἶναι ἀκόμη ἐκεῖνο ποὺ ὅταν τὸ ἔχωμεν, εἴμεθα καλὰ διατεθειμένοι καὶ ἱκανοποιημένοι, καθὼς καὶ ἡ αὐτάρκεια, καὶ ὅσα δημιουργοῦν ἢ διατηροῦν αὐτὰ τὰ διάφορα πλεονεκτήματα, ἢ ὅσα εἶναι ἐπακόλουθά των, ἢ ὅσα ἐμποδίζουν ἢ καταστρέφουν τὰ ἀντίθετα τοῦ καλοῦ.

Ἡ δὲ ἀλληλουχία τῶν διαφόρων πραγμάτων παρουσιάζεται κατὰ δύο τρόπους. Εἴτε ἐμφανίζονται συγχρόνως καὶ τὰ δύο, εἴτε τὸ ἓν κατόπιν τοῦ ἄλλου. Ἔτσι ἡ μάθησις παρουσιάζεται κατόπιν ἀπὸ τὴν μελέτην. Ἡ ζωὴ μαζὶ μὲ τὴν ὑγείαν. Παράγονται δὲ τὰ πράγματα κατὰ τρεῖς τρόπους. Ἔτσι ἡ ὑγεία ἢ ὀφείλεται εἰς τὸ ὅτι εἶναι κάποιος (ἐκ φύσεως) ὑγιής, ἢ εἰς τὸ ὅτι τρέφεται καλά, ἢ εἰς τὸ ὅτι γυμνάζεται, πρᾶγμα ποὺ περισσότερον ἀπὸ κάθε ἄλλο συντελεῖ εἰς τὴν ὑγείαν.

τάς τε λήψεις τῶν ἀγαθῶν ἀγαθὰς εἶναι καὶ τὰς τῶν κακῶν ἀποβολάς· ἀκολουθεῖ γὰρ τῷ μὲν τὸ μὴ ἔχειν τὸ κακὸν ἅμα, τῷ δὲ τὸ ἔχειν ἀγαθὸν ὕστερον. Καὶ ἡ ἀντ' ἐλάττονος ἀγαθοῦ μείζονος λῆψις καὶ ἀντὶ μείζονος κακοῦ ἐλάττονος· ᾧ
1362b *γὰρ ὑπερέχει τὸ μεῖζον τοῦ ἐλάττονος, τούτου γίνεται τοῦ μὲν λῆψις τοῦ δ' ἀποβολή. Καὶ τὰς ἀρετὰς δὲ ἀνάγκη ἀγαθὸν εἶναι· κατὰ γὰρ ταύτας εὖ τε διάκεινται οἱ ἔχοντες, καὶ ποιητικαὶ τῶν ἀγαθῶν εἰσι καὶ πρακτικαί. Περὶ ἑκάστης δὲ καὶ τίς καὶ ποία χωρὶς ῥητέον. Καὶ τὴν ἡδονὴν ἀγαθὸν εἶναι· πάντα γὰρ ἐφίεται τὰ ζῷα αὐτῆς τῇ φύσει. Ὥστε καὶ τὰ ἡδέα καὶ τὰ καλὰ ἀνάγκη ἀγαθὰ εἶναι· τὰ μὲν γὰρ ἡδονῆς ποιητικά, τῶν δὲ καλῶν τὰ μὲν ἡδέα τὰ δὲ αὐτὰ καθ' ἑαυτὰ αἱρετά ἐστιν.*

Ὡς δὲ καθ' ἓν εἰπεῖν, ἀνάγκη ἀγαθὰ εἶναι τάδε. Εὐδαιμονία· καὶ γὰρ καθ' αὑτὸ αἱρετὸν καὶ αὔταρκες, καὶ ἕνεκα αὐτοῦ πολλὰ αἱρούμεθα. Δικαιοσύνη, ἀνδρία, σωφροσύνη, μεγαλοψυχία, μεγαλοπρέπεια καὶ αἱ ἄλλαι αἱ τοιαῦται ἕξεις· ἀρεταὶ γὰρ ψυχῆς. Καὶ ὑγίεια καὶ κάλλος καὶ τὰ τοιαῦτα· ἀρεταὶ γὰρ σώματος καὶ ποιητικαὶ πολλῶν, οἷον ἡ ὑγίεια καὶ ἡδονῆς καὶ τοῦ ζῆν, διὸ καὶ ἄριστον δοκεῖ εἶναι, ὅτι δύο τῶν τοῖς πολλοῖς τιμιωτάτων αἴτιόν ἐστιν, ἡδονῆς καὶ τοῦ ζῆν. Πλοῦτος· ἀρετὴ γὰρ κτήσεως καὶ ποιητικὸν πολλῶν. Φίλος καὶ φιλία· καὶ γὰρ καθ' αὑτὸν αἱρε-

---

1. Αὐτὸ εἶναι, ἂν καὶ ἀρκετὰ στρυφνόν, τὸ ἀκριβὲς νόημα τῆς περιόδου. Τὸ «τῷ μὲν» ἀναφέρεται εἰς τὸ ἐγγύτερον, εἰς τὰς ἀποβολὰς τῶν κακῶν, καὶ ὄχι εἰς τὰς λήψεις τῶν ἀγαθῶν, ὅπως κακῶς ἔχει ἀποδοθῆ.

2. Ποιητικαὶ καὶ πρακτικαὶ ἀγαθῶν=ποιοῦσι καὶ πράττουσι τὰ ἀγαθά. Τὸ δεύτερον ἀπὸ τὰ δύο αὐτὰ ρηματικὰ ἐπίθετα ἔχει ὅλως διόλου κατὰ παρεξήγησιν ἀποδοθῆ: αἱ ἀρεταὶ ἔχουν... πρακτικὴν ἀξίαν.

Ἅμα αὐτὰ θεωρηθοῦν ὡς δεδομένα, ἀναγκαία συνέπεια εἶναι ὅτι καλὸν εἶναι καὶ ἡ ἀποδοχὴ τῶν καλῶν πράξεων καὶ ἡ ἀπαλλαγὴ ἀπὸ τὰς κακάς. Ἡ ἀπαλλαγὴ αὐτὴ ἔχει ὡς σύγχρονον συνέπειαν τὸ νὰ μὴ ἔχωμεν τὸ κακόν, ἡ δὲ ἀποδοχὴ τῶν καλῶν πράξεων ἔχει ὡς ἐπακολούθημα τὴν ἀπόκτησιν τοῦ καλοῦ [1].

Καλὸν ἐπίσης εἶναι τὸ νὰ προτιμῶμεν τὸ μεγαλύτερον καλὸν ἀπὸ ἕνα ἄλλο μικρότερον, καθὼς καὶ τὸ νὰ προτιμῶμεν τὸ μικρότερον κακὸν ἀπὸ ἕνα μεγαλύτερον. Διότι ἔτσι προτιμῶμεν τὸ καλὸν ἢ ἀπαλλασσόμεθα ἀπὸ τὸ κακὸν εἰς τόσον βαθμόν, ὅση εἶναι ἡ διαφορὰ μεταξὺ τοῦ μεγαλυτέρου καὶ τοῦ μικροτέρου, καλοῦ ἢ κακοῦ, μεταξὺ τῶν ὁποίων ἐκάμαμεν τὴν ἐκλογήν μας.

Εἴμεθα δὲ ἀναγκασμένοι νὰ δεχθῶμεν ὅτι καὶ αἱ ἀρεταὶ εἶναι καλόν. Πράγματι, αὐταὶ προκαλοῦν τὴν καλὴν ψυχικὴν διάθεσιν ἐκείνων ποὺ τὰς ἔχουν, ἀκόμη δὲ γεννοῦν καὶ πραγματοποιοῦν τὸ καλόν [2]. Θὰ ὁμιλήσωμεν ὅμως χωριστὰ περὶ τῆς φύσεως καὶ τῶν ἰδιοτήτων μιᾶς ἑκάστης ἀρετῆς.

Πρέπει ἀκόμη νὰ δεχθῶμεν ὅτι καὶ ἡ ἡδονὴ εἶναι καλόν. Διότι ὅλα τὰ ζωντανὰ ὄντα τὴν ἀναζητοῦν, τὸ καθένα κατὰ τὸ φυσικόν του. Πρέπει λοιπὸν νὰ εἴπωμεν ὅτι καὶ τὰ εὐχάριστα καὶ τὰ ὡραῖα πράγματα εἶναι καλά. Τὰ μὲν εὐχάριστα, διότι δημιουργοῦν τὴν ἡδονήν, ἀπὸ δὲ τὰ ὡραῖα, ἄλλα μὲν διότι εἶναι εὐχάριστα, ἄλλα δὲ διότι πρέπει νὰ τὰ προτιμῶμεν αὐτὰ καθ' ἑαυτά.

Διὰ νὰ εἰσέλθωμεν εἰς τὰς λεπτομερείας, ἰδοὺ ποῖα πράγματα εἶναι κατ' ἀνάγκην καλά. Ἡ εὐτυχία. Διότι καὶ αὐτὴ καθ' ἑαυτὴν πρέπει νὰ προτιμᾶται, καὶ μᾶς ἱκανοποιεῖ καὶ πρὸς χάριν της ἐπιδιώκομεν πολλὰ ἄλλα πράγματα.

Ἡ δικαιοσύνη, ἡ ἀνδρεία, ἡ ἐγκράτεια, ἡ μεγαλοψυχία, ἡ μεγαλοπρέπεια καὶ ὅλαι αἱ ἄλλαι ἐσωτερικαὶ διαθέσεις αὐτοῦ τοῦ εἴδους. Διότι αὐταὶ εἶναι αἱ ἀρεταὶ τῆς ψυχῆς.

Ἡ ὑγεία, ἡ ὀμορφιὰ καὶ τὰ παρόμοια. Αὐταὶ εἶναι αἱ ἀρεταὶ τοῦ σώματος καὶ δημιουργοῦν πολλὰ ἄλλα καλά. Ἔτσι ἡ ὑγεία μᾶς παρέχει τὴν ἡδονὴν καὶ τὴν ζωήν. Δι' αὐτὸ καὶ θεωρεῖται ὅτι εἶναι τὸ μεγαλύτερον καλὸν στὸν κόσμο, διότι εἶναι ἡ βάσις τῶν δύο καλῶν ποὺ γενικῶς ἐκτιμῶνται περισσότερον ἀπὸ ὅλα, τῆς ἡδονῆς καὶ τῆς ζωῆς.

Ὁ πλοῦτος. Διότι αὐτὸς εἶναι ἡ ἀρετὴ τῆς κατοχῆς καὶ ἰσχυρὸν μέσον δράσεως.

Ὁ φίλος καὶ ἡ φιλία. Πράγματι, ὁ φίλος εἶναι ἕνα κα-

τὸς ὁ φίλος καὶ ποιητικὸς πολλῶν. Τιμή, δόξα· καὶ γὰρ ἡδέα καὶ ποιητικὰ πολλῶν, καὶ ἀκολουθεῖ αὐτοῖς ὡς ἐπὶ τὸ πολὺ τὸ ὑπάρχειν ἐφ᾽ οἷς τιμῶνται. Δύναμις τοῦ λέγειν, τοῦ πράττειν· ποιητικὰ γὰρ πάντα τὰ τοιαῦτα ἀγαθῶν. Ἔτι εὐφυΐα, μνήμη, εὐμάθεια, ἀγχίνοια, πάντα τὰ τοιαῦτα. Ποιητικαὶ γὰρ αὗται ἀγαθῶν αἱ δυνάμεις εἰσίν. Ὁμοίως δὲ καὶ αἱ ἐπιστῆμαι πᾶσαι καὶ αἱ τέχναι. Καὶ τὸ ζῆν· εἰ γὰρ μηδὲν ἄλλο ἕποιτο ἀγαθόν, καθ᾽ αὑτὸ αἱρετόν ἐστιν. Καὶ τὸ δίκαιον· συμφέρον γάρ τι κοινῇ ἐστιν.

Ταῦτα μὲν οὖν σχεδὸν τὰ ὁμολογούμενα ἀγαθά ἐστιν· ἐν δὲ τοῖς ἀμφισβητησίμοις ἐκ τῶνδε οἱ συλλογισμοί. Ὧι τὸ ἐναντίον κακόν, τοῦτ᾽ ἀγαθόν. Καὶ οὗ τὸ ἐναντίον τοῖς ἐχθροῖς συμφέρει· οἷον εἰ τὸ δειλοὺς εἶναι μάλιστα συμφέρει τοῖς ἐχθροῖς, δῆλον ὅτι ἀνδρία μάλιστα ὠφέλιμον τοῖς πολίταις. Καὶ ὅλως ὃ οἱ ἐχθροὶ βούλονται ἢ ἐφ᾽ ᾧ χαίρουσι, τοὐναντίον τούτου ὠφέλιμον φαίνεται· διὸ εἴρηται

«ἦ κεν γηθήσαι Πρίαμος».

Ἔστι δ᾽ οὐκ ἀεὶ τοῦτο, ἀλλ᾽ ὡς ἐπὶ τὸ πολύ. Οὐδὲν γὰρ κωλύει ἐνίοτε ταὐτὸ συμφέρειν τοῖς ἐναντίοις· ὅθεν λέγεται
1363 a *ὡς τὰ κακὰ συνάγει τοὺς ἀνθρώπους, ὅταν ᾖ ταὐτὸ βλαβερὸν ἀμφοῖν. Καὶ ὃ μή ἐστιν ὑπερβολή, τοῦτο ἀγαθόν, ὃ δ᾽ ἂν ᾖ μεῖζον ἢ δεῖ, κακόν. Καὶ οὗ ἕνεκα πολλὰ πεπόνηται ἢ δεδαπάνηται· φαινόμενον γὰρ ἀγαθὸν ἤδη, καὶ ὡς τέλος*

---

1. Ἰλιάδ. Α, 255. (Μετάφρ. Πάλλη). Ἐπιχείρημα τοῦ Νέστορος, διὰ νὰ συμφιλιώσῃ τὸν Ἀγαμέμνονα μὲ τὸν Ἀχιλλέα.

λὸν ποὺ καὶ καθ' ἑαυτὸ πρέπει νὰ τὸ ἐπιδιώκωμεν, καὶ εἶναι ἰσχυρὸν μέσον δράσεως.

Αἱ τιμαὶ καὶ ἡ δόξα. Διότι αὐτὰ καὶ εὐχάριστα εἶναι καὶ ἰσχυρὰ μέσα δράσεως, καὶ ἀκόμη κατὰ κανόνα τὰ καλὰ αὐτὰ εἶναι συνέπεια ἄλλων ἀρετῶν, ποὺ ἐξ αἰτίας των ἀπονέμονται αἱ τιμαί.

Ἡ δύναμις τοῦ λόγου καὶ ἡ ἱκανότης εἰς τὴν πρᾶξιν. Πράγματι, ὅλα αὐτὰ εἶναι πρόξενοι καλοῦ.

Ἂς ἀναφέρωμεν ἀκόμη τὴν εὐφυΐαν, τὴν μνήμην, τὴν εὐκολίαν μαθήσεως, τὴν ἀγχίνοιαν καὶ ὅλα τὰ παρόμοια. Ὅλαι αὐταὶ αἱ ἱκανότητες, πράγματι, εἶναι πρόξενοι καλοῦ. Ἐπίσης αἱ ἐπιστῆμαι καὶ αἱ τέχναι.

Καὶ ἡ ζωὴ εἶναι καλόν. Πράγματι, καὶ ἂν ἀκόμη αὐτὴ δὲν εἶχεν ὡς συνέπειαν καὶ ἄλλα καλά, πάλιν πρέπει νὰ τὴν ἐπιδιώκῃ κανεὶς αὐτὴν καθ' ἑαυτήν.

Ἡ δικαιοσύνη, ποὺ εἶναι τρόπον τινὰ τὸ γενικὸν συμφέρον. Αὐτὰ περίπου εἶναι τὰ καλὰ ποὺ ἀπὸ ὅλους γενικῶς ἀναγνωρίζονται.

Ὅσον διὰ τὰ καλὰ ποὺ ἀμφισβητοῦνται, πρέπει νὰ κάμνωμεν τοὺς συλλογισμούς μας ἀπὸ τὰς ἑξῆς προτάσεις : Καλὸν εἶναι κάθε πρᾶγμα, τοῦ ὁποίου τὸ ἀντίθετον εἶναι κακόν.

Καλὸν εἶναι ἐπίσης ἐκεῖνο τὸ πρᾶγμα, τὸ ἀντίθετον τοῦ ὁποίου συμφέρει εἰς τοὺς ἐχθρούς. Ἔτσι, ἂν ἡ δειλία ὠφελῇ πάρα πολὺ τοὺς ἐχθροὺς μιᾶς πολιτείας, εἶναι φανερὸν ὅτι ἡ ἀνδρεία εἶναι μεγάλο καλὸν διὰ τοὺς πολίτας της.

Καὶ γενικῶς, τὸ ἀντίθετον ἐκείνου ποὺ ἐπιθυμοῦν οἱ ἐχθροί, ἢ ποὺ ἐξ αἰτίας του χαίρονται, εἶναι προδήλως ὠφέλιμον. Καὶ γι' αὐτὸ ἔχει εἰπεῖ ὁ ποιητὴς

«πῶς θὰ πετάξῃ ἀπ' τὴ χαρὰ ὁ Πρίαμος» [1].

Ἐννοεῖται ὅτι αὐτὸ δὲν συμβαίνει πάντοτε, ἀλλὰ τὶς πιὸ πολλὲς φορές. Πράγματι, τίποτε δὲν ἐμποδίζει ὥστε μερικὲς φορὲς τὸ ἴδιον πρᾶγμα νὰ εἶναι ὠφέλιμον καὶ εἰς τὰ δύο ἀντίπαλα μέρη. Καὶ γι' αὐτὸ λέγουν ὅτι ἡ δυστυχία ἑνώνει τοὺς ἀνθρώπους, ὅταν ἕνα καὶ τὸ αὐτὸ πρᾶγμα εἶναι βλαβερὸν καὶ εἰς τὰ δύο μέρη.

Ἐκεῖνο ποὺ δὲν εἶναι ὑπερβολικόν, εἶναι καλόν. Κακὸν ὅμως εἶναι ἐκεῖνο ποὺ εἶναι μεγαλύτερον ἀπὸ ὅ,τι χρειάζεται.

Καλὸν ἐπίσης εἶναι ἐκεῖνο ποὺ πρὸς χάριν του κατεβλήθησαν πολλοὶ κόποι ἢ πολλαὶ δαπάναι. Πράγματι, διὰ νὰ γίνουν πρὸς χάριν του ὅλα αὐτὰ (οἱ κόποι καὶ αἱ δαπάναι)

τὸ τοιοῦτον ὑπολαμβάνεται καὶ τέλος πολλῶν, τὸ δὲ τέλος ἀγαθόν. Ὅθεν ταῦτ' εἴρηται.

«κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ»

καὶ

«αἰσχρόν τοι δηρόν τε μένειν»·

καὶ ἡ παροιμία δὲ τὸ ἐπὶ θύραις τὴν ὑδρίαν. Καὶ οὗ ⟨οἱ⟩ πολλοὶ ἐφίενται, καὶ τὸ περιμάχητον φαινόμενον· οὗ γὰρ πάντες ἐφίενται, τοῦτ' ἀγαθὸν ἦν, οἱ δὲ πολλοὶ ὥσπερ πάντες φαίνονται. Καὶ τὸ ἐπαινετόν· οὐδεὶς γὰρ τὸ μὴ ἀγαθὸν ἐπαινεῖ. Καὶ ὃ οἱ ἐχθροὶ [καὶ οἱ φαῦλοι] ἐπαινοῦσιν· ὥσπερ γὰρ πάντες ἤδη ὁμολογοῦσιν, εἰ καὶ οἱ κακῶς πεπονθότες· διὰ γὰρ τὸ φανερὸν ὁμολογοῖεν ἄν, ὥσπερ καὶ φαῦλοι οὓς οἱ φίλοι ψέγουσι καὶ οὓς οἱ ἐχθροὶ μὴ ψέγουσιν. Διὸ λελοιδορῆσθαι ὑπέλαβον Κορίνθιοι ὑπὸ Σιμωνίδου ποιήσαντος

Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον.

Καὶ ὃ τῶν φρονίμων τις ἢ τῶν ἀγαθῶν ἀνδρῶν ἢ γυναικῶν προέκρινεν, οἷον Ὀδυσσέα Ἀθηνᾶ καὶ Ἑλένην Θησεὺς καὶ Ἀλέξανδρον αἱ θεαὶ καὶ Ἀχιλλέα Ὅμηρος. Καὶ ὅλως τὰ προαιρετά· προαιροῦνται δὲ πράττειν τά τε εἰρη-

1. Ἡ στρυφνὴ αὐτὴ φράσις, ποὺ δὲν μειοῦται ἡ στρυφνότης της μὲ τὸ νὰ καλέσωμεν εἰς βοήθειαν τὴν ἑρμηνείαν τοῦ ὅρου «τέλος» ἀπὸ ἄλλα συγγράμματα τοῦ Ἀριστοτέλους, ἔχει προκαλέσει πολλὰ σχόλια τῶν ἑρμηνευτῶν καὶ πολλαὶ ἔχουν προταθῆ διορθώσεις ἢ συμπληρώσεις τοῦ ἀρχαίου κειμένου ἀπὸ τοὺς κριτικούς. Μὲ τὸ ὑπάρχον κείμενον, νομίζομεν ὅτι προσεγγίζομεν, ἂν ὄχι εἰς τὸ ἀληθινὸν νόημα τοῦ συγγραφέως (ἀφοῦ ἀμφισβητεῖται τὸ πῶς ἔχει ἀρχικῶς γραφῆ), ἀλλὰ τοὐλάχιστον εἰς ἓν λογικὸν καὶ ἀβίαστον νόημα, ἂν ἀναλυτικώτερα δεχθῶμεν ὅτι ἡ σημασία της εἶναι ἡ ἑξῆς: Ἐπειδὴ ἡ ἐγκατάλειψις ἀκάρπων τόσων προσπαθειῶν, κόπων καὶ δαπανῶν εἶναι κακὸν καὶ ἐπειδὴ καλὸν εἶναι τὸ ἀντίθετον τοῦ κακοῦ, ἕπεται ὅτι ἡ ἐπιτυχία τοῦ τελικοῦ σκοποῦ μας, χάριν τοῦ ὁποίου πολὺ ἐκοπιάσαμεν καὶ πολλὰ ἐδαπανήσαμεν, εἶναι καλόν.

2 Ἰλιάδ. Β, 160 καὶ 176. Ἐπιχείρημα τῆς Ἀθηνᾶς, διὰ νὰ μὴ ἐγκαταλείψουν οἱ Ἕλληνες τὴν πολιορκίαν τῆς Τροίας.

3. Ἰλιάδ. Β, 298. (Μετάφρ. Πάλλη). Ἐπιχείρημα τοῦ Ὀδυσσέως πρὸς τὸν αὐτὸν σκοπόν.

σημαίνει ὅτι ἦτο ἤδη φανερὸν ὅτι εἶναι καλόν, καὶ ἕνα πρᾶγμα αὐτοῦ τοῦ εἴδους θεωρεῖται ὡς τελικὸς σκοπός, καὶ μάλιστα ὡς τελικὸς σκοπὸς πολλῶν προσπαθειῶν. Ὁ δὲ τελικὸς σκοπὸς εἶναι κάτι καλόν [1]. Καὶ γι' αὐτὸ ὁ ποιητὴς εἶπε:

«Θ' ἀφήσετε τὸν Πρίαμο νὰ καυχιέται» [2]

καὶ ἀκόμη:

«Ντροπῆς καιρὸ νὰ λείπουμε» [3].

Ἀπ' αὐτὸ ἐπίσης ἐβγῆκε ἡ παροιμία: «Τοῦσπασε ἡ στάμνα του ἔξω ἀπὸ τὴν πόρτα» [4].

Θεωρεῖται ἀκόμη καλὸν ἐκεῖνο ποὺ οἱ περισσότεροι ἄνθρωποι ἐπιδιώκουν, καὶ ἐκεῖνο ποὺ φανερὰ πολλοὶ τὸ διεκδικοῦν. Ἐπειδὴ εἴδαμε ὅτι καλὸν εἶναι ἐκεῖνο ποὺ ἐπιδιώκουν ὅλοι. Ἀλλ' ὅ,τι βλέπομεν ὅτι τὸ ἐπιδιώκουν οἱ περισσότεροι, θὰ πῇ πὼς τὸ κάμνουν ὅλοι.

Καλὸν ἐπίσης εἶναι καὶ ἐκεῖνο ποὺ ὁ κόσμος ἐπαινεῖ, γιατὶ κανεὶς δὲν ἐπαινεῖ ἐκεῖνο ποὺ δὲν εἶναι καλόν. Καθὼς καὶ ἐκεῖνο ποὺ ἐπαινοῦν οἱ ἐχθροὶ ἢ οἱ κακοὶ ἄνθρωποι. Διότι ὅταν καὶ ἐκεῖνοι ποὺ ἐβλάβησαν ἀπὸ κάτι τι, τὸ ἐπαινοῦν, εἶναι σὰν νὰ λέμε ὅτι ὅλοι τὸ ἀναγνωρίζουν ὡς καλόν. Διότι μόνον ὅταν κάτι τι εἶναι πασίδηλον τὸ ἀναγνωρίζουν ὅλοι, καὶ ἔτσι βλέπομεν τοὺς κακοὺς νὰ τοὺς κατηγοροῦν καὶ οἱ φίλοι των καὶ τοὺς καλοὺς νὰ μὴ τοὺς κατηγοροῦν οὔτε οἱ ἐχθροί των. Καὶ γι' αὐτὸ οἱ Κορίνθιοι ηὗραν ὑβριστικὸν τὸν στίχον τοῦ ποιητοῦ Σιμωνίδου:

«Καὶ μόνο γιὰ τοὺς Κορινθίους δὲν εἶπαν κατηγόρια οἱ Τρῶες» [5].

Καλὸν ἐπίσης εἶναι ἐκεῖνο ποὺ κάποιος καλὸς ἢ φρόνιμος ἄνθρωπος, ἄνδρας ἢ γυναῖκα, ἐπροτίμησεν. Ἔτσι ἡ Ἀθηνᾶ ἐπροτίμησε τὸν Ὀδυσσέα, ὁ Θησεὺς τὴν Ἑλένην, αἱ τρεῖς θεαὶ τὸν Πάριν (=τὸν Ἀλέξανδρον) καὶ ὁ Ὅμηρος τὸν Ἀχιλλέα.

Καὶ γενικῶς καλὸν εἶναι ἐκεῖνο ποὺ προτιμᾷ κανείς. Προτιμᾷ δὲ νὰ κάμνῃ ὁ καθένας καὶ αὐτὰ ποὺ ἔχομεν εἰπῆ

---

4. Δηλ. ἀφοῦ τὴν ἐγέμισε καὶ ἐγύρισε πλέον ἀπὸ τὴν βρύση.

5. Οἱ Κορίνθιοι ἦσαν σύμμαχοι καὶ τῶν ἄλλων Ἑλλήνων, ἀλλὰ καὶ τῶν Τρώων. Ἔτσι δὲν ἐνόμισαν τὸν ἑαυτόν των ὑποχρεωμένον νὰ ἐκστρατεύσῃ ἐναντίον τῆς Τροίας μαζὶ μὲ τοὺς ἄλλους Ἕλληνας καὶ δὲν ὑβρίζοντο ἀπὸ τοὺς Τρῶας. Ἀλλ' ἐθεώρουν ἀργότερον ὑβριστικὸν τὸ νὰ τοὺς ὑπενθυμίζεται αὐτὴ ἡ ἔλλειψις ἀλληλεγγύης πρὸς τοὺς ἄλλους Ἕλληνας.

μένα καὶ τὰ τοῖς ἐχθροῖς κακὰ καὶ τὰ τοῖς φίλοις ἀγαθὰ καὶ τὰ δυνατά. Ταῦτα δὲ διχῶς ἐστιν τά τε γενόμενα ἂν καὶ τὰ ῥᾳδίως γιγνόμενα. Ῥᾴδια δὲ ὅσα ἢ ἄνευ λύπης ἢ ἐν ὀλίγῳ χρόνῳ· τὸ γὰρ χαλεπὸν ὁρίζεται ἢ λύπῃ ἢ πλήθει χρόνου. Καὶ ἐὰν ὡς βούλονται· βούλονται δὲ ἢ μηδὲν κακὸν ἢ ἔλαττον τοῦ ἀγαθοῦ· τοῦτο δὲ ἔσται, ἐὰν ἢ λανθάνῃ ἡ τιμωρία ἢ μικρὰ ᾖ. Καὶ τὰ ἴδια, καὶ ἃ μηδείς, καὶ τὰ περιττά· τιμὴ γὰρ οὕτω μᾶλλον. Καὶ τὰ ἁρμόττοντα αὐτοῖς· τοιαῦτα δὲ τά τε προσήκοντα κατὰ γένος καὶ δύναμιν, καὶ ὧν ἐλλείπειν οἴονται καὶ ἂν μικρὰ ᾖ· οὐδὲν γὰρ ἧττον προαιροῦνται ταῦτα πράττειν. Καὶ τὰ εὐκατέργαστα· δυνατὰ γὰρ ὡς ῥᾴδια· εὐκατέργαστα δὲ ἃ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ ὅμοιοι ἢ οἱ ἥττους κατώρθωσαν. Καὶ ἃ χαριοῦνται τοῖς φίλοις, ἢ ἃ ἀπεχθήσονται τοῖς ἐχθροῖς. Καὶ ὅσα οὓς θαυμάζουσι προαιροῦνται πράττειν. Καὶ πρὸς ἃ εὐφυεῖς εἰσιν καὶ ἔμπειροι· ῥᾷον γὰρ κατορθῶσαι οἴονται. Καὶ ἃ μηδεὶς φαῦλος· ἐπαινετὰ γὰρ μᾶλλον. Καὶ ὧν ἐπιθυμοῦντες τυγχάνουσιν, οὐ γὰρ μόνον ἡδὺ ἀλλὰ καὶ βέλτιον φαίνεται. Καὶ μάλιστα
1363b *ἕκαστοι πρὸς ἃ τοιοῦτοι, οἷον οἱ φιλόνικοι εἰ νίκη ἔσται, οἱ φιλότιμοι εἰ τιμή, οἱ φιλοχρήματοι εἰ χρήματα, καὶ οἱ*

---

1. Εἰς τὴν μετάφρασιν πρέπει νὰ προστεθῇ τὸ ἐπίρρημα εὔκολα, ποὺ ἐξυπακούεται εἰς τὸ ἀρχαῖον κείμενον, διότι ἄλλως ἡ φράσις δὲν θὰ εἶχε νόημα. Δὲν κάμνομεν τὰ ἀ π ο λ ύ τ ω ς ἀδύνατα, ὄχι διότι πολλὲς φορὲς δὲν τὰ προτιμῶμεν, ἀλλὰ διότι δὲν ἠμποροῦμεν. Τὸ νόημα τοῦ Ἀριστοτέλους τοὐναντίον διακρίνει μεταξὺ τῶν εὐκολώτερα καὶ δυσκολώτερα πραγματοποιουμένων καὶ ἀποτελεῖ μίαν ἀπὸ τὰς παλαιοτέρας διατυπώσεις τῆς γνωστῆς οἰκονομικῆς θεωρίας ποὺ καλεῖται ἡ δ ο ν ι σ μ ὸ ς καὶ βασίζεται εἰς τὸν κανόνα «τὸ μέγιστον τῆς ἀπολαύσεως ἔναντι τοῦ ἐλαχίστου κόπου».

2. Εἰς ὅλην αὐτὴν τὴν περικοπὴν ἀναπτύσσεται πλήρης ἡ ἡδονιστικὴ θεωρία, περὶ τῆς ὁποίας ἡ προηγουμένη μας σημείωσις.

ἕως τώρα, καὶ ἐκεῖνα ποὺ εἶναι κακὰ διὰ τοὺς ἐχθρούς, καὶ ἐκεῖνα ποὺ εἶναι καλὰ διὰ τοὺς φίλους.

Ἐπίσης ἐκεῖνα ποὺ ἠμποροῦν νὰ πραγματοποιηθοῦν (εὔκολα)[1]. Εἶναι δὲ αὐτὰ δύο εἰδῶν. Ἐκεῖνα ποὺ θὰ μποροῦσε νὰ εἶχαν πραγματοποιηθῆ καὶ ἐκεῖνα ποὺ εὔκολα ἠμπορεῖ νὰ τὰ πραγματοποιήσῃ κανείς. Καὶ λέγομεν εὔκολα ἐκεῖνα ποὺ πραγματοποιοῦμεν χωρὶς βάσανα καὶ μέσα σὲ λίγον καιρόν. Διότι ἡ δυσκολία μιᾶς πράξεως ἔγκειται ἢ εἰς τὰ βάσανα ποὺ προκαλεῖ ἢ εἰς τὴν μακρὰν διάρκειαν ποὺ ἀπαιτεῖ. Ἐπίσης εὔκολα εἶναι ἐκεῖνα ποὺ πραγματοποιεῖ ὅπως τὰ θέλει κανείς. Καὶ ὁ καθένας θέλει νὰ πραγματοποιῇ ἐκεῖνα ποὺ ἢ δὲν τὸν ὑποβάλλουν εἰς καμμίαν θυσίαν ἢ τὸν ὑποβάλλουν εἰς θυσίαν μικροτέραν ἀπὸ τὸ καλὸν ποὺ θὰ προκύψῃ ἀπ' αὐτά. Καὶ αὐτὸ συμβαίνει ἢ ὅταν μᾶς διαφεύγῃ ἡ ἐπιζημία συνέπεια τῆς πράξεώς μας, ἢ ὅταν εἶναι ἀσήμαντος[2].

Ἐπίσης προτιμᾶ ὁ καθένας τὰ ἰδικά του πράγματα, ἢ ἐκεῖνα ποὺ δὲν ἀνήκουν εἰς κανένα, ἢ τὰ πολυτελῆ. Διότι ἔτσι τοῦ προσγίνεται μεγαλυτέρα τιμή. Ἐπίσης δὲ προτιμῶνται καὶ ἐκεῖνα ποὺ ταιριάζουν εἰς τὸν καθένα. Μὲ αὐτὸ ἐννοοῦμεν καὶ ὅσα πρέπουν εἰς τὸν καθένα ἐξ αἰτίας τῆς καταγωγῆς του καὶ τῆς κοινωνικῆς του δυνάμεως, καθὼς καὶ ἐκεῖνα ποὺ νομίζει κανεὶς ὅτι τοῦ λείπουν. Αὐτά, καὶ ἂν ἀκόμη εἶναι τελείως ἀσήμαντα, ἐν τούτοις τὰ ἐπιδιώκει κανεὶς περισσότερον ἀπὸ κάθε ἄλλο.

Ἐπιδιώκομεν ἐπίσης ἐκεῖνα ποὺ εὔκολα ἐκτελοῦνται. Διότι, ἀφοῦ εἶναι εὔκολα, ἠμποροῦμεν νὰ τὰ πραγματοποιήσωμεν. Ἐκτελοῦνται δὲ εὔκολα ἐκεῖνα ποὺ ὅλοι, ἢ πάρα πολλοί, ἢ οἱ ἄνθρωποι τῆς δυνάμεώς μας, ἢ οἱ κατώτεροί μας τὰ κατώρθωσαν. Ἐπίσης ἐπιδιώκομεν ἐκεῖνα ποὺ θὰ εὐχαριστήσουν τοὺς φίλους μας ἢ θὰ στενοχωρήσουν τοὺς ἐχθρούς μας. Ἐπιδιώκομεν ἀκόμη ἐκεῖνα ποὺ πράττουν καὶ τὰ πρόσωπα ποὺ θαυμάζομεν. Ἐπίσης δὲ καὶ ἐκεῖνα διὰ τὴν ἐκτέλεσιν τῶν ὁποίων εἴμεθα ἐπιτήδειοι καὶ ἔμπειροι, διότι νομίζομεν ὅτι θὰ τὰ ἐπιτύχωμεν εὐκολώτερα. Ἀκόμη δὲ ἐκεῖνα ποὺ κανεὶς κακὸς ἄνθρωπος δὲν τὰ κάμνει, διότι αὐτὰ εἶναι πιθανώτερον νὰ ἐπαινεθοῦν. Ἐπίσης ἐκεῖνα ποὺ συμβαίνει ὁ καθεὶς νὰ ἐπιθυμῇ. Διότι αὐτὰ τὰ θεωρεῖ ὄχι μόνον εὐχάριστα, ἀλλὰ καὶ καλά. Ἐπιθυμεῖ δὲ ὁ καθένας ἐκεῖνο ποὺ συμφωνεῖ μὲ τὴν ψυχικήν του κατάστασιν. Ὁ φιλόδοξος τὴν νίκην, ὁ φιλότιμος τὰς τιμάς, ὁ φιλοχρήματος τὰ χρή-

ἄλλοι ὡσαύτως. Περὶ μὲν οὖν ἀγαθοῦ καὶ τοῦ συμφέροντος ἐκ τούτων ληπτέον τὰς πίστεις.

7. Ἐπεὶ δὲ πολλάκις ὁμολογοῦντες ἄμφω συμφέρειν περὶ τοῦ μᾶλλον ἀμφισβητοῦσιν, ἐφεξῆς ἂν εἴη λεκτέον περὶ τοῦ μείζονος ἀγαθοῦ καὶ τοῦ μᾶλλον συμφέροντος. Ἔστω δὴ ὑπερέχον μὲν τὸ τοσοῦτον καὶ ἔτι, ὑπερεχόμενον δὲ τὸ ἐνυπάρχον. Καὶ μεῖζον μὲν ἀεὶ καὶ πλεῖον πρὸς ἔλαττον, μέγα δὲ καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον πρὸς τὸ τῶν πολλῶν μέγεθος, καὶ ὑπερέχον μὲν τὸ μέγα, τὸ δὲ ἐλλεῖπον μικρόν, καὶ πολὺ καὶ ὀλίγον ὡσαύτως. Ἐπεὶ οὖν ἀγαθὸν λέγομεν τό τε αὐτὸ αὑτοῦ ἕνεκα καὶ μὴ ἄλλου αἱρετόν, καὶ οὗ πάντ' ἐφίεται, καὶ ὃ νοῦν ἂν καὶ φρόνησιν λαβόντα ἕλοιτο, καὶ τὸ ποιητικὸν καὶ τὸ φυλακτικόν, ἢ ᾧ ἕπεται τὰ τοιαῦτα, τὸ δ' οὗ ἕνεκα τὸ τέλος ἐστίν, τέλος δέ ἐστιν οὗ ἕνεκα τὰ ἄλλα, αὑτῷ δὲ ἀγαθὸν τὸ πρὸς αὑτὸν ταῦτα πεπονθός, ἀνάγκη τά τε πλείω τοῦ ἑνὸς καὶ τῶν ἐλαττόνων συναριθμουμένου τοῦ ἑνὸς ἢ τῶν ἐλαττόνων μεῖζον ἀγαθὸν εἶναι· ὑπερέχει γάρ, τὸ δὲ ἐνυπάρχον ὑπερέχεται. Καὶ ἐὰν τὸ μέγιστον τοῦ μεγίστου ὑπερέχῃ, καὶ αὐτὰ αὐτῶν· καὶ ὅσα αὐτὰ αὐτῶν, καὶ τὸ μέγιστον τοῦ μεγίστου, οἷον εἰ ὁ μέγιστος

---

1. Ἐὰν τὸ πρῶτον βιβλίον τῆς ρητορικῆς θεωρεῖται, μαζὶ μὲ μερικὰ κεφάλαια τοῦ δευτέρου, ὡς τὸ περισσότερον κουραστικὸν καὶ ἀπηρχαιωμένον, ἀσφαλῶς τὸ παρὸν κεφάλαιον εἶναι τὸ κουραστικώτερον ἀπ' ὅλα καὶ ἀπὸ ἐκεῖνον ποὺ δὲν παρακολουθεῖ τὴν ἐσωτερικὴν συνοχὴν τοῦ ἔργου καὶ τὸ σχέδιον ἐπάνω εἰς τὸ ὁποῖον ὁ Ἀριστοτέλης ἐργάζεται, ἠμπορεῖ νὰ θεωρηθῇ ὡς τελείως ἄσχετον ἢ πάντως πολὺ ἀπομακρυσμένον ἀπὸ τὸ θέμα του. Ἐν τούτοις ἐδῶ ὁ Ἀριστοτέλης εἶναι συνεπέστατος πρὸς τὰς ἐξαγγελθείσας εἰς τὰ πρῶτα κεφάλαια περὶ ρητορικῆς ἰδέας του (βλ. ἀμέσως ἑπομένην σημείωσιν).

ματα καὶ οὕτω καθεξῆς. Ἀπ' αὐτὰ λοιπὸν ποὺ ἐξεθέσαμεν ἕως τώρα, πρέπει ὁ συμβουλευτικὸς ρήτωρ νὰ ἀντλῇ τὰ ἐπιχειρήματά του περὶ τοῦ τί εἶναι καλὸν καὶ τί εἶναι συμφέρον.

7. ΜΕΤΑΞΥ ΠΕΡΙΣΣΟΤΕΡΩΝ ΠΟΙΟΝ ΚΑΛΟΝ ΠΡΕΠΕΙ ΝΑ ΘΕΩΡΗΤΑΙ ΠΡΟΤΙΜΟΤΕΡΟΝ ΚΑΙ ΣΥΜΦΕΡΩΤΕΡΟΝ

Τώρα, ἐπειδὴ συχνὰ συμβαίνει νὰ ἀναγνωρίζωμεν ὅτι καὶ αἱ δύο λύσεις εἶναι συμφέρουσαι, ἡ δὲ ἀμφισβήτησις νὰ στρέφεται μόνον περὶ τοῦ ποία ἀπὸ τὰς δύο εἶναι συμφερωτέρα, πρέπει νὰ ἐξετάσωμεν πῶς θὰ εὑρίσκωμεν ποῖον εἶναι τὸ μεγαλύτερον καλὸν καὶ τὸ συμφερώτερον [1].

Ἂς θεωρήσωμεν ὅτι μεγαλύτερον εἶναι ἐκεῖνο ποὺ ἀποτελεῖται ἀπὸ μίαν ἴσην (πρὸς τὸ μικρότερον) ποσότητα καὶ ἀπὸ κάτι παραπάνω. Μικρότερον δὲ ἐκεῖνο ποὺ περιέχεται (μέσα εἰς τὸ μεγαλύτερον). Λέγομεν ὅτι κάτι τι εἶναι μεγαλύτερον ἢ περισσότερον, πάντοτε ἐν συγκρίσει πρὸς κάτι ἄλλο, μικρότερον. Λέγομεν μεγάλο, μικρόν, πολύ, ὀλίγον, ἐν συγκρίσει πάντοτε πρὸς τὸ συνηθισμένον μέγεθος πολυαρίθμων ὁμοίων πραγμάτων. Ἐκεῖνο ποὺ ὑπερέχει ἀπ' αὐτὰ εἶναι μεγάλο. Ἐκεῖνο ποὺ ὑπολείπεται, μικρόν. Ἡ ἰδία σχέσις ὑπάρχει καὶ μὲ τὸ πολὺ καὶ τὸ ὀλίγον.

Ἀφοῦ λοιπὸν εἴπομεν ὅτι καλὸν εἶναι ἐκεῖνο ποὺ πρέπει νὰ ἐπιδιώκωμεν ἐξ αἰτίας τοῦ ἑαυτοῦ του καὶ ὄχι ἐξ αἰτίας κάποιου ἄλλου πράγματος, καθὼς καὶ ἐκεῖνο, ποὺ ὅλα τὰ ὄντα ἐπιδιώκουν ἢ θὰ ἐπεδίωκαν, ἂν ἀποκτοῦσαν νοῦν καὶ φρόνησιν, καθὼς καὶ ἐκεῖνο ποὺ ἔχει τὴν ἰδιότητα νὰ δημιουργῇ ἢ νὰ διαφυλάσσῃ τὸ καλόν, ἢ ἀκόμη αἱ συνέπειαι αὐτῶν τῶν ἰδιοτήτων, καὶ ἀφοῦ ἐκεῖνο εἰς τὸ ὁποῖον ἀποβλέπομεν εἶναι ὁ τελικὸς σκοπὸς καὶ ὅλα τὰ ἄλλα γίνονται χάριν τοῦ τελικοῦ σκοποῦ καὶ εἶναι καλὸν δι' ἕνα ὡρισμένον ἄνθρωπον ἐκεῖνο ποὺ τοῦ δημιουργεῖ αὐτὴν τὴν κατάστασιν, ἀναγκαστικὰ ἡ ποσότης ποὺ εἶναι μεγαλυτέρα ἀπὸ τὴν μονάδα καὶ ἀπὸ τὰς μικροτέρας ποσότητας εἶναι μεγαλύτερον καλὸν ἀπὸ τὴν μονάδα ἢ τὰς μικρὰς ποσότητας ποὺ περιέχονται μέσα εἰς αὐτήν. Διότι ἡ μεγαλυτέρα ποσότης ὑπερέχει, ἐκεῖναι δὲ ποὺ περιέχονται μέσα της ὑπολείπονται ἀπ' αὐτήν.

Καὶ ἐὰν τὸ μεγαλύτερον ἄτομον ἑνὸς εἴδους ὑπερέχῃ ἀπὸ τὸ μεγαλύτερον ἄτομον ἑνὸς ἄλλου εἴδους, τὸ πρῶτον εἶδος γενικὰ ὑπερέχει ἀπὸ τὸ δεύτερον. Καὶ πάλιν, ὅταν ὅλα τὰ ἄτομα ἑνὸς εἴδους ὑπερέχουν ἀπὸ τὰ ἄτομα ἑνὸς ἄλλου, τότε καὶ τὸ μεγαλύτερον τοῦ πρώτου εἴδους ὑπερέχει ἀπὸ τὸ

ἀνὴρ γυναικὸς τῆς μεγίστης μείζων, καὶ ὅλως οἱ ἄνδρες τῶν γυναικῶν μείζους· καὶ εἰ οἱ ἄνδρες ὅλως τῶν γυναικῶν μείζους, καὶ ἀνὴρ ὁ μέγιστος τῆς μεγίστης γυναικὸς μείζων· ἀνάλογον γὰρ ἔχουσιν αἱ ὑπεροχαὶ τῶν γενῶν καὶ τῶν μεγίστων ἐν αὐτοῖς. Καὶ ὅταν τόδε μὲν τῷδε ἕπηται, ἐκεῖνο δὲ τούτῳ μή· ἕπεται δὲ ἢ τῷ ἅμα ἢ τῷ ἐφεξῆς ἢ τῇ δυνάμει· ἐνυπάρχει γὰρ ἡ χρῆσις ἡ τοῦ ἑπομένου ἐν τῇ θατέρου. Ἕπεται δὲ ἅμα μὲν τῷ ὑγιαίνειν τὸ ζῆν, τούτῳ δὲ ἐκεῖνο οὔ, ὕστερον δὲ τῷ μανθάνειν τὸ ἐπίστασθαι, δυνάμει δὲ τῷ ἱεροσυλεῖν τὸ ἀποστερεῖν· ὁ γὰρ ἱεροσυλήσας κἂν ἀποστερήσειεν. Καὶ τὰ ὑπερέχοντα τοῦ αὐτοῦ μείζονι μείζω· ἀνάγκη γὰρ ὑπερέχειν καὶ τοῦ μείζονος. Καὶ τὰ μείζονος ἀγαθοῦ ποιητικὰ μείζω· τοῦτο γὰρ ἦν τὸ μείζονος ποιητικῷ εἶναι. Καὶ οὗ τὸ ποιητικὸν μεῖζον, ὡσαύτως· εἰ γὰρ τὸ ὑγιεινὸν αἱρετώτερον τοῦ ἡδέος καὶ μεῖζον ἀγαθόν, καὶ ἡ

1364 a *ὑγίεια τῆς ἡδονῆς μείζων. Καὶ τὸ αἱρετὸν καθ' αὑτὸ τοῦ μὴ καθ' αὑτό, οἷον ἰσχὺς ὑγιεινοῦ· τὸ μὲν γὰρ οὐχ αὑτοῦ ἕνεκα, τὸ δὲ αὑτοῦ, ὅπερ ἦν τὸ ἀγαθόν. Κἂν ᾖ τὸ μὲν τέλος, τὸ δὲ μὴ τέλος· τὸ μὲν γὰρ ἄλλου ἕνεκα, τὸ δὲ αὑτοῦ,*

---

1. Ἡ Ρητορικὴ κατὰ τὸν Ἀριστοτέλη δὲν εἶναι ἐπιστήμη ἰδιαιτέρα ἀλλὰ μέθοδος, δυναμένη νὰ ἐφαρμοσθῇ εἰς κάθε κύκλον ἀνθρωπίνων γνώσεων. Ἀποτελεῖ τὸν τύπον, τὸ καλούπι τῆς συζητήσεως, ἐνῷ αἱ ἄλλαι εἰδικαὶ ἐπιστῆμαι ἀποτελοῦν τὴν οὐσίαν, τὸ ὑλικὸν ποὺ μπαίνει μέσα εἰς αὐτοὺς τοὺς τύπους. Ἂν γίνῃ ἀφαίρεσις αὐτοῦ τοῦ ὑλικοῦ (τοῦ θέματος κάθε λόγου) θὰ ἴδωμεν ὅτι εἰς τὴν ρητορικὴν δὲν ἀπομένουν παρὰ ὡρισμένοι κοινοὶ τόποι, ἕνας ἀπὸ τοὺς ὁποίους εἶναι καὶ τὸ μέγεθος (ἡ σημασία, ἡ ἀξία) ἑνὸς γεγονότος ἢ μιᾶς πράξεως, ἐν συγκρίσει πρὸς ἄλλα μεγέθη. Αὐτὸν τὸν κοινὸν τόπον μὲ τὴν γνωστὴν ἀναλυτικὴν μέθοδόν του διερευνᾷ εἰς τὸ κεφάλαιον τοῦτο ὁ Ἀριστοτέλης. Πράγματι, εἴτε πρόκειται περὶ ἀπολογίας κατηγορουμένου, εἴτε περὶ πολιτικοῦ λόγου συμβουλεύοντος τὴν δεῖνα ἀπὸ τὴν δεῖνα πορείαν τῶν κοινῶν ὑποθέσεων εἴτε περὶ πανηγυρικοῦ, διὰ νὰ ἐξάρῃ κανεὶς ἢ νὰ μειώσῃ τὴν σημασίαν τῆς πράξεως τοῦ κατηγορουμένου, τὸ συμφέρον τῆς δεῖνα πολιτικῆς, τὴν ἀξίαν τοῦ ἔργου ποὺ ἀποτελεῖ ἀντικείμενον τοῦ πανηγυρικοῦ, θὰ κάμῃ κατ' ἀνάγκην συγκρίσεις μὲ ἄλλας ὁμοειδεῖς πράξεις καὶ τοὺς κανόνας τῶν συγκρίσεων αὐτῶν (ποὺ ἀποτελοῦν τὸ ρητορικὸν στοιχεῖον τοῦ λόγου, τὸν ρητορικὸν κοινὸν τόπον του) ὑποδεικνύει ἀναλυτικώτατα ὁ Ἀριστοτέλης.

μεγαλύτερον τοῦ δευτέρου. Ἔτσι, ἂν ὁ μεγαλύτερος ἄνδρας εἶναι μεγαλύτερος ἀπὸ τὴν μεγαλυτέραν γυναῖκα, τότε γενικῶς οἱ ἄνδρες εἶναι μεγαλύτεροι ἀπὸ τὰς γυναῖκας. Καὶ πάλιν, ἂν γενικῶς οἱ ἄνδρες εἶναι μεγαλύτεροι ἀπὸ τὰς γυναῖκας, τότε καὶ ὁ μεγαλύτερος ἄνδρας θὰ εἶναι μεγαλύτερος ἀπὸ τὴν μεγαλυτέραν γυναῖκα. Διότι αἱ διαφοραὶ εἰς μέγεθος μεταξὺ τῶν διαφόρων εἰδῶν εὑρίσκονται εἰς ἀναλογίαν μὲ τὴν διαφορὰν μεταξὺ τῶν μεγαλυτέρων ἀτόμων τοῦ κάθε εἴδους [1].

Καὶ πάλιν μεγαλύτερον καλὸν εἶναι ἐκεῖνο ποὺ ἔχει ὡς συνέπειαν ἕνα ἄλλο καλόν, παρὰ τὸ τελευταῖον τοῦτο, ἂν δὲν ἔχῃ ὡς συνέπειάν του τὸ πρῶτον. Διότι μέσα εἰς τὸ πρῶτον περιέχεται καὶ ἡ ὠφέλεια ποὺ προέρχεται ἀπὸ τὸ δεύτερον. Αἱ δὲ συνέπειαι παρουσιάζονται ἢ ὡς ἄμεσα ἀποτελέσματα, ἢ ὡς μεταγενέστερα, ἢ ὡς πιθανά. Ἔτσι ἡ ζωὴ εἶναι τὸ ἄμεσον ἀποτέλεσμα τῆς ὑγείας, ὄχι ὅμως καὶ ἡ ὑγεία τῆς ζωῆς. Ἡ γνῶσις εἶναι τὸ μεταγενέστερον ἀποτέλεσμα τῆς μελέτης. Ἡ κλοπὴ εἶναι τὸ πιθανὸν ἀποτέλεσμα τῆς ἱεροσυλίας. Διότι ἐκεῖνος ποὺ εἶναι ἱερόσυλος, εἶναι πιθανὸν καὶ νὰ κλέψῃ.

Ἐπίσης μεταξὺ δύο πραγμάτων ποὺ ὑπερέχουν ἀπὸ ἕνα ἄλλο πρᾶγμα, μεγαλύτερον εἶναι ἐκεῖνο ποὺ ὑπερέχει περισσότερον. Διότι ὑποχρεωτικὰ αὐτὸ ὑπερέχει καὶ ἀπὸ τὸ ἄλλο.

Μεγαλύτερα ἐπίσης εἶναι ὅσα προξενοῦν μεγαλύτερον καλόν. Εἰς αὐτὴν τὴν περίπτωσιν συμβαίνει ἐκεῖνο ποὺ ἔχομεν ἤδη ἀναπτύξει. Δηλ. αὐτὰ τὰ πράγματα ἔχουν τὴν ἰδιότητα νὰ δημιουργοῦν μεγαλύτερα ἀποτελέσματα. Τὸ ἴδιο πρᾶγμα συμβαίνει καὶ μὲ ὅσα ἔχουν μεγαλυτέραν παραγωγικὴν δύναμιν. Ἔτσι, ἀφοῦ ἐκεῖνο ποὺ προκαλεῖ ὑγείαν εἶναι ἀνώτερον ἀπὸ ἐκεῖνο ποὺ προκαλεῖ ἡδονήν, καὶ ἡ ὑγεία εἶναι ἐπίσης ἀνώτερον καλὸν ἀπὸ τὴν ἡδονήν.

Ἐκεῖνο ποὺ εἶναι καλὸν αὐτὸ καθ' ἑαυτό, εἶναι προτιμότερον ἀπὸ ἐκεῖνο ποὺ δὲν εἶναι αὐτὸ καθ' ἑαυτὸ καλόν. Ἔτσι ἡ σωματικὴ δύναμις εἶναι προτιμοτέρα ἀπὸ ἐκεῖνα τὰ πράγματα ποὺ θεωροῦνται ὑγιεινά. Διότι αὐτὰ τὰ τελευταῖα δὲν τὰ ἐπιδιώκομεν χάριν αὐτῶν τῶν ἰδίων, ἐνῷ τὴν δύναμιν τὴν ἐπιδιώκομεν καθ' ἑαυτὴν καί, καθὼς εἴπομεν, αὐτὸ εἶναι τὸ καλόν.

Ἀνώτερον ἐπίσης εἶναι ἐκεῖνο τὸ καλὸν ποὺ ἀποτελεῖ τὸν τελικόν μας σκοπόν, ἀπ' ἐκεῖνο ποὺ δὲν ἀποτελεῖ παρὰ μέσον πρὸς αὐτόν. Διότι αὐτὸ τὸ τελευταῖον τὸ κάμνομεν χάριν κάποιου ἄλλου, ἐνῷ τὸ πρῶτον γι' αὐτὸ τὸ ἴδιον. Ἔτσι

οἷον τὸ γυμνάζεσθαι τοῦ εὖ ἔχειν τὸ σῶμα. Καὶ τὸ ἧττον προσδεόμενον θατέρου ἢ ἑτέρων· αὐταρκέστερον γάρ· ἧττον δὲ προσδεῖται τὸ ἐλαττόνων ἢ ῥᾳόνων προσδεόμενον. Καὶ ὅταν τόδε μὲν ἄνευ τοῦδε μὴ ᾖ ἢ μὴ δυνατὸν ᾖ γενέσθαι, θάτερον δὲ ἄνευ τούτου· αὐταρκέστερον δὲ τὸ μὴ δεόμενον, ὥστε φαίνεται μεῖζον ἀγαθόν. Κἂν ᾖ ἀρχή, τὸ δὲ μὴ ἀρχή, κἂν ᾖ αἴτιον, τὸ δ' οὐκ αἴτιον διὰ τὸ αὐτό· ἄνευ γὰρ αἰτίου καὶ ἀρχῆς ἀδύνατον εἶναι ἢ γενέσθαι. Καὶ δυοῖν ἀρχαῖν τὸ ἀπὸ τῆς μείζονος ἀρχῆς μεῖζον, καὶ δυοῖν αἰτίοιν τὸ ἀπὸ τοῦ μείζονος αἰτίου μεῖζον. Καὶ ἀνάπαλιν δὲ δυοῖν ἀρχαῖν ἡ τοῦ μείζονος ἀρχὴ μείζων, καὶ δυοῖν αἰτίοιν τὸ τοῦ μείζονος αἴτιον μεῖζον. Δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅτι ἀμφοτέρως μεῖζόν ἐστιν φαίνεσθαι· καὶ γὰρ εἰ ἀρχή, τὸ δὲ μὴ ἀρχή, δόξει μεῖζον εἶναι, καὶ εἰ μὴ ἀρχή, τὸ δὲ ἀρχή· τὸ γὰρ τέλος μεῖζον καὶ οὐκ ἀρχή, ὥσπερ ὁ Λεωδάμας κατηγορῶν ἔφη Καλλιστράτου τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν· οὐ γὰρ ἂν πραχθῆναι μὴ βουλευσαμένου· πάλιν δὲ καὶ Χαβρίου, τὸν πράξαντα τοῦ βουλεύσαντος· οὐ γὰρ ἂν γενέσθαι, εἰ μὴ ἦν ὁ πράξων· τούτου γὰρ ἕνεκα ἐπιβουλεύειν, ὅπως πράξωσιν. Καὶ τὸ σπανιώτερον τοῦ ἀφθό-

---

1. Ὁλόκληρον αὐτὸ τὸ κεφάλαιον ἐκθέτει τοὺς κανόνας καὶ τὰ ἐπιχειρήματα ποὺ πρέπει νὰ χρησιμοποιῶνται ὅταν πρόκειται νὰ γίνῃ ἐκλογὴ μεταξὺ δύο ἀγαθῶν ποὺ παραλληλίζονται, διὰ νὰ εὑρεθῇ ποῖον ἀπὸ τὰ δύο εἶναι προτιμότερον (αἱρετόν).

2. Ἀρχή: μὲ τὴν ἠθικὴν καὶ ὄχι μὲ τὴν χρονικὴν σημασίαν της (principe).

3. Ρήτωρ Ἀθηναῖος, μαθητὴς τοῦ Ἰσοκράτους καὶ διδάσκαλος τοῦ Αἰσχίνου.

4. Καὶ αὐτὸς Ἀθηναῖος ρήτωρ. Γι' αὐτὸν ὁμιλεῖ ὁ Ξενοφῶν («Ἑλληνικὰ» 6ον βιβλίον).

5. Ἀθηναῖος στρατηγός.

γυμναζόμεθα ὄχι γιὰ νὰ γυμναζώμεθα, ἀλλὰ μὲ τελικὸν σκοπὸν τὴν σωματικήν μας εὐεξίαν.

Ἐπίσης ἀνώτερον εἶναι ἐκεῖνο ποὺ ἐξαρτᾶται ὀλιγώτερον ἀπὸ τὸ ἄλλο [1], ἢ ἀπὸ διάφορα ἄλλα πράγματα. Διότι αὐτὸ ἔχει περισσοτέραν αὐτάρκειαν. Καὶ ὅταν κάτι ἐξαρτᾶται ἀπὸ ἀσήμαντα ἢ εὔκολα πράγματα, λέγομεν ὅτι ἐξαρτᾶται ὀλιγώτερον.

Καὶ ὅταν αὐτὸ μὲν δὲν ὑπάρχῃ ἢ δὲν εἶναι δυνατὸν νὰ γίνῃ χωρὶς ἐκεῖνο, ἐνῷ τὸ δεύτερον ἠμπορεῖ νὰ ὑπάρξῃ χωρὶς τὸ πρῶτον, ἰσχύει ὁ ἴδιος κανών. Διότι αὐτὸ ποὺ δὲν ἔχει ἀνάγκην ἀπὸ τὸ ἄλλο, ἔχει μεγαλυτέραν αὐτάρκειαν καὶ ἔτσι ἀποδεικνύεται ὅτι εἶναι μεγαλύτερον καλόν.

Ἐπίσης, ἐκεῖνο ποὺ ἀποτελεῖ ἀρχὴν εἶναι προτιμότερον ἀπὸ ἐκεῖνο ποὺ δὲν ἀποτελεῖ ἀρχὴν [2], καὶ ἐκεῖνο ποὺ ἀποτελεῖ αἰτίαν, διὰ τοὺς ἰδίους λόγους, εἶναι προτιμότερον ἀπὸ ἐκεῖνο ποὺ δὲν ἀποτελεῖ αἰτίαν. Διότι χωρὶς νὰ ὑπάρχῃ ἀρχὴ καὶ αἰτία εἶναι ἀδύνατον νὰ ὑπάρχῃ ἢ νὰ γίνῃ κάτι τι. Καὶ μεταξὺ δύο ἀρχῶν τὸ πρᾶγμα, ποὺ προέρχεται ἀπὸ τὴν ἀνωτέραν ἐκ τῶν δύο, εἶναι ἀνώτερον. Καὶ μεταξὺ δύο αἰτίων τὸ ἀποτέλεσμα τοῦ μεγαλυτέρου αἰτίου εἶναι μεγαλύτερον. Καὶ τἀνάπαλιν. Ὅταν ἔχωμεν δύο ἀρχάς, ἀνωτέρα εἶναι ἐκείνη ἀπὸ τὴν ὁποίαν προέρχεται τὸ ἀνώτερον, καὶ ὅταν ἔχωμεν δύο αἴτια, μεγαλύτερον εἶναι ἐκεῖνο ποὺ ἔχει μεγαλύτερον ἀποτέλεσμα.

Ἀπὸ ὅσα ὅμως ἐλέχθησαν γίνεται πρόδηλον ὅτι κατὰ δύο τρόπους ἠμπορεῖ νὰ γίνῃ σύγκρισις καὶ νὰ εὑρεθῇ τὸ μεγαλύτερον. Καὶ πράγματι, ἐὰν κάτι τι ἀποτελῇ ἀρχήν, ἠμπορεῖ νὰ ἐμφανισθῇ ὡς μεγαλύτερον παρὰ ἐκεῖνο ποὺ δὲν ἀποτελεῖ ἀρχήν, καὶ πάλιν αὐτὸ ποὺ δὲν ἀποτελεῖ ἀρχήν, μεγαλύτερον ἀπὸ ἐκεῖνο ποὺ ἀποτελεῖ ἀρχήν. Διότι ὁ τελικὸς σκοπὸς εἶναι τὸ ἀνώτερον, καὶ ὄχι ἡ ἀρχή. Ἔτσι ὁ Λεωδάμας [3], ὅταν κατηγοροῦσε τὸν Καλλίστρατον [4], ὑπεστήριξεν ὅτι ἐκεῖνος ποὺ ἔδωσε συμβουλὴν διὰ τὴν ἐκτέλεσιν μιᾶς (ἀξιοποίνου) πράξεως, κάμνει μεγαλύτερον ἀδίκημα παρὰ ἐκεῖνος ποὺ τὴν ἐκτελεῖ, διότι δὲν θὰ ἐξετελεῖτο ἡ πρᾶξις, ἂν δὲν ἐδίδετο ἡ συμβουλή. Ὅταν ὅμως ὁ ἴδιος κατηγοροῦσε τὸν Χαβρίαν [5], ὑπεστήριξεν, ἀντιθέτως, ὅτι ἐκεῖνος ποὺ ἐκτελεῖ μίαν πρᾶξιν, κάμνει βαρύτερον ἀδίκημα ἀπὸ ἐκεῖνον ποὺ τὴν συνεβούλευσε, διότι ἡ πρᾶξις δὲν θὰ ἐξετελεῖτο, ἂν δὲν ὑπῆρχε κάποιος νὰ τὴν ἐκτελέσῃ, ἀφοῦ τελικὸς σκοπὸς τῆς συμβουλῆς ἦτο ἡ ἐκτέλεσις.

νου, οἷον χρυσὸς σιδήρου ἀχρηστότερος ὤν· μεῖζον γὰρ ἡ κτῆσις διὰ τὸ χαλεπωτέραν εἶναι. Ἄλλον δὲ τρόπον τὸ ἄφθονον τοῦ σπανίου, ὅτι ἡ χρῆσις ὑπερέχει· τὸ γὰρ πολλάκις τοῦ ὀλιγάκις ὑπερέχει, ὅθεν λέγεται

ἄριστον μὲν ὕδωρ.

Καὶ ὅλως τὸ χαλεπώτερον τοῦ ῥᾴονος· σπανιώτερον γάρ. Ἄλλον δὲ τρόπον τὸ ῥᾷον τοῦ χαλεπωτέρου· ἔχει γὰρ ὡς βουλόμεθα. Καὶ ᾧ τὸ ἐναντίον μεῖζον, καὶ οὗ ἡ στέρησις μείζων. Καὶ ἀρετὴ μὴ ἀρετῆς καὶ κακία μὴ κακίας μείζων· τὰ μὲν γὰρ τέλη, τὰ δ' οὐ τέλη. Καὶ ὧν τὰ ἔργα καλλίω ἢ αἰσχίω, μείζω αὐτά, καὶ ὧν αἱ κακίαι καὶ αἱ ἀρεταὶ μείζους, καὶ τὰ ἔργα μείζω, ἐπείπερ ὡς τὰ αἴτια καὶ αἱ ἀρχαί, καὶ τὰ ἀποβαίνοντα, καὶ ὡς τὰ ἀποβαίνοντα, καὶ τὰ αἴτια καὶ αἱ ἀρχαί. Καὶ ὧν ἡ ὑπεροχὴ αἱρετωτέρα ἢ καλλίων, οἷον τὸ ἀκριβῶς ὁρᾶν αἱρετώτερον τοῦ ὀσφραίνεσθαι.
1364 b *Καὶ γὰρ ὄψις ὀσφρήσεως· καὶ τὸ φιλέταιρον εἶναι τοῦ φιλοχρήματον μᾶλλον κάλλιον, ὥστε καὶ φιλεταιρία φιλοχρηματίας. Καὶ ἀντικειμένως δὲ τῶν βελτιόνων αἱ ὑπερβολαὶ βελτίους καὶ καλλιόνων καλλίους. Καὶ ὧν αἱ ἐπιθυμίαι καλλίους ἢ βελτίους· αἱ γὰρ μείζους ὀρέξεις μειζόνων εἰσίν.*

---

1. Πινδάρου «Ὀλυμπιόνικος» 1.

2. Εἰς ὁλόκληρον τὴν περικοπὴν ποὺ ἀρχίζει ἀπὸ τὰς λέξεις «τὸ σπανιώτερον ἐπίσης εἶναι προτιμότερον ἀπὸ τὸ ἄφθονον» ὁ Ἀριστοτέλης θίγει κατ' ἐναλλαγὴν τὰς διαφόρους πλευρὰς τοῦ προβλήματος τῆς ἀξίας, χωρὶς φυσικὰ νὰ πολυσπιμένῃ καὶ νὰ ξεκαθαρίζῃ τὸ ζήτημα. Παρατηρητέον ὅτι ἡ μὲν πρώτη ἄποψις (τὸ σπανιώτερον προτιμότερον ἀπὸ τὸ ἄφθονον) ἀντιμετωπίζει τὴν ὄψιν τῆς ἀνταλλακτικῆς ἀξίας, ἐν συνδυασμῷ μὲ τὸν νόμον τῆς προσφορᾶς καὶ ζητήσεως. Ἡ δευτέρα πάλιν ἄποψις ἐξετάζει τὸ ζήτημα ἀπὸ τῆς πλευρᾶς τῆς ἀξίας χρήσεως.

Τὸ σπανιώτερον ἐπίσης εἶναι προτιμότερον ἀπὸ τὸ ἄφθονον. Ἔτσι ὁ χρυσὸς εἶναι προτιμότερος ἀπὸ τὸν σίδηρον, ἂν καὶ εἶναι ὀλιγώτερον χρήσιμος. Διότι ἡ ἀπόκτησις τοῦ χρυσοῦ, μὲ τὸ νὰ εἶναι δυσκολωτέρα, εἶναι καὶ προτιμοτέρα. Ἀπὸ ἄλλης ὅμως ἀπόψεως τὸ ἄφθονον ὑπερέχει τοῦ σπανίου, διότι ἡ χρῆσις του εἶναι περισσότερον διαδεδομένη. Καὶ ἐκεῖνο ποὺ συχνὰ εἶναι χρήσιμον, φυσικὰ εἶναι ἀνώτερον ἀπ' ἐκεῖνο ποὺ σπανίως εἶναι χρήσιμον. Καὶ γι' αὐτὸ ἐλέχθη :

τὸ νερὸ εἶναι ὅ,τι καλύτερο ὑπάρχει [1].

Καὶ γενικὰ τὸ δυσκολώτερον εἶναι ἀνώτερον ἀπὸ τὸ εὐκολώτερον. Διότι εἶναι σπανιώτερον [2]. Ἀπὸ ἄλλης ὅμως ἀπόψεως τὸ εὐκολώτερον εἶναι ἀνώτερον ἀπὸ τὸ δυσκολώτερον, διότι τὸ διαθέτομεν κατὰ βούλησιν.

Ἀνώτερον ἐπίσης εἶναι ἐκεῖνο ποὺ καὶ τὸ ἀντίθετόν του εἶναι ἀνώτερον ἢ ποὺ ἡ στέρησίς του εἶναι περισσότερον αἰσθητή. Καὶ ἐκεῖνο ποὺ εἶναι ἀρετή, ὅπως καὶ ἐκεῖνο ποὺ εἶναι κακία, εἶναι ἀνώτερα ἀπὸ τὰ πράγματα ποὺ δὲν εἶναι οὔτε ἀρετὴ οὔτε κακία. Διότι ἡ ἀρετή, καθὼς καὶ ἡ κακία, εἶναι τελικοὶ σκοποί, ἐνῷ δὲν εἶναι τελικοὶ σκοποὶ ἐκεῖνα ποὺ δὲν εἶναι οὔτε ἀρετὴ οὔτε κακία.

Καὶ τὰ πράγματα ποὺ ἔχουν ὡραιότερα ἢ ἀσχημότερα ἀποτελέσματα εἶναι ἐπίσης ἀνώτερα. Ἀνώτερα ἀκόμη εἶναι ἐκεῖνα τὰ πράγματα ποὺ ἔχουν καλὰς ἢ κακὰς ἰδιότητας σημαντικωτέρας ἀπὸ ἄλλα. Τῶν πραγμάτων αὐτῶν καὶ τὰ ἀποτελέσματα εἶναι ἀνώτερα, διότι καὶ τὰ ἀποτελέσματα εἶναι ἀνάλογα πρὸς τὰς αἰτίας καὶ τὰς ἀρχὰς ἀπὸ ὅπου προέρχονται, καὶ αὐταὶ πάλιν εἶναι ἀνάλογοι πρὸς τὰ ἀποτελέσματα.

Ὅταν εὑρίσκωμεν ὅτι εἶναι προτιμότερον ἢ ὡραιότερον νὰ ὑπερέχωμεν κατὰ κάποιο πρᾶγμα καὶ ὄχι κατὰ κάποιο ἄλλο, ἀνώτερον εἶναι τὸ πρῶτον ἀπὸ τὸ δεύτερον. Ἔτσι προτιμᾶ κανεὶς νὰ ἔχῃ ἰσχυρὰν ὅρασιν παρὰ ἰσχυρὰν ὄσφρησιν. Διότι ἡ ὅρασις εἶναι ἀνωτέρα ἀπὸ τὴν ὄσφρησιν. Καὶ πάλιν τὸ νὰ ἀγαπᾷ κανεὶς ὑπερβολικὰ τοὺς φίλους του εἶναι ὡραιότερον ἀπὸ τὸ νὰ ἀγαπᾷ ὑπερβολικὰ τὰ χρήματα. Ἑπομένως καὶ ἡ ἀγάπη τῶν φίλων εἶναι ἀνωτέρα ἀπὸ τὴν ἀγάπην τῶν χρημάτων. Καὶ ἀντιστοίχως, ἡ ὑπερβολικὴ ἀφθονία τῶν καλῶν εἶναι καλυτέρα καὶ τῶν ὡραίων εἶναι ὡραιοτέρα.

Προτιμότερα ἐπίσης εἶναι τὰ πράγματα ποὺ γεννοῦν μέσα μας ἐπιθυμίας ὡραιοτέρας ἢ καλυτέρας. Διότι ἀνώτεραι

Καὶ τῶν καλλιόνων δὲ ἢ καὶ βελτιόνων αἱ ἐπιθυμίαι βελτίους καὶ καλλίους διὰ τὸ αὐτό. Καὶ ὧν αἱ ἐπιστῆμαι καλλίους ἢ σπουδαιότεραι, καὶ τὰ πράγματα καλλίω καὶ σπουδαιότερα· ὡς γὰρ ἔχει ἡ ἐπιστήμη, καὶ τὸ ἀληθές· κελεύει δὲ τὸ αὑτῆς ἑκάστη. Καὶ τῶν σπουδαιοτέρων δὲ καὶ καλλιόνων αἱ ἐπιστῆμαι ἀνάλογον διὰ ταὐτά. Καὶ ὃ κρίνειαν ἂν ἢ κεκρίκασιν οἱ φρόνιμοι ἢ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ πλείους ἢ οἱ κράτιστοι ἀγαθὸν ἢ μεῖζον, ἀνάγκη οὕτως ἔχειν, ἢ ἁπλῶς ἢ ᾗ κατὰ τὴν φρόνησιν ἔκριναν. Ἔστι δὲ τοῦτο κοινὸν καὶ κατὰ τῶν ἄλλων· καὶ γὰρ τὶ καὶ ποσὸν καὶ ποιὸν οὕτως ἔχει ὡς ἂν ἡ ἐπιστήμη καὶ ἡ φρόνησις εἴποι. Ἀλλ' ἐπ' ἀγαθῶν εἰρήκαμεν· ὥρισται γὰρ ἀγαθὸν εἶναι ὃ λαβόντα τὰ πράγματα φρόνησιν ἕλοιτ' ἂν ἕκαστον· δῆλον οὖν ὅτι καὶ μεῖζον, ὃ μᾶλλον ἡ φρόνησις λέγει. Καὶ τὸ τοῖς βελτίοσιν ὑπάρχον, ἢ ἁπλῶς ἢ ᾗ βελτίους, οἷον ἡ ἀνδρία ἰσχύος. Καὶ ὃ ἕλοιτ' ἂν ὁ βελτίων, ἢ ἁπλῶς ἢ ᾗ βελτίων, οἷον τὸ ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν· τοῦτο γὰρ ὁ δικαιότερος ἂν ἕλοιτο. Καὶ τὸ ἥδιον τοῦ ἧττον ἡδέος· τὴν γὰρ ἡδονὴν πάντα διώκει, καὶ αὐτοῦ ἕνεκα τοῦ ἥδεσθαι ὀρέγονται, ὥρισται δὲ τούτοις τὸ ἀγαθὸν καὶ τὸ τέλος. Ἥδιον δὲ τό τε ἀλυπότερον

---

1. Ἐπιστήμη, ἀπὸ τὸ ἐπίσταμαι, σημαίνει πᾶσαν γνῶσιν καὶ ὅλως διόλου ἐσφαλμένως ἔχει ἀποδοθῆ μὲ τὸν πολὺ στενώτερον ὅρον ἐπιστήμη ὑπὸ τὴν σημερινὴν σημασίαν του.

2. Δηλ. καὶ ἐκτὸς τῆς περιπτώσεως τῆς συγκρίσεως δύο ἀγαθῶν διὰ νὰ εὑρεθῇ τὸ προτιμότερον, ποὺ ἀποτελεῖ τὸ θέμα ὁλοκλήρου αὐτοῦ τοῦ κεφαλαίου.

3. Ἀξίζει νὰ προσέξωμεν τὴν γνώμην ποὺ διατυποῦται εἰς τὴν περικοπὴν αὐτὴν καὶ παρουσιάζεται συχνότατα καὶ εἰς ἄλλα χωρία τοῦ ἔργου τοῦ Ἀριστοτέλους, γνώμην κατ' ἐξοχὴν ἀριστοκρατικήν, ὑπὸ τὴν ἔννοιαν ὅτι κατὰ τὸν Ἀριστοτέλην ὀρθὸν εἶναι ὅτι προτιμᾶται ἀπὸ τοὺς φρονίμους ἢ τοὺς κρατίστους καὶ ὄχι ὅτι προτιμᾶται ἀπὸ τοὺς περισσοτέρους.

είναι αί έπιθυμίαι τῶν ἀνωτέρων πραγμάτων. Καί γιά τόν ἴδιον λόγον αἱ ἐπιθυμίαι τῶν καλυτέρων καί ὡραιοτέρων πραγμάτων είναι καλύτεραι καί ώραιότεραι.

Προτιμότερα ἐπίσης εἶναι τὰ πράγματα πού ἡ γνῶσις [1] των εἶναι ὡραιοτέρα ἢ ἔχει μεγαλυτέραν σπουδαιότητα ἢ ἐκεῖνα πού ἡ ἐνέργειά των εἶναι ὡραιοτέρα ἢ ἔχει μεγαλυτέραν σπουδαιότητα. Διότι ἡ γνῶσις εἶναι ἰσοδύναμος πρὸς τὴν ἀλήθειαν. Καί κάθε κύκλος γνώσεων ἀφορᾶ εἰς ὡρισμένον θέμα. Διὰ τοὺς λόγους αὐτοὺς ὑφίσταται ἀναλογία μεταξὺ τῆς σπουδαιότητος καὶ τῆς ὡραιότητος τῆς γνώσεως ἑνὸς πράγματος καὶ τῆς σπουδαιότητος καὶ ὡραιότητος αὐτοῦ τοῦ πράγματος.

Ἐκεῖνο πού θὰ ἔκριναν ἢ ἔχουν ἤδη κρίνει ὡς μεγαλύτερον καλὸν οἱ φρόνιμοι ἄνθρωποι, εἴτε ὅλοι, εἴτε ἕνας μεγάλος ἀριθμὸς ἀπ' αὐτούς, εἴτε οἱ περισσότεροι, εἴτε οἱ ἐπικρατέστεροι, ἀναγκαστικὰ θὰ εἶναι πράγματι μεγαλύτερον καλόν, εἴτε ἀπολύτως ἔκριναν ὅτι ἔτσι εἶναι τὸ πρᾶγμα, εἴτε σχετικῶς πρὸς τὴν εἰδικὴν ἄποψίν του ὁ καθένας. Τὸ δὲ κριτήριον αὐτὸ ἐφαρμόζεται γενικὰ καὶ εἰς ὅλα τὰ ἄλλα ζητήματα [2]. Καὶ πράγματι, ἡ φύσις, ἡ ποσότης καὶ ἡ ποιότης τοῦ κάθε πράγματος εἶναι ἐκείνη πού διαπιστώνεται ἀπὸ τοὺς φρονίμους καὶ γνώστας τοῦ θέματος ἀνθρώπους. Ἐδῶ ὅμως ἀσχολούμεθα μόνον μὲ τὸ καλόν. Ὡρίσαμεν δὲ πράγματι ὡς καλὸν ἐκεῖνο πού θὰ ἐπροτιμοῦσαν ὅλα τὰ ὄντα, ἂν εἶχαν κρίσιν. Εἶναι λοιπὸν φανερὸν ὅτι καὶ μεταξὺ δύο καλῶν μεγαλύτερον εἶναι ἐκεῖνο πού ἡ ὀρθὴ κρίσις θὰ ἀποφανθῇ ὅτι εἶναι προτιμότερον [3].

Προτιμότερον ἐπίσης εἶναι ἐκεῖνο πού ἀνήκει εἰς τοὺς καλυτέρους, εἴτε ἀπολύτως, εἴτε κατὰ τὸ μέτρον πού αὐτοὶ εἶναι καλύτεροι. Ἔτσι ἡ ἀνδρεία εἶναι προτιμοτέρα ἀπὸ τὴν σωματικὴν δύναμιν. Ἀκόμη δὲ καὶ ἐκεῖνο πού θὰ προτιμοῦσε ὁ καλύτερος, εἴτε γενικῶς εἴτε κατὰ τὸ μέτρον πού εἶναι καλύτερος. Ἔτσι προτιμότερον εἶναι νὰ ἀδικῆται κανεὶς παρὰ νὰ ἀδικῇ. Διότι αὐτὸ θὰ προτιμοῦσε ὁ δικαιότερος ἄνθρωπος.

Προτιμότερον ἐπίσης εἶναι τὸ εὐχαριστότερον παρὰ τὸ ὀλιγώτερον εὐχάριστον. Πράγματι, ὅλα τὰ ὄντα ἐπιδιώκουν τὴν ἡδονὴν καὶ τὴν ζητοῦν χάριν αὐτῆς τῆς ἰδίας. Ἀλλ' αὐτὰ τὰ στοιχεῖα ἀποτελοῦν, ὅπως εἴπομεν, τὸν ὁρισμὸν τοῦ καλοῦ καὶ τοῦ τελικοῦ σκοποῦ. Εἶναι δὲ εὐχαριστότερον

καὶ τὸ πολυχρονιώτερον ἡδύ. Καὶ τὸ κάλλιον τοῦ ἧττον καλοῦ· τὸ γὰρ καλόν ἐστιν ἤτοι τὸ ἡδὺ ἢ τὸ καθ' αὑτὸ αἱρετόν. Καὶ ὅσων αὐτοὶ αὑτοῖς ἢ φίλοις βούλονται αἴτιοι εἶναι μᾶλλον, ταῦτα μείζω ἀγαθά, ὅσων δὲ ἥκιστα, μείζω κακά. Καὶ τὰ πολυχρονιώτερα τῶν ὀλιγοχρονιωτέρων καὶ τὰ βεβαιότερα τῶν ἀβεβαιοτέρων· ὑπερέχει γὰρ ἡ χρῆσις τῶν μὲν τῷ χρόνῳ τῶν δὲ τῇ βουλήσει· ὅταν γὰρ βούλωνται, ὑπάρχει μᾶλλον ἡ τοῦ βεβαίου. Καὶ ὡς ἂν ἐκ τῶν συστοίχων καὶ τῶν ὁμοίων πτώσεων, καὶ τἆλλ' ἀκολουθεῖ, οἷον εἰ τὸ ἀνδρείως κάλλιον καὶ αἱρετώτερον τοῦ σωφρόνως, καὶ ἀνδρία σωφροσύνης αἱρετωτέρα καὶ τὸ ἀνδρεῖον εἶναι τοῦ σωφρονεῖν. Καὶ ὃ πάντες αἱροῦνται τοῦ ὃ μὴ πάντες. Καὶ ὃ οἱ
1365 a *πλείους ἢ ⟨ὃ⟩ οἱ ἐλάττους· ἀγαθὸν γὰρ ἦν οὗ πάντες ἐφίενται, ὥστε καὶ μεῖζον οὗ μᾶλλον. Καὶ ὃ οἱ ἀμφισβητοῦντες ἢ οἱ ἐχθροὶ ἢ οἱ κρίνοντες ἢ οὓς οὗτοι κρίνουσιν· τὸ μὲν γὰρ ὡς ἂν εἰ πάντες φαῖεν ἐστί, τὸ δὲ οἱ κύριοι καὶ οἱ εἰ-*

---

1. Καὶ ἐδῶ ξαναγυρίζει εἰς τὴν ἡδονιστικὴν ἀντιμετώπισιν τῶν πραγμάτων. Βλ. ἀνωτ. κεφ. 6 ὑποσημειώσεις μου.
2. Κάπως ἐλευθέρα μετάφρασις. Ὀφείλεται εἰς τὴν προσπάθειαν νὰ ἀποδοθῇ πιστά, ἀλλὰ νεοελληνικώτερα, τὸ νόημα.
3. Πρβλ. Τοπικὰ III, 3.
4. Ἀνωτέρω, εἰς τὴν ἀρχὴν τοῦ κεφ. 5.

ἐκεῖνο ποὺ μᾶς κουράζει ὀλιγώτερον ἢ μᾶς παρέχει ἡδονὴν ἐπὶ περισσότερον χρόνον [1].

Προτιμότερον ἐπίσης εἶναι τὸ ὡραιότερον παρὰ τὸ ὀλιγώτερον ὡραῖον. Πράγματι, τὸ ὡραῖον εἶναι ἢ εὐχάριστον, ἢ προτιμητέον αὐτὸ καθ' ἑαυτό.

Ἐκεῖνα ποὺ περισσότερον ἐπιθυμοῦν οἱ ἄνθρωποι νὰ προξενήσουν εἰς τὸν ἑαυτόν των ἢ εἰς τοὺς φίλους των, εἶναι τὰ μεγαλύτερα καλά. Ἐκεῖνα πάλιν ποὺ προσπαθοῦν, ἂν εἶναι δυνατόν, νὰ τὰ ἀποφύγουν [2] περισσότερον ἀπὸ κάθε ἄλλο, εἶναι τὰ μεγαλύτερα κακά.

Τὰ διαρκέστερα ἀγαθὰ ἔχουν μεγαλυτέραν ἀξίαν παρὰ τὰ ὀλιγώτερον διαρκῆ, καὶ τὰ πιὸ σίγουρα ἔχουν μεγαλυτέραν ἀξίαν παρὰ ἐκεῖνα ποὺ εἶναι ὀλιγώτερον σίγουρα. Τὸ πλεονέκτημα τῶν πρώτων συνίσταται εἰς τὴν παρατεταμένην χρησιμοποίησίν των, τῶν δευτέρων δὲ πάλιν εἰς τὸ ὅτι ἠμποροῦμεν νὰ τὰ χρησιμοποιήσωμεν κατὰ βούλησιν. Πράγματι, ὅταν μᾶς ἔλθῃ ἡ ὄρεξις νὰ χρησιμοποιήσωμεν τὰ ἀγαθά μας, ἐκεῖνα ποὺ εἶναι σίγουρα εἶναι πάντοτε εἰς τὴν διάθεσίν μας.

Ὅταν μία ἔννοια εἶναι προτιμοτέρα ἀπὸ μίαν ἄλλην, καὶ ὅλαι αἱ ἀντίστοιχοί της ἔννοιαι, ποὺ παρουσιάζουν τὴν αὐτὴν ἐνέργειαν εἴτε ὡς συγκεκριμένην ὁμοίαν περίπτωσιν, εἴτε ὡς ἐπακολούθημα τῆς πρώτης ἐννοίας, εἶναι προτιμότεραι ἀπὸ τὰς ἀντιστοιχούσας εἰς τὴν δευτέραν ἔννοιαν [3]. Ἔτσι, ἂν εἶναι ὡραιότερον καὶ εὐγενέστερον νὰ ἐνεργῇ κανεὶς μὲ γενναιότητα παρὰ μὲ περίσκεψιν, τότε καὶ ἡ γενναιότης εἶναι προτιμοτέρα ἀπὸ τὴν περίσκεψιν, καὶ τὸ γεγονός, ὅτι ὁ δεῖνα εἶναι γενναῖος ἐνῷ ὁ ἄλλος εἶναι φρόνιμος, καθιστᾷ τὸν πρῶτον ἀνώτερον ἀπὸ τὸν δεύτερον.

Ἐκεῖνο ποὺ ὅλοι τὸ προτιμοῦν, εἶναι ἀνώτερον ἀπὸ ἐκεῖνο ποὺ δὲν τὸ προτιμοῦν ὅλοι. Καὶ ἐκεῖνο ποὺ τὸ προτιμοῦν οἱ περισσότεροι, εἶναι ἀνώτερον ἀπὸ ἐκεῖνο ποὺ τὸ προτιμοῦν οἱ ὀλιγώτεροι. Πράγματι, ὅπως ἐξετέθη ἤδη [4], ἐκεῖνο ποὺ ὅλοι ἐπιδιώκουν εἶναι καλόν. Καλύτερον εἶναι λοιπὸν ἐκεῖνο ποὺ ἐπιδιώκουν περισσότερον. Ἐπίσης ἀνώτερον εἶναι ἐκεῖνο ποὺ ἐπιδιώκουν οἱ διάδικοι ἢ οἱ ἐχθροί, ἢ ἐκεῖνο ποὺ προτιμοῦν οἱ δικασταὶ ἢ ἐκεῖνοι ποὺ δικάζονται ἀπ' αὐτούς. Εἰς τὴν πρώτην περίπτωσιν, πράγματι, εἶναι ὡσὰν νὰ πρόκειται περὶ γνώμης ὅλου τοῦ κόσμου, εἰς δὲ τὴν δευτέραν ὡσὰν νὰ πρόκειται περὶ γνώμης τῶν ἁρμοδίων καὶ κατεχόντων τὸ ζήτημα.

δότες. Καὶ ὁτὲ μὲν οὗ πάντες μετέχουσι μεῖζον· ἀτιμία γὰρ τὸ μὴ μετέχειν· ὁτὲ δὲ οὗ μηδεὶς ἢ οὗ ὀλίγοι. Σπανιώτερον γάρ. Καὶ τὰ ἐπαινετώτερα· καλλίω γάρ. Καὶ ὧν αἱ τιμαὶ μείζους, ὡσαύτως· ἡ γὰρ τιμὴ ὥσπερ ἀξία τίς ἐστιν. Καὶ ὧν αἱ ζημίαι μείζους. Καὶ τὰ τῶν ὁμολογουμένων ἢ φαινομένων μεγάλων μείζω. Καὶ διαιρούμενα δὲ εἰς τὰ μέρη τὰ αὐτὰ μείζω φαίνεται· πλειόνων γὰρ ὑπερέχειν φαίνεται, ὅθεν καὶ ὁ ποιητής φησι πεῖσαι τὸν Μελέαγρον ἀναστῆναι

ὅσσα κάκ' ἀνθρώποισι πέλει τῶν ἄστυ ἁλώῃ·
λαοὶ μὲν φθινύθουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσιν.

Καὶ τὸ συντιθέναι δὲ καὶ ἐποικοδομεῖν, ὥσπερ Ἐπίχαρμος, διά τε τὸ αὐτὸ τῇ διαιρέσει· (ἡ γὰρ σύνθεσις ὑπεροχὴν δείκνυσι πολλὴν) καὶ ὅτι ἀρχὴ φαίνεται μεγάλων καὶ αἴτιον. Ἐπεὶ δὲ τὸ χαλεπώτερον καὶ σπανιώτερον μεῖζον, καὶ οἱ καιροὶ καὶ αἱ ἡλικίαι καὶ οἱ τόποι καὶ οἱ χρόνοι καὶ αἱ δυνάμεις ποιοῦσι μεγάλα· εἰ γὰρ παρὰ δύναμιν καὶ παρὰ ἡλικίαν καὶ παρὰ τοὺς ὁμοίους, καὶ εἰ οὕτως ἢ ἐνταῦθα ἢ τότε, ἕξει μέγεθος καὶ καλῶν καὶ ἀγαθῶν καὶ δικαίων καὶ τῶν ἐναντίων, ὅθεν καὶ τὸ ἐπίγραμμα τῷ ὀλυμπιονίκῃ·

---

1. Ἰλιάδ. Ι, 592 - 594. (Μετάφρ. Πάλλη). Ἡ περικοπή, ποὺ παραθέτει ὁ Ἀριστοτέλης, ἔχει οὐσιώδεις διαφορὰς ἀπὸ τὸ σωζόμενον κείμενον τῆς Ἰλιάδος.

2. Πυθαγόρειος φιλόσοφος καὶ κωμικὸς ποιητής. Ἐγεννήθη εἰς τὴν Κῶ κατὰ τὸ 450 π.Χ. καὶ ἔζησεν εἰς τὴν αὐλὴν τοῦ τυράννου τῶν Συρακουσῶν Ἱέρωνος. Ἔγραψε πολλὰς κωμῳδίας μὲ θέματα ἀπὸ τὴν μυθολογίαν καὶ τὴν λαϊκὴν ζωήν.

Καὶ πάλιν, ἄλλοτε μὲν εἶναι προτιμότερον ἐκεῖνο τὸ καλὸν ποὺ τὸ ἔχει καὶ ὅλος ὁ ἄλλος κόσμος. Διότι τὸ νὰ μὴ τὸ ἔχῃ κατ' ἐξαίρεσιν κάποιος, εἶναι ἀτιμωτικόν. Ἄλλοτε ὅμως ἐκεῖνο ποὺ δὲν τὸ ἔχει κανείς, ἢ τὸ ἔχουν μόνον ὀλίγοι, διότι εἶναι σπανιώτερον.

Μεγαλύτερα ἐπίσης εἶναι ἐκεῖνα τὰ καλὰ ποὺ εἶναι περισσότερον ἄξια ἐπαίνου. Διότι αὐτὰ εἶναι ὡραιότερα. Καὶ ἐκεῖνα ποὺ μᾶς προξενοῦν μεγαλυτέρας τιμάς, διότι ἡ τιμὴ ποὺ μᾶς ἀπονέμεται εἶναι ἕνα εἶδος ἐκτιμήσεως τῆς ἀξίας μας. Ἐπίσης ἐκεῖνα ποὺ ἐπισύρουν τὰς βαρυτέρας ποινὰς (εἶναι μεγαλύτερα κακά).

Τὸ ἴδιο συμβαίνει καὶ μὲ τὰ πράγματα ποὺ εἶναι μεγαλύτερα ἀπὸ ὅσα κοινῶς ἀναγνωρίζονται ἢ φαίνονται μεγάλα. Τὰ ἴδια δὲ πράγματα, ἂν τὰ χωρίσωμεν εἰς πολλὰ μέρη, φαίνονται μεγαλύτερα, διότι δίδουν τὴν ἐντύπωσιν ὅτι ὑπερέχουν ἀπὸ πολλὰ πράγματα. Γι' αὐτὸ καὶ ὁ ποιητὴς λέγει ὅτι ὁ Μελέαγρος ἐπείσθη νὰ πάῃ νὰ πολεμήσῃ (ὅταν ἡ γυναῖκα του τοῦ ἀπηρίθμησεν ὅλας τὰς συνεπείας ποὺ ὑφίστανται οἱ κάτοικοι μιᾶς πόλεως ποὺ κατακτᾶται ἀπὸ τὸν ἐχθρόν, μὲ τὰ ἑξῆς λόγια) :

Κι' ὅλες μιὰ μιὰ τὶς πίκρες
τ' ἀράδιασε τῶν δύστυχων ποὺ τοὺς πάρθη τὸ Κάστρο·
σφάζουνται οἱ ἄντρες, ἡ φωτιὰ τὰ κάστρα τους ρημάζει·
ὀχτροὶ τοὺς παίρνουν τὰ παιδιά [1].

Τὸ ἴδιον ἀποτέλεσμα ποὺ φέρει ἡ ἀνάλυσις, τὸ ἐπιτυγχάνει κανεὶς καὶ μὲ τὴν σύνθεσιν καὶ τὴν ἐπέκτασιν τοῦ θέματος. Αὐτὸ κάμνει ὁ Ἐπίχαρμος [2]. Καὶ πράγματι, ἡ σύνθεσις παρουσιάζει μεγάλην ὑπεροχὴν καὶ τὰ ἐξεταζόμενα πράγματα ἐμφανίζονται ὡς ἀρχὴ καὶ αἰτία μεγάλων ἀποτελεσμάτων.

Καὶ ἐπειδὴ ἀνώτερον εἶναι τὸ δυσκολώτερον ἢ τὸ σπανιώτερον, αἱ περιστάσεις, ἡ ἡλικία, ὁ τόπος, ὁ χρόνος καὶ αἱ δυνάμεις ποὺ διαθέτει κανείς, εἶναι συντελεσταὶ τῆς ἀξίας τῶν διαφόρων πραγμάτων. Πράγματι, ἂν ἐκτελέσωμεν κάτι δυσανάλογον πρὸς τὰς δυνάμεις μας ἢ πρὸς τὴν ἡλικίαν μας ἢ πρὸς ἐκεῖνο ποὺ συνήθως ἠμποροῦν νὰ ἐκτελέσουν οἱ ὅμοιοί μας, ἢ κατὰ τοιοῦτον τρόπον ἢ εἰς ὡρισμένον τόπον καὶ χρόνον, ἡ πρᾶξις μας θὰ χαρακτηρισθῇ ὡς ὡραία, καλή, δικαία, ἢ ἀντιθέτως. Καὶ αὐτὴν τὴν ἔννοιαν ἔχει τὸ γνωστὸν ἐπίγραμμα εἰς τὸν Ὀλυμπιονίκην :

πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν
ἰχθῦς ἐξ Ἄργους εἰς Τεγέαν ἔφερον.

Καὶ ὁ Ἰφικράτης αὑτὸν ἐνεκωμίαζε λέγων ἐξ ὧν ὑπῆρξεν ταῦτα. Καὶ τὸ αὐτοφυὲς τοῦ ἐπικτήτου· χαλεπώτερον γάρ. Ὅθεν καὶ ὁ ποιητής φησιν

αὐτοδίδακτος δ' εἰμί.

Καὶ τὸ μεγάλου μέγιστον μέρος, οἷον Περικλῆς τὸν ἐπιτάφιον λέγων, τὴν νεότητα ἐκ τῆς πόλεως ἀνῃρῆσθαι ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη. Καὶ τὰ ἐν χρείᾳ μείζονι χρήσιμα, οἷον τὰ ἐν γήρᾳ καὶ νόσοις. Καὶ δυοῖν τὸ ἐγγύτερον τοῦ τέλους. Καὶ τὸ αὐτῷ καὶ ἁπλῶς. Καὶ τὸ δυνατὸν τοῦ ἀδυνάτου· τὸ μὲν γὰρ αὐτῷ, τὸ δ' οὔ. Καὶ τὰ ἐν τέλει τοῦ βίου· τέλη γὰρ μᾶλλον τὰ πρὸς τῷ τέλει. Καὶ
1365 b *τὰ πρὸς ἀλήθειαν τῶν πρὸς δόξαν. Ὅρος δὲ τοῦ πρὸς δόξαν, ὃ λανθάνειν μέλλων οὐκ ἂν ἕλοιτο. Διὸ καὶ τὸ εὖ πάσχειν τοῦ εὖ ποιεῖν δόξειεν ἂν αἱρετώτερον εἶναι· τὸ μὲν γὰρ κἂν λανθάνῃ αἱρήσεται, ποιεῖν δ' εὖ λανθάνων*

---

1. Τὸ ἐπίγραμμα αὐτὸ ἀναφέρεται ἀπὸ τὸν Εὐστάθιον εἰς τὰ σχόλιά του εἰς τὸν Ὅμηρον σελ. 1761. Ἀποδίδεται δὲ εἰς τὸν Σιμωνίδην.

2. Στρατηγὸς Ἀθηναῖος, ταπεινῆς καταγωγῆς. Ἡ φράσις αὐτὴ τοῦ Ἰφικράτους παρουσιάζεται καὶ κατωτέρω (κεφ. 9 ἐδ. 31) ὑπὸ τὴν πληρεστέραν της μορφὴν «ἐξ οἵων εἰς οἷα!»

3. Φράσις τοῦ ἀοιδοῦ Φημίου, Ὀδυσ. Χ, 347.

4. Τὸ χωρίον αὐτὸ δὲν ὑπάρχει εἰς τὸν Ἐπιτάφιον τοῦ Περικλέους, ποὺ μᾶς εἶναι γνωστὸς ἀπὸ τὸν Θουκυδίδην. Κατὰ τὴν γνώμην τοῦ ἱστορικοῦ Γ. Κορδάτου, φαίνεται ὅτι, ἐκτὸς τοῦ κειμένου τοῦ Θουκυδίδου, ὑπῆρχαν καὶ ἄλλαι ἐκδόσεις, ὅπως θὰ ἐλέγαμεν σήμερον, μὲ τὸν περίφημον Ἐπιτάφιον τοῦ Περικλέους. Καὶ τοῦτο ἐξάγεται ἀπὸ τὰς ἀπομιμήσεις ὅλων σχεδὸν τῶν ἐκφωνηθέντων μεταγενεστέρως ἐπιταφίων εἰς πολεμιστὰς Ἀθηναίους πεσόντας εἰς τὸ πεδίον τῆς μάχης. Ὁ Ἀριστοτέλης λοιπὸν εἶχεν ὑπ' ὄψιν του ἄλλο κείμενον ἐπιταφίου καὶ ὄχι τὸν ἐπιτάφιον τοῦ Θουκυδίδη. Ἄλλωστε καὶ εἰς τὴν «Ἀθηναίων Πολιτείαν» του καὶ εἰς τὰ «Πολιτικά» του δὲν συμβουλεύεται πάντοτε τὸν Θουκυδίδην ἀναφορικῶς μὲ γεγονότα καὶ πρόσωπα ποὺ ἐρευνῶνται καὶ κρίνονται ἀπὸ τὸν μεγάλον ἱστορικόν.

5. Δηλ. ἡ εὐτυχία. Ἡ περικοπὴ αὐτὴ ἔχει τελείως παρανοηθῆ ἀποδοθεῖσα μὲ τὸ νόημα «ὅτι προτιμότερα εἶναι ἐκεῖνα ποὺ μᾶς χρησιμεύουν εἰς τὰ τέλη τοῦ βίου μας».

Πρῶτα, φορτωμένος μιὰ βαρειὰ χαμαλίκα
κουβαλοῦσα ψάρια ἀπὸ τὸ Ἄργος στὴν Τεγέα [1].

Ὁ Ἰφικράτης [2] ἐπίσης μὲ καμάρι ἀνέφερεν ἀπὸ ποῦ ξεκίνησε διὰ νὰ φθάσῃ ἐκεῖ ποὺ ἔφθασε.

Ἐπίσης τὸ καλὸν ποὺ προέρχεται ἀπὸ ἡμᾶς τοὺς ἰδίους εἶναι ἀνώτερον ἀπ' ἐκεῖνο ποὺ ἀπεκτήσαμεν ἄλλοθεν, διότι εἶναι δυσκολώτερον.

Καὶ γι' αὐτὸ ὁ ποιητὴς εἶπε:

κ' εἶμ' αὐτοδίδακτος ἐγώ [3].

Μεγάλην ἀξίαν ἔχει ἀκόμη καὶ τὸ μεγαλύτερον μέρος ἑνὸς πράγματος μεγάλου. Ἔτσι ὁ Περικλῆς εἶπεν εἰς τὸν Ἐπιτάφιόν του ὅτι, ἂν «χαθῇ ἡ νεολαία ἀπὸ τὴν πόλιν, θὰ εἶναι ὡσὰν νὰ λείψῃ ἀπὸ τὸ ἔτος ἡ ἄνοιξις» [4].

Προτιμότερα ἐπίσης εἶναι ἐκεῖνα ποὺ μᾶς εἶναι χρήσιμα εἰς τὴν ἐποχὴν μεγαλυτέρας ἀνάγκης, ὅπως λόγου χάριν ὅσα εἶναι χρήσιμα εἰς τὸ γῆρας ἢ εἰς τὴν ἀσθένειαν. Ἀκόμη, ἀπὸ δύο πράγματα προτιμότερον εἶναι ἐκεῖνο ποὺ μᾶς προσεγγίζει περισσότερον πρὸς τὸν σκοπὸν ποὺ ἐπιδιώκομεν. Καὶ ἐκεῖνο ποὺ εἶναι χρήσιμον εἰς τὸ συγκεκριμένον πρόσωπον ποὺ ἔχομεν ὑπ' ὄψιν μας, ἀπὸ ἐκεῖνο ποὺ εἶναι γενικῶς καὶ ἀορίστως χρήσιμον. Τὸ δυνατὸν εἶναι προτιμότερον ἀπὸ τὸ ἀδύνατον, διότι τὸ δυνατὸν ἠμπορεῖ νὰ τὸ χρησιμοποιήσῃ ὁ καθένας, ὄχι ὅμως καὶ τὸ ἀδύνατον. Καὶ ἐκεῖνα ποὺ περιέχονται μέσα εἰς τὸν σκοπὸν τῆς ζωῆς [5]. Διότι ἐκεῖνα ποὺ εἶναι τελικοὶ σκοποὶ εἶναι ἀνώτερα, παρὰ ἐκεῖνα ποὺ ἁπλῶς μᾶς ὁδηγοῦν πρὸς τὸν τελικὸν σκοπόν.

Προτιμότερα εἶναι ἐκεῖνα ποὺ ἀνταποκρίνονται πρὸς τὴν ἀλήθειαν, ἀπὸ ἐκεῖνα ποὺ γίνονται πρὸς ἀπόκτησιν δόξης. Ὁρισμὸς δὲ τῶν πράξεων ποὺ ἐκτελοῦνται πρὸς ἀπόκτησιν δόξης, εἶναι ὁ ἑξῆς: Πράξεις ποὺ δὲν θὰ ἤμεθα διατεθειμένοι νὰ ἐκτελέσωμεν ἂν ἐπρόκειτο νὰ μείνουν ἄγνωστοι. Καὶ γι' αὐτὸ θὰ κριθῇ προτιμότερον τὸ νὰ εὐεργετῆται κανεὶς παρὰ τὸ νὰ εὐεργετῇ. Διότι τὸ πρῶτον θὰ τὸ δεχθῇ κανεὶς εὐχαρίστως, ἔστω καὶ ἂν πρόκειται νὰ μείνῃ ἄγνωστον, ἐνῷ κανεὶς δὲν εἶναι πιθανὸν νὰ κάμῃ εὐεργεσίας, ἂν αὐταὶ πρόκειται νὰ μὴ γίνουν γνωσταί.

Μεγαλυτέραν ἀξίαν ἔχουν ἐπίσης ἐκεῖνα ποὺ ὁ καθένας ἐπιθυμεῖ νὰ ὑπάρχουν πράγματι, παρὰ ἐκεῖνα ποὺ ἀρκεῖται

οὐ δοκεῖ ἂν ἑλέσθαι. Καὶ ὅσα εἶναι μᾶλλον ἢ δοκεῖν βούλονται· πρὸς ἀλήθειαν γὰρ μᾶλλον. Διὸ καὶ τὴν δικαιοσύνην φασὶ μικρὸν εἶναι, ὅτι δοκεῖν ἢ εἶναι αἱρετώτερον· τὸ δὲ ὑγιαίνειν οὔ. Καὶ τὸ πρὸς πολλὰ χρησιμώτερον, οἷον τὸ πρὸς τὸ ζῆν καὶ εὖ ζῆν καὶ τὴν ἡδονὴν καὶ τὸ πράττειν τὰ καλά. Διὸ [καὶ] ὁ πλοῦτος καὶ ἡ ὑγίεια μέγιστα δοκεῖ εἶναι· ἅπαντα γὰρ ἔχει ταῦτα. Καὶ τὸ ἀλυπότερον καὶ τὸ μεθ' ἡδονῆς· πλείω γὰρ ἑνός, ὥστε ὑπάρχει καὶ ἡ ἡδονὴ ἀγαθὸν καὶ ἡ ἀλυπία. Καὶ δυοῖν ὃ τῷ αὐτῷ προστιθέμενον μεῖζον τὸ ὅλον ποιεῖ. Καὶ ἃ μὴ λανθάνει παρόντα ἢ ἃ λανθάνει· πρὸς ἀλήθειαν γὰρ τείνει ταῦτα. Διὸ τὸ πλουτεῖν φανείη ἂν μεῖζον ἀγαθὸν τῷ δοκεῖν. Καὶ τὸ ἀγαπητόν, καὶ τοῖς μὲν μόνον τοῖς δὲ μετ' ἄλλων. Διὸ καὶ οὐκ ἴση ζημία, ἄν τις τὸν ἑτερόφθαλμον τυφλώσῃ καὶ τὸν δύ' ἔχοντα· ἀγαπητὸν γὰρ ἀφῄρηται. Ἐκ τίνων μὲν οὖν δεῖ τὰς πίστεις φέρειν ἐν τῷ προτρέπειν καὶ ἀποτρέπειν, σχεδὸν εἴρηται.

8. Μέγιστον δὲ καὶ κυριώτατον ἁπάντων πρὸς τὸ δύνασθαι πείθειν καὶ καλῶς συμβουλεύειν τὰς πολιτείας ἁπάσας λαβεῖν καὶ τὰ ἑκάστης ἔθη καὶ νόμιμα καὶ συμφέροντα διελεῖν. Πείθονται γὰρ ἅπαντες τῷ συμφέροντι, συμφέρει δὲ τὸ σῷζον τὴν πολιτείαν. Ἔτι δὲ κυρία μὲν

νὰ πιστεύῃ ὁ κόσμος ὅτι ὑπάρχουν. Διότι τὰ πρῶτα ἀνταποκρίνονται περισσότερον πρὸς τὴν ἀλήθειαν. Γι' αὐτὸ λέγουν ὅτι ἡ δικαιοσύνη εἶναι εὔκολον πρᾶγμα, διότι ὁ καθένας ἀρκεῖται νὰ φαίνεται ὅτι εἶναι χωρὶς νὰ ἐπιδιώκῃ νὰ εἶναι πραγματικὰ δίκαιος. Δὲν συμβαίνει ὅμως τὸ ἴδιο πρᾶγμα καὶ μὲ τὴν ὑγείαν.

Προτιμότερον ἐπίσης εἶναι ἐκεῖνο ποὺ εἶναι χρήσιμον πρὸς πολλοὺς σκοπούς. Ἔτσι προτιμότερα εἶναι ἐκεῖνα ποὺ χρησιμεύουν εἰς τὸ νὰ ζῇ κανεὶς καὶ νὰ ζῇ καλὰ καὶ τοῦ παρέχουν τὰ μέσα καὶ τῆς ἡδονῆς καὶ τῆς ἐκτελέσεως καλῶν πράξεων. Γι' αὐτὸ ὁ πλοῦτος καὶ ἡ ὑγεία θεωροῦνται τὰ μεγαλύτερα καλά, διότι μέσα σ' αὐτὰ τὰ δύο περιέχονται καὶ ὅλα τὰ ἄλλα. Προτιμότερον ἐπίσης εἶναι ἐκεῖνο ποὺ ἐπιτυγχάνεται χωρὶς βάσανα καὶ μὲ ἡδονήν. Διότι τότε μᾶλλον ἔχομεν δύο καλὰ καὶ ὄχι ἕνα. Ἀφ' ἑνὸς τὴν ἡδονὴν καὶ ἀφ' ἑτέρου τὴν ἔλλειψιν λύπης.

Ἀπὸ δύο καλὰ μεγαλύτερον εἶναι ἐκεῖνο πού, ὅταν προστεθῇ εἰς τρίτον, μᾶς δίδει μεγαλύτερον ἄθροισμα. Ἐπίσης τὰ πράγματα ποὺ δὲν διαφεύγουν τὴν προσοχὴν εἶναι ἀνώτερα ἀπ' ἐκεῖνα ποὺ διαφεύγουν τὴν προσοχήν. Διότι τὰ πρῶτα εὑρίσκονται πλησιέστερα πρὸς τὴν πραγματικότητα. Γι' αὐτό, προφανῶς, ὁ ἀληθινὸς πλοῦτος εἶναι ἀνώτερος ἀπὸ τὸν φαινομενικὸν πλοῦτον.

Προτιμότερον ἐπίσης εἶναι καὶ ἐκεῖνο ποὺ ἀγαπῶμεν. Καὶ ἄλλην ἀγάπην ἔχομεν ὅταν αὐτὸ εἶναι μοναδικόν, ἄλλην δὲ ὅταν, ἐκτὸς τούτου, ὑπάρχουν καὶ ἄλλα πράγματα. Καὶ γι' αὐτὸ δὲν τιμωρεῖται μὲ τὴν αὐτὴν ποινὴν ἐκεῖνος ποὺ βγάζει τὸ μάτι ἑνὸς μονοφθάλμου καὶ ἐκεῖνος ποὺ βγάζει τὸ μάτι ἑνὸς ἀρτιμελοῦς ἀνθρώπου. Διότι ὁ πρῶτος ἀφήρεσεν ἐκεῖνο ποὺ ἰδιαιτέρως ἀγαποῦσε ὁ παθών.

Ἐξεθέσαμεν ἔτσι ὅλα σχεδὸν τὰ στοιχεῖα, ἀπὸ τὰ ὁποῖα πρέπει νὰ καταρτίζῃ τὰ ἐπιχειρήματά του ὁ ρήτωρ ποὺ θέλει νὰ προτρέψῃ ἢ νὰ ἀποτρέψῃ.

8. ΠΕΡΙ ΤΩΝ ΠΟΛΙΤΕΥΜΑΤΩΝ

Ἡ μεγαλυτέρα καὶ κυριωτέρα ἀπὸ ὅλας τὰς προϋποθέσεις, διὰ νὰ εἶναι εἰς θέσιν ὁ πολιτικὸς ρήτωρ νὰ κάμνῃ ὀρθὰς προτάσεις καὶ νὰ πείθῃ, εἶναι τὸ νὰ γνωρίζῃ ὅλα τὰ πολιτεύματα καὶ νὰ ἠμπορῇ νὰ διακρίνῃ τὰ ἔθιμα, τοὺς νόμους καὶ τὰ συμφέροντα τοῦ καθενός.

Πράγματι, ὅλοι ἀποδέχονται τὰς ὠφελίμους εἰσηγήσεις. Ὠφέλιμον δὲ εἶναι κυρίως ἐκεῖνο ποὺ σώζει τὸ πολίτευμα.

ἐστιν ἡ τοῦ κυρίου ἀπόφασις, τὰ δὲ κύρια διῄρηται κατὰ τὰς πολιτείας· ὅσαι γὰρ αἱ πολιτεῖαι, τοσαῦτα καὶ τὰ κύριά ἐστιν. Εἰσὶν δὲ πολιτεῖαι τέτταρες, δημοκρατία ὀλιγαρχία ἀριστοκρατία μοναρχία, ὥστε τὸ μὲν κύριον καὶ τὸ κρῖνον τούτων τί ἐστιν μόριον ἢ ὅλον τούτων. Ἔστιν δὲ δημοκρατία μὲν πολιτεία ἐν ᾗ κλήρῳ διανέμονται τὰς ἀρχάς, ὀλιγαρχία δὲ ἐν ᾗ [οἱ] ἀπὸ τιμημάτων, ἀριστοκρατία δὲ ἐν ᾗ κατὰ τὴν παιδείαν. Παιδείαν δὲ λέγω τὴν ὑπὸ τοῦ νόμου κειμένην· οἱ γὰρ ἐμμεμενηκότες ἐν τοῖς νομίμοις ἐν τῇ ἀριστοκρατίᾳ ἄρχουσιν. Ἀνάγκη δὲ τούτους φαίνεσθαι ἀρίστους, ὅθεν καὶ τοὔνομα εἴληφεν τοῦτο. Μοναρχία δ' 1366a *ἐστὶν κατὰ τοὔνομα ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστιν· τούτων δὲ ἡ μὲν κατὰ τάξιν τινὰ βασιλεία, ἡ δ' ἀόριστος τυραννίς· τὸ δὲ τέλος ἑκάστης πολιτείας οὐ δεῖ λανθάνειν· αἱροῦνται γὰρ τὰ πρὸς τὸ τέλος. Ἔστι δὲ δημοκρατίας μὲν τέλος ἐλευθερία, ὀλιγαρχίας δὲ πλοῦτος, ἀριστοκρατίας δὲ τὰ περὶ παιδείαν καὶ τὰ νόμιμα . . . . . τυραννίδος δὲ φυλακή. Δῆλον οὖν ὅτι τὰ πρὸς τὸ τέλος ἑκάστης ἤθη καὶ νόμιμα καὶ συμφέροντα διαιρετέον, εἴπερ αἱροῦνται πρὸς τοῦτο ἐπαναφέροντες. Ἐπεὶ δὲ οὐ μόνον αἱ πίστεις γίνονται δι' ἀποδεικτικοῦ λόγου ἀλλὰ καὶ δι' ἠθικοῦ· (τῷ γὰρ ποιόν τινα φαίνεσθαι τὸν*

---

1. Αὐτὴ ἦτο ἡ σύγχρονος τοῦ συγγραφέως μορφὴ τῆς Ἀθηναϊκῆς δημοκρατίας. Πράγματι, ὅσο προχωροῦσε ἡ παρακμή, περιωρίζετο ἡ δι' ἐκλογῆς ἀνάθεσις τῶν ἀξιωμάτων εἰς ἐλάχιστα καὶ κατήντησεν εἰς τὴν ἐποχὴν τοῦ Ἀριστοτέλους σχεδὸν ὅλα νὰ μοιράζωνται μὲ κλῆρον.

2. Δηλ. ἡ πλουτοκρατία.

3. καὶ 4. Οἱ ὁρισμοί, ποὺ δίδει ἐδῶ ὁ Ἀριστοτέλης, ἀντιστοιχοῦν, mutatis mutandis, μὲ τὰς νεωτέρας ἐννοίας περὶ συνταγματικῆς καὶ ἀπολύτου μοναρχίας.

5. Καὶ ὄχι ἡ φρούρησις τοῦ τυράννου, ὅπως κακῶς ἀπεδόθη.

Ἐπιπλέον ἡ κυριαρχία ἐκδηλώνεται ἀπὸ τοῦτο, ὅτι ἀποφασιστικὴ εἶναι ἡ γνώμη ἐκείνου ποὺ συγκεντρώνει τὴν κυριαρχίαν. Ἀλλ' ἡ κυριαρχικὴ ἐξουσία ποικίλλει ἀναλόγως πρὸς τὴν μορφὴν τοῦ πολιτεύματος. Πράγματι, ὅσα εἴδη πολιτευμάτων ὑπάρχουν, ἄλλοι τόσοι εἶναι οἱ φορεῖς τῆς κυριαρχικῆς ἐξουσίας.

Ὑπάρχουν τρία εἴδη πολιτευμάτων. Ἡ λαοκρατία, ἡ ὀλιγαρχία, ἡ ἀριστοκρατία καὶ ἡ μοναρχία. Εἰς τρόπον ὥστε φορεὺς τῆς κυριαρχικῆς ἐξουσίας μὲ ἀποφασιστικὴν γνώμην διὰ τὰς ὑποθέσεις τῆς πολιτείας εἶναι πάντοτε ἢ τὸ σύνολον τῶν μελῶν της ἢ μόνον ἓν μέρος αὐτῶν.

Λαοκρατία εἶναι τὸ πολίτευμα ἐκεῖνο ὅπου τὰ διάφορα ἀξιώματα δίδονται εἰς τοὺς πολίτας διὰ κλήρου [1]. Ὀλιγαρχία, ἐκεῖνο ὅπου τὰ ἀξιώματα δίδονται εἰς τοὺς περισσότερον φορολογουμένους πολίτας [2]. Ἀριστοκρατία, τὸ πολίτευμα ὅπου οἱ περισσότερον μορφωμένοι κυβερνοῦν. Ἐννοῶ δὲ μόρφωσιν, ἐκείνην ποὺ καθορίζει ὁ νόμος. Πράγματι, ἡ ἐξουσία εἰς τὰ ἀριστοκρατικὰ πολιτεύματα περιέρχεται εἰς ἐκείνους ποὺ μένουν πιστοὶ εἰς τὰς συνηθείας ποὺ ἔχουν πάρει δύναμιν νόμου. Πράγματι, αὐτοὶ φαίνονται ὡς ἄριστοι πολῖται καὶ ἀπ' ἐδῶ προῆλθε τὸ ὄνομα τῆς μορφῆς αὐτῆς τοῦ πολιτεύματος. Τέλος μοναρχία, ὅπως καὶ ἀπὸ τὸ ὄνομά της προκύπτει, εἶναι ἐκεῖνο τὸ πολίτευμα ὅπου ἕνας μόνον ἀρχηγὸς κυριαρχεῖ τῆς πολιτείας. Ὑπάρχουν δὲ δύο εἰδῶν μοναρχίαι, ἐκείνη ποὺ διέπεται ἀπὸ κανόνας καὶ λέγεται βασιλεία [3], καὶ ἐκείνη ποὺ δὲν περιορίζεται ἀπὸ κανένα κανόνα καὶ λέγεται τυραννίς [4].

Δὲν πρέπει δὲ ὁ πολιτικὸς ρήτωρ νὰ ἀγνοῇ καὶ τὸν τελικὸν σκοπὸν τοῦ καθενὸς πολιτεύματος. Διότι ὁ σκοπὸς καθορίζει τὴν μορφήν των. Σκοπὸς δὲ τῆς μὲν λαοκρατίας εἶναι ἡ ἐλευθερία. Τῆς ὀλιγαρχίας ἡ προστασία τῶν συμφερόντων τῆς πλουτοκρατίας. Τῆς ἀριστοκρατίας ἡ μόρφωσις τῶν πολιτῶν καὶ ἡ τήρησις τῶν πατροπαραδότων συνηθειῶν ποὺ ἔχουν πάρει δύναμιν νόμου. Τῆς τυραννίδος τέλος σκοπὸς εἶναι ἡ διατήρησις τῆς ἐξουσίας [5]. Εἶναι λοιπὸν φανερὸν ὅτι πρέπει νὰ ἠμποροῦμεν νὰ διακρίνωμεν τὰ ἔθιμα, τοὺς νόμους καὶ τὰ συμφέροντα τοῦ κάθε εἴδους πολιτεύματος, ἀφοῦ αἱ ἀποφάσεις κάθε φορὰν λαμβάνονται ἐν ἀναφορᾷ πρὸς τοὺς παράγοντας αὐτούς.

Καὶ ἐπειδὴ πείθομεν ὄχι μόνον μὲ τὸ νὰ παράσχωμεν ἀποδείξεις, ἀλλὰ καὶ μὲ τὸ ἦθος μας (καὶ πραγματικὰ ἐμ-

λέγοντα πιστεύομεν, τοῦτο δ' ἐστὶν ἂν ἀγαθὸς φαίνηται ἢ εὔνους ἢ ἄμφω) δέοι ἂν τὰ ἤθη τῶν πολιτειῶν ἑκάστης ἔχειν ἡμᾶς· τὸ μὲν γὰρ ἑκάστης ἦθος πιθανώτατον ἀνάγκη πρὸς ἑκάστην εἶναι. Ταῦτα δὲ ληφθήσεται διὰ τῶν αὐτῶν· τὰ μὲν γὰρ ἤθη φανερὰ κατὰ τὴν προαίρεσιν, ἡ δὲ προαίρεσις ἀναφέρεται πρὸς τὸ τέλος.

Ὧν μὲν οὖν δεῖ ὀρέγεσθαι προτρέποντας ὡς ἐσομένων ἢ ὄντων, καὶ ἐκ τίνων δεῖ τὰς περὶ τοῦ συμφέροντος πίστεις λαμβάνειν, ἔτι δὲ περὶ τῶν περὶ τὰς πολιτείας ἠθῶν καὶ νομίμων διὰ τίνων τε καὶ πῶς εὐπορήσομεν, ἐφ' ὅσον ἦν τῷ παρόντι καιρῷ σύμμετρον, εἴρηται· διηκρίβωται γὰρ ἐν τοῖς πολιτικοῖς περὶ τούτων.

9. *Μετὰ δὲ ταῦτα λέγωμεν περὶ ἀρετῆς καὶ κακίας καὶ καλοῦ καὶ αἰσχροῦ· οὗτοι γὰρ σκοποὶ τῷ ἐπαινοῦντι καὶ ψέγοντι· συμβήσεται γὰρ ἅμα περὶ τούτων λέγοντας κἀκεῖνα δηλοῦν ἐξ ὧν ποιοί τινες ὑποληφθησόμεθα κατὰ τὸ ἦθος, ἥπερ ἦν δευτέρα πίστις· ἐκ τῶν αὐτῶν γὰρ ἡμᾶς τε καὶ ἄλλον ἀξιόπιστον δυνησόμεθα ποιεῖν πρὸς ἀρετήν. Ἐπεὶ δὲ συμβαίνει καὶ χωρὶς σπουδῆς καὶ μετὰ σπουδῆς ἐπαινεῖν πολλάκις οὐ μόνον ἄνθρωπον ἢ θεὸν ἀλλὰ καὶ ἄψυχα καὶ τῶν ἄλλων ζῴων τὸ τυχόν, τὸν αὐτὸν τρόπον καὶ περὶ*

---

1. Δηλ. οἱ κρατοῦντες, πρὸς τοὺς ὁποίους ἀπευθυνόμεθα, ἔχουν διαφόρους προθέσεις (προαίρεσιν). Τῶν προθέσεών των εἰκὼν εἶναι τὰ ἤθη των, ἡ ψυχική των διάθεσις. Αἱ δὲ προθέσεις των εἶναι διαφορετικαί, ἀναλόγως τοῦ εἴδους τοῦ πολιτεύματος, καὶ ἀνάλογοι πρὸς τὸν σκοπὸν ποὺ κάθε πολίτευμα ἔχει.
2. Πολιτικὰ βιβλ. Γ' καὶ ἑπόμενα.
3. Κεφ 2 § 3.

πιστευόμεθα εἰς τὸν ρήτορα ἀνάλογα πρὸς τὰς ἰδιότητας ποὺ φαίνεται ὅτι ἔχει, δηλ. ἂν βλέπωμεν ὅτι εἶναι ἄνθρωπος ἀξίας, ἢ θέλῃ τὸ καλόν μας, ἢ ὅτι συγκεντρώνει καὶ τὰ δύο αὐτὰ προσόντα), τότε, βέβαια, πρέπει νὰ γνωρίζωμεν ποῖον ἦθος ταιριάζει εἰς κάθε μορφὴν πολιτεύματος. Πράγματι, ἀναγκαστικὰ ὁ καλύτερος τρόπος διὰ νὰ γίνωμεν πειστικοὶ εἶναι τὸ νὰ συμμορφωνώμεθα ἀναλόγως πρὸς τὸν τόπον ὅπου ὁμιλοῦμεν, μὲ τὰ ἤθη ποὺ ταιριάζουν εἰς κάθε εἶδος πολιτεύματος. Τὰ ἐπιχειρήματα πρέπει νὰ διατυπώνωνται ἀνάλογα πρὸς τὰ ἤθη κάθε πολιτεύματος. Πράγματι, τὰ ἤθη ἐκδηλώνονται ἀναλόγως πρὸς τὴν πρόθεσιν ποὺ ὑπάρχει, ἡ δὲ πρόθεσις πάλιν εἶναι ἀνάλογος πρὸς τὸν τελικὸν σκοπόν[1].

Ἄλλωστε ποῦ πρέπει νὰ τείνωμεν, ὅταν προτρέπωμεν διὰ κάτι τι παρὸν ἢ μέλλον, ἀπὸ ποῖα στοιχεῖα πρέπει νὰ ἀντλῶμεν τὰ ἐπιχειρήματά μας, εἴτε περὶ τοῦ τί συμφέρει εἴτε καὶ σχετικὰ πρὸς τὰ ἔθιμα καὶ τοὺς νόμους τοῦ κάθε πολιτεύματος, καὶ κατὰ ποῖον τρόπον καὶ μὲ ποῖα μέσα ἠμποροῦμεν νὰ ἐπιτύχωμεν εἰς τὴν κάθε δεδομένην περίπτωσιν, ἔχομεν ἐκθέσει ὅσα ἀναλογοῦν εἰς τὴν συμμετρίαν τοῦ θέματός μας. Διότι τὸ θέμα αὐτὸ ἐξητάσθη μὲ περισσοτέραν ἀκριβολογίαν εἰς τὰ Πολιτικά[2].

9. ΠΕΡΙ ΠΑΝΗΓΥΡΙΚΟΥ ΛΟΓΟΥ

Καὶ τώρα, ὕστερα ἀπὸ ὅλα αὐτά, ἂς ὁμιλήσωμεν διὰ τὴν ἀρετήν, διὰ τὴν κακίαν, διὰ τὸ ὡραῖον καὶ διὰ τὸ ἄσχημον. Διότι ὁ πανηγυρικὸς ρήτωρ εἰς αὐτὰ ἀποβλέπει ὅταν ἐπαινῇ ἢ κατηγορῇ. Καὶ θὰ συμβῇ, τὴν ὥραν ποὺ ἀσχολούμεθα μὲ τὰ θέματα αὐτά, νὰ δείξωμεν συγχρόνως μὲ ποῖον τρόπον θὰ ἠμπορέσωμεν νὰ φανῶμεν εἰς τοὺς ἀκροατάς μας ὅτι ἔχομεν αὐτὸ ἢ ἐκεῖνο τὸ ἦθος. Καί, καθὼς εἴπομεν ἤδη, τὸ ἦθος τοῦ ρήτορος ἀποτελεῖ τὸν δεύτερον παράγοντα ποὺ πείθει τοὺς ἀκροατάς[3]. Πράγματι, τὰ ἴδια μέσα ἔχομεν νὰ μεταχειρισθῶμεν διὰ νὰ δείξωμεν ὅτι εἴτε ἡμεῖς οἱ ἴδιοι εἴτε κάποιος ἄλλος εἶναι ἐνάρετος καὶ ἑπομένως ἀξιόπιστος.

Ἐπειδὴ ὅμως συχνὰ συμβαίνει, εἴτε στὰ σοβαρὰ εἴτε καὶ ὄχι, νὰ πλέκωμεν τὸ ἐγκώμιον ὄχι μόνον κάποιου ἀνθρώπου ἢ θεοῦ, ἀλλ' ἀκόμη καὶ ἀψύχων ὄντων ἢ καὶ ἑνὸς ὁποιουδήποτε ζῴου, γι' αὐτὸ πρέπει καὶ περὶ ὅλων τούτων

τούτων ληπτέον τὰς προτάσεις, ὥστε ὅσον παραδείγματος χάριν εἴπωμεν καὶ περὶ τούτων.

Καλὸν μὲν οὖν ἐστιν ὃ ἂν δι᾽ αὑτὸ αἱρετὸν ὂν ἐπαινετὸν ᾖ, ἢ ὃ ἂν ἀγαθὸν ὂν ἡδὺ ᾖ, ὅτι ἀγαθόν. Εἰ δὲ τοῦτό ἐστι τὸ καλόν, ἀνάγκη τὴν ἀρετὴν καλὸν εἶναι. Ἀγαθὸν γὰρ ὂν ἐπαινετόν ἐστιν. Ἀρετὴ δ᾽ ἐστὶ μὲν δύναμις ὡς δοκεῖ ποριστικὴ ἀγαθῶν καὶ φυλακτική, καὶ δύναμις εὐεργετικὴ πολλῶν καὶ μεγάλων, καὶ πάντων περὶ πάντα.

1366 b *** *Μέρη δὲ ἀρετῆς δικαιοσύνη, ἀνδρία, σωφροσύνη, μεγαλοπρέπεια, μεγαλοψυχία, ἐλευθεριότης, πραότης, φρόνησις, σοφία. Ἀνάγκη δὲ μεγίστας εἶναι ἀρετὰς τὰς τοῖς ἄλλοις χρησιμωτάτας, εἴπερ ἐστὶν ἡ ἀρετὴ δύναμις εὐεργετική. Διὰ τοῦτο τοὺς δικαίους καὶ ἀνδρείους μάλιστα τιμῶσιν· ἡ μὲν γὰρ ἐν πολέμῳ ἡ δὲ καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ χρήσιμος ἄλλοις. Εἶτα ἡ ἐλευθεριότης· προΐενται γὰρ καὶ οὐκ ἀνταγωνίζονται περὶ τῶν χρημάτων, ὧν μάλιστα ἐφίενται ἄλλοι. Ἔστι δὲ δικαιοσύνη μὲν ἀρετὴ δι᾽ ἣν τὰ αὑτῶν ἕκαστοι ἔχουσι, καὶ ὡς ὁ νόμος, ἀδικία δὲ δι᾽ ἣν τὰ ἀλλότρια, οὐχ ὡς ὁ νόμος. Ἀνδρία δὲ δι᾽ ἣν πρακτικοί εἰσι τῶν καλῶν ἔργων ἐν τοῖς κινδύνοις, καὶ ὡς ὁ νόμος κελεύει, καὶ ὑπηρετικοὶ τῷ νόμῳ· δειλία δὲ τοὐναντίον. Σωφροσύνη δὲ ἀρετὴ δι᾽ ἣν πρὸς τὰς ἡδονὰς τὰς τοῦ σώματος οὕτως ἔχουσιν ὡς ὁ νόμος κελεύει· ἀκολασία δὲ τοὐναντίον. Ἐλευθεριότης δὲ περὶ χρήματα εὐποιητική, ἀνελευθερία δὲ τοὐναντίον. Μεγαλοψυχία δὲ ἀρε-*

νὰ σχηματίζωμεν προτάσεις κατὰ τὸ ἴδιον σύστημα. Ὥστε θὰ ἐπεκταθῶμεν καὶ εἰς αὐτὸ τὸ σημεῖον μόνον καὶ μόνον διὰ νὰ δώσωμεν μερικὰ παραδείγματα.

Ὡραῖον λοιπὸν εἶναι ἐκεῖνο ποὺ ἀξίζει νὰ ἐπαινεθῇ, εἴτε διότι πρέπει νὰ τὸ προτιμῶμεν αὐτὸ καθ' ἑαυτό, εἴτε διότι εἶναι καλὸν πρᾶγμα καὶ ἡ ἰδιότης του αὐτὴ τὸ καθιστᾶ συγχρόνως καὶ εὐχάριστον. Ἀφοῦ ὅμως δίδομεν αὐτὸν τὸν ὁρισμὸν τοῦ ὡραίου, ἀναγκαστικὰ συνάγεται ὅτι ἡ ἀρετὴ εἶναι ὡραῖον πρᾶγμα. Διότι εἶναι ἕνα καλὸν ποὺ ἐξ αἰτίας αὐτῆς τῆς ἰδιότητός του ἀξίζει νὰ ἐπαινῆται.

Ἡ ἀρετὴ εἶναι, καθὼς νομίζομεν, ἡ δύναμις ἡ ἱκανὴ νὰ δημιουργῇ καὶ νὰ διαφυλάττῃ τὸ καλὸν καὶ ἐπίσης ἱκανὴ νὰ μᾶς κάμνῃ νὰ πραγματοποιῶμεν πολλὰς καὶ μεγάλας καλὰς πράξεις κάθε εἴδους καὶ ἀπὸ κάθε ἄποψιν.

Μέρη (ποικιλίαι) τῆς ἀρετῆς εἶναι ἡ δικαιοσύνη, ἡ ἀνδρεία, ἡ ἐγκράτεια, ἡ μεγαλοπρέπεια, ἡ μεγαλοψυχία, ἡ ἐλευθεριότης, ἡ πραότης, ἡ ἐξυπνάδα καὶ ἡ σοφία.

Ἀφοῦ δὲ ἡ ἀρετὴ εἶναι ἡ δύναμις ποὺ μᾶς καθιστᾷ ἱκανοὺς διὰ καλὰς πράξεις, ἀναγκαστικὰ συνάγεται ὅτι μεγαλύτεραι εἶναι ἐκεῖναι αἱ ἀρεταί, ποὺ εἶναι ὠφελιμώτεραι εἰς τοὺς ἄλλους. Γι' αὐτὸ αἱ μεγαλύτεραι τιμαὶ ἀπονέμονται κυρίως εἰς τοὺς δικαίους καὶ εἰς τοὺς ἀνδρείους. Διότι ἡ μὲν ἀνδρεία εἶναι ὠφέλιμος εἰς τοὺς ἄλλους κατὰ τὸν πόλεμον, ἡ δὲ δικαιοσύνη καὶ κατὰ τὴν εἰρήνην καὶ κατὰ τὸν πόλεμον. Κατόπιν ἀκολουθεῖ ἡ ἐλευθεριότης, διότι ὅσοι ἔχουν αὐτὴν τὴν ἀρετήν, ὄχι μόνον δὲν ἀνταγωνίζονται διὰ χρηματικὰ ζητήματα, ποὺ τόσον τὰ ἐπιδιώκει ὁ ἄλλος κόσμος, ἀλλὰ καὶ προβαίνουν εἰς θυσίας.

Εἶναι δὲ δικαιοσύνη ἡ ἀρετὴ ἐκείνη ποὺ ἐξ αἰτίας της ὁ καθένας ἔχει ὅσα τοῦ ἀνήκουν, σύμφωνα μὲ τοὺς νόμους. Ἐνῷ μὲ τὴν ἀδικίαν ἀποκτᾶ κανεὶς τὰ ξένα πράγματα, κατὰ παράβασιν τῶν νόμων.

Χάρις εἰς τὴν ἀνδρείαν εἴμεθα εἰς θέσιν νὰ πραγματοποιῶμεν ὡραίας πράξεις μέσα εἰς τὴν ὥραν τοῦ κινδύνου, καθὼς προστάζει ὁ νόμος, καὶ νὰ ὑπηρετῶμεν τὸν νόμον. Ἡ δὲ δειλία εἶναι τὸ ἀντίθετον.

Ἐγκράτεια εἶναι ἐκείνη ἡ ἀρετὴ ποὺ μᾶς κάμνει ἱκανοὺς νὰ συμμορφωνώμεθα πρὸς τοὺς νόμους εἰς ὅ,τι σχετίζεται μὲ τὰς σωματικὰς ἀπολαύσεις. Τὸ δὲ ἀντίθετόν της εἶναι ἡ ἀσωτία.

Ἐλευθεριότης εἶναι ἡ ἀρετὴ ποὺ μᾶς κάμνει ἱκανοὺς νὰ ἐκτελῶμεν καλὰς πράξεις μὲ τὰ χρήματά μας, καὶ ἀντίθετόν της εἶναι ἡ φιλαργυρία.

τὴ μεγάλων ποιητικὴ εὐεργετημάτων, [μικροψυχία δὲ τοὐναντίον.] Μεγαλοπρέπεια δὲ ἀρετὴ ἐν δαπανήμασι μεγέθους ποιητική, μικροψυχία δὲ καὶ μικροπρέπεια τἀναντία. Φρόνησις δ' ἐστὶν ἀρετὴ διανοίας, καθ' ἣν εὖ βουλεύεσθαι δύνανται περὶ ἀγαθῶν καὶ κακῶν τῶν εἰρημένων εἰς εὐδαιμονίαν.***

Περὶ μὲν οὖν ἀρετῆς καὶ κακίας καθόλου καὶ περὶ τῶν μορίων εἴρηται κατὰ τὸν ἐνεστῶτα καιρὸν ἱκανῶς, περὶ δὲ τῶν ἄλλων οὐ χαλεπὸν ἰδεῖν· φανερὸν γὰρ ὅτι ἀνάγκη τά τε ποιητικὰ τῆς ἀρετῆς εἶναι καλά. (Πρὸς ἀρετὴν γὰρ) καὶ τὰ ἀπ' ἀρετῆς γινόμενα, τοιαῦτα δὲ τά τε σημεῖα τῆς ἀρετῆς καὶ τὰ ἔργα· ἐπεὶ δὲ τὰ σημεῖα καὶ τὰ τοιαῦτα ἅ ἐστιν ἀγαθοῦ ἔργα ἢ πάθη καλά, ἀνάγκη ὅσα τε ἀνδρίας ἔργα ἢ σημεῖα ἀνδρίας ἢ ἀνδρείως πέπρακται καλὰ εἶναι, καὶ τὰ δίκαια καὶ τὰ δικαίως ἔργα (πάθη δὲ οὔ· ἐν μόνῃ γὰρ ταύτῃ τῶν ἀρετῶν οὐκ ἀεὶ τὸ δικαίως καλόν, ἀλλ' ἐπὶ τοῦ ζημιοῦσθαι αἰσχρὸν τὸ δικαίως μᾶλλον ἢ τὸ ἀδίκως) καὶ κατὰ τὰς ἄλλας δὲ ἀρετὰς ὡσαύτως. Καὶ ἐφ' ὅσοις τὰ ἆθλα τιμή, καλά. Καὶ ἐφ' ὅσοις τιμὴ μᾶλλον ἢ χρήματα. Καὶ ὅσα μὴ αὑτοῦ ἕνεκα πράττει τις τῶν αἱρετῶν, καὶ τὰ ἁπλῶς ἀγαθά, ὅσα ὑπὲρ τῆς πατρίδος τις ἐποίησεν παριδὼν τὸ αὑτοῦ, καὶ

Μεγαλοψυχία εἶναι ἡ ἀρετὴ ποὺ μᾶς κάμνει ἱκανοὺς νὰ ἐκτελῶμεν μεγάλας εὐεργεσίας. Τὸ ἀντίθετόν της εἶναι ἡ μικροψυχία.

Μεγαλοπρέπεια εἶναι ἡ ἀρετὴ ποὺ δίδει μεγαλεῖον εἰς τὰς δαπάνας μας. Τὸ ἀντίθετόν της εἶναι ἡ μικροψυχία καὶ ἡ μικροπρέπεια.

Ἐξυπνάδα εἶναι ἡ διανοητικὴ ἐκείνη ἀρετὴ ποὺ δίδει τὴν ἱκανότητα νὰ σκέπτεται κανεὶς ὀρθῶς δι' ὅλα τὰ καλὰ καὶ τὰ κακὰ ποὺ ἐξεθέσαμεν καὶ πού, ὅπως εἴπομεν, σχετίζονται μὲ τὴν εὐτυχίαν.

Ἀρκετὰ ἠσχολήθημεν πρὸς τὸ παρὸν μὲ τὴν ἀρετὴν καὶ τὴν κακίαν γενικά, καὶ μὲ τὰς διαφόρους ποικιλίας των. Δὲν εἶναι δὲ δύσκολον νὰ ἀντιληφθῶμεν καὶ τὰ ἄλλα σχετικὰ θέματα. Εἶναι, πράγματι, φανερὸν ὅτι καὶ ἐκεῖνα ποὺ δημιουργοῦν τὴν ἀρετὴν εἶναι ὡραῖα (ἀφοῦ ἀποβλέπουν εἰς αὐτήν), καθὼς καὶ τὰ πράγματα ποὺ προέρχονται ἀπὸ τὴν ἀρετήν. Αὐτὸ ἰσχύει καὶ διὰ τὰς ἐκδηλώσεις καὶ διὰ τὰ ἔργα τῆς ἀρετῆς.

Ἀφοῦ ὅμως αἱ ἐκδηλώσεις τῆς ἀρετῆς, καὶ ὅλα ἐκεῖνα ὅσα, ἐνεργητικὰ ἢ παθητικά, προέρχονται ἀπὸ τὴν ἀρετήν, εἶναι ὡραῖα πράγματα, ἀναγκαστικὰ συνάγεται ὅτι ὅλαι αἱ ἀνδρεῖαι πράξεις, ἢ αἱ ἐκδηλώσεις ἀνδρείας, ἢ ὅλαι αἱ πράξεις ποὺ ἐξετελέσθησαν μὲ ἀνδρεῖον τρόπον, εἶναι ὡραῖα πράγματα. Ἐπίσης ὅλα τὰ δίκαια καὶ ὅλαι αἱ ἐνέργειαι ἑνὸς δικαίου ἀνθρώπου. Ὄχι ὅμως καὶ ὅσα ὑφίσταται κανεὶς ἀπὸ ἕνα δίκαιον. Πράγματι, ἐξαιρετικὰ μόνον εἰς αὐτὴν τὴν ἀρετὴν (τὴν δικαιοσύνην) δὲν εἶναι πάντοτε ὡραῖον ὅ,τι κανεὶς δικαίως ὑφίσταται, καὶ μάλιστα, εἰς τὴν περίπτωσιν τῆς ποινικῆς δικαιοσύνης, πιὸ ἄσχημον εἶναι νὰ ὑφίσταται κανεὶς τιμωρίαν δικαίως παρὰ ἀδίκως. Καὶ εἰς τὰς ἄλλας δὲ ἀρετὰς ἐφαρμόζονται ὅσα ἐξετέθησαν ἀνωτέρω.

Καὶ αἱ πράξεις ποὺ ἀνταμείβονται μὲ τιμὰς εἶναι ὡραῖαι. Ὡραιότεραι δὲ εἶναι ἐκεῖναι ποὺ ἀνταμείβονται μὲ τιμὰς παρὰ ἐκεῖναι ποὺ ἀνταμείβονται μὲ χρήματα. Ἀκόμη δὲ καὶ ἐκεῖναι αἱ καλαὶ πράξεις ποὺ ἐκτελοῦνται χωρὶς ἰδιοτέλειαν.

Εἶναι ἀκόμη ὡραῖαι ἀπολύτως ἐκεῖναι αἱ πράξεις ποὺ ἐκτελεῖ κανεὶς χάριν τῆς πατρίδος του, παραβλέπων τὸ ἰδικόν του συμφέρον. Καθὼς καὶ ἐκεῖναι ποὺ εἶναι μὲν καλαὶ

τὰ τῇ φύσει ἀγαθά, καὶ ἃ μὴ αὐτῷ ἀγαθά· αὐτοῦ γὰρ ἕνεκα
1367 a *τὰ τοιαῦτα. Καὶ ὅσα τεθνεῶτι ἐνδέχεται ὑπάρχειν μᾶλλον ἢ ζῶντι· τὸ γὰρ αὐτοῦ ἕνεκα μᾶλλον ἔχει τὰ ζῶντι. Καὶ ὅσα ἔργα τῶν ἄλλων ἕνεκα· ἧττον γὰρ αὐτοῦ. Καὶ ὅσαι εὐπραγίαι περὶ ἄλλους, ἀλλὰ μὴ περὶ αὐτόν. Καὶ περὶ τοὺς εὖ ποιήσαντας· δίκαιον γάρ. Καὶ τὰ εὐεργετήματα οὐ γὰρ εἰς αὐτόν. Καὶ τὰ ἐναντία ἢ ἐφ' οἷς αἰσχύνονται· τὰ γὰρ αἰσχρὰ αἰσχύνονται καὶ λέγοντες καὶ ποιοῦντες καὶ μέλλοντες, ὥσπερ καὶ Σαπφὼ πεποίηκεν εἰπόντος τοῦ Ἀλκαίου*

> θέλω τι Ϝειπῆν, ἀλλά με κωλύει
> αἰδώς,
> αἰ δ' ἦχες ἐσθλῶν ἵμερον ἢ καλῶν
> καὶ μή τι Ϝειπῆν γλῶσσ' ἐκύκα κακόν,
> αἰδώς κέν σε οὐκ εἶχεν ὄμματ',
> ἀλλ' ἔλεγες περὶ τῶ δικαίω.

Καὶ περὶ ὧν ἀγωνιῶσι μὴ φοβούμενοι· περὶ γὰρ τῶν πρὸς δόξαν φερόντων ἀγαθῶν τοῦτο πάσχουσιν. Καὶ αἱ τῶν φύσει σπουδαιοτέρων ἀρεταὶ καλλίους καὶ τὰ ἔργα, οἷον ἀνδρὸς ἢ γυναικός. Καὶ αἱ ἀπολαυστικαὶ ἄλλοις μᾶλλον ἢ αὐτοῖς· διὸ τὸ δίκαιον καὶ ἡ δικαιοσύνη καλόν. Καὶ τὸ τοὺς ἐχθροὺς τιμωρεῖσθαι μᾶλλον καὶ μὴ καταλλάττεσθαι· τό τε

---

1. Ἀλκαίου, Μετάφρ. Π. Λεκατσᾶ.
2. Σαπφοῦς, Μετάφρ. Π. Λεκατσᾶ.

ἐκ φύσεως, χωρὶς ὅμως νὰ ὠφελοῦν αὐτὸν ποὺ τὰς πραγματοποιεῖ, ἀφοῦ, εἰς τὴν ἀντίθετον περίπτωσιν, θὰ ἠμποροῦσε νὰ λεχθῇ ὅτι χάριν τοῦ προσωπικοῦ του συμφέροντος τὰς ἐξετέλεσε.

Ἐπίσης ἐκεῖναι αἱ πράξεις ποὺ ἠμποροῦν νὰ ὠφελήσουν μᾶλλον ἕνα νεκρὸν παρὰ ἕνα ζωντανόν. Διότι, ὅσα κάμνει κανεὶς χάριν τοῦ ἀτομικοῦ του συμφέροντος, συνήθως ἀπευθύνονται πρὸς τοὺς ζωντανούς.

Τὸ ἴδιον ἰσχύει καὶ δι' ὅσας πράξεις ἐκτελοῦνται πρὸς τὸ συμφέρον τῶν ἄλλων. Διότι τοῦτο σημαίνει ὅτι παραμερίζει τὸ προσωπικόν του συμφέρον. Ἐπίσης διὰ τὰς καλὰς πράξεις ποὺ κάμνομεν χάριν ἄλλων καὶ ὄχι χάριν τοῦ ἑαυτοῦ μας, ἢ χάριν ἐκείνων ποὺ μᾶς ἔχουν ἤδη εὐεργετήσει, διότι αὐτὸ ἐπιβάλλεται ἀπὸ τὸ δίκαιον. Καὶ γενικά, αἱ εὐεργεσίαι εἶναι ὡραῖαι πράξεις, διότι δὲν ἀφοροῦν τὸ συμφέρον τοῦ εὐεργέτου.

Ἐπίσης αἱ πράξεις αἱ ἀντίθετοι ἀπὸ ἐκείνας ποὺ μᾶς προξενοῦν ἐντροπήν. Πράγματι, ντρέπεται κανεὶς διὰ τὰ αἰσχρὰ ποὺ λέγει, ποὺ κάμνει, ἢ ποὺ σκέπτεται νὰ εἰπῇ ἢ νὰ κάμῃ. Καὶ γι' αὐτὸ ἡ Σαπφώ, εἰς τὸν ἀκόλουθον στίχον τοῦ Ἀλκαίου :

> «Θέλω κάτι νὰ σοῦ πῶ, μὰ μὲ μποδίζει
> ἡ ντροπή» [1],

ἔδωσε τὴν ἀπάντησιν :

> «Ἀλλ' ἂν ὄμορφου ἢ καλοῦ τὸν πόθον εἶχες
> κι' ἂν δὲν σάλευε κακὸ γιὰ νὰ πῇ ἡ γλῶσσα,
> δὲ θὰ σκέπαζε τὰ μάτια σου ἡ ντροπή,
> ἀλλὰ θἄλεγες τὸν πόθο σου τὸν δίκιο» [2].

Ὡραῖα ἐπίσης εἶναι ἐκεῖνα ποὺ ἀγωνίζεται κανεὶς νὰ τὰ ἀποκτήσῃ χωρὶς νὰ φοβῆται τίποτε. Πράγματι, ἔτσι φερόμεθα ὅταν ἐπιδιώκωμεν κάτι καλόν, ποὺ μᾶς ὁδηγεῖ εἰς τὴν δόξαν.

Αἱ ἀρεταὶ καὶ τὰ ἔργα τῶν ὄντων ἐκείνων ποὺ ἐκ φύσεως ἔχουν μεγαλυτέραν σπουδαιότητα, εἶναι ἀνώτεραι. Ἔτσι τὰ ἔργα καὶ αἱ ἀρεταὶ ἑνὸς ἀνδρὸς εἶναι ἀνώτεραι ἀπὸ τὰς ἀρετὰς καὶ τὰ ἔργα μιᾶς γυναίκας.

Καὶ αἱ ἀρεταὶ ποὺ προξενοῦν μεγαλυτέρας ἀπολαύσεις εἰς τοὺς ἄλλους παρὰ εἰς ἡμᾶς τοὺς ἰδίους. Γι' αὐτὸ καὶ τὸ δίκαιον καὶ ἡ δικαιοσύνη εἶναι ὡραῖα.

Ὡραιότερον εἶναι νὰ τιμωρῇ κανεὶς τοὺς ἐχθρούς του παρὰ νὰ συμβιβάζεται μαζί τους. Διότι τὸ νὰ ἀνταποδίδῃ

γὰρ ἀνταποδιδόναι δίκαιον, τὸ δὲ δίκαιον καλόν, καὶ ἀνδρείου τὸ μὴ ἡττᾶσθαι. Καὶ νίκη καὶ τιμὴ τῶν καλῶν· αἱρετά τε γὰρ ἄκαρπα ὄντα, καὶ ὑπεροχὴν ἀρετῆς δηλοῖ. Καὶ τὰ μνημονευτά, καὶ τὰ μᾶλλον μᾶλλον. Καὶ ἃ μὴ ζῶντι ἕπεται, καὶ οἷς τιμὴ ἀκολουθεῖ, καὶ τὰ περιττά, καὶ τὰ μόνῳ ὑπάρχοντα καλλίω· εὐμνημονευτότερα γάρ. Καὶ κτήματα ἄκαρπα· ἐλευθεριώτερα γάρ. Καὶ τὰ παρ' ἑκάστοις δὲ ἴδια καλά, καὶ ὅσα σημεῖά ἐστιν τῶν παρ' ἑκάστοις ἐπαινουμένων, οἷον ἐν Λακεδαίμονι κομᾶν καλόν· ἐλευθέρου γὰρ σημεῖον· οὐ γάρ ἐστιν κομῶντα ῥάδιον οὐδὲν ποιεῖν ἔργον θητικόν. Καὶ τὸ μηδεμίαν ἐργάζεσθαι βάναυσον τέχνην· ἐλευθέρου γὰρ τὸ μὴ πρὸς ἄλλον ζῆν. Ληπτέον δὲ καὶ τὰ σύνεγγυς τοῖς ὑπάρχουσιν ὡς ταὐτὰ ὄντα καὶ πρὸς ἔπαινον καὶ πρὸς ψόγον, οἷον τὸν εὐλαβῆ ψυχρὸν καὶ ἐπίβουλον καὶ τὸν ἠλίθιον χρηστὸν ἢ τὸν ἀνάλγητον πρᾶον, καὶ ἕκαστον δ' ἐκ τῶν παρακολουθούντων ἀεὶ κατὰ τὸ βέλτιστον, οἷον τὸν ὀργίλον καὶ τὸν μανικὸν ἁπλοῦν καὶ
1367b *τὸν αὐθάδη μεγαλοπρεπῆ καὶ σεμνόν, καὶ τοὺς ἐν ταῖς ὑπερβολαῖς ὡς ἐν ταῖς ἀρεταῖς ὄντας, οἷον τὸν θρασὺν ἀνδρεῖον καὶ τὸν ἄσωτον ἐλευθέριον· δόξει τε γὰρ τοῖς πολλοῖς, καὶ ἅμα παραλογιστικὸν ἐκ τῆς αἰτίας. Εἰ γὰρ οὗ μὴ ἀνάγκη*

---

1. Ἐνῷ κατὰ τὸν Ἀριστοτέλην ἡ ἀρετὴ εὑρίσκεται εἰς τὸ μέσον (in medio stat virtus).

κανεὶς ὅσα ἔπαθε εἶναι δίκαιον. Ἀλλὰ τὸ δίκαιον εἶναι ὡραῖον, καὶ ὁ ἀνδρεῖος δὲν ὑφίσταται ἥττας.

Ὡραῖα πράγματα εἶναι ἡ νίκη καὶ αἱ τιμαί. Διότι τὰς ἐπιδιώκομεν καὶ ὅταν ἀκόμη δὲν ἔχωμεν νὰ ὠφεληθῶμεν τίποτε ἀπ' αὐτὰς καὶ μαρτυροῦν ὅτι ἡ ἀρετή μας εἶναι μεγαλυτέρα. Ἐπίσης ὡραῖα εἶναι ἐκεῖνα ποὺ μνημονεύονται καὶ κατόπιν. Καὶ ὅσα μνημονεύονται περισσότερον, εἶναι ὡραιότερα. Ἐπίσης ἐκεῖνα ποὺ ἀπονέμονται μετὰ θάνατον καὶ ὅσα συνοδεύονται ἀπὸ ἰδιαιτέρας τιμάς. Ἀκόμη δὲ τὰ πλουσιοπάροχα. Καὶ ἐκεῖνα ποὺ ἀπονέμονται μόνον εἰς ἕνα εἶναι ὡραιότερα. Διότι αὐτὰ μνημονεύονται εὐκολώτερα. Ἐπίσης τὰ κτήματα ποὺ δὲν ἀποδίδουν εἰσόδημα. Διότι αὐτὰ ἀποδεικνύουν μεγαλυτέραν ἀνιδιοτέλειαν.

Ὡραῖα εἶναι ὅσα συνηθίζονται εἰς κάθε τόπον καὶ ὅσα φανερώνουν τὰς ἰδιότητας ποὺ ἐπαινοῦνται εἰς κάθε τόπον. Ἔτσι εἰς τὴν Λακεδαίμονα τὸ νὰ ἔχῃ κανεὶς μακριὰ μαλλιὰ θεωρεῖται ὡραῖον, διότι φανερώνει ὅτι εἶναι ἐλεύθερος. Καὶ πραγματικά, δὲν εἶναι εὔκολον, ἐκεῖνος ποὺ ἔχει μακριὰ μαλλιά, νὰ ἐκτελῇ ἔργα δούλου.

Ὡραῖον ἐπίσης εἶναι τὸ νὰ μὴ ἀσκῇ κανεὶς βάναυσον ἐπιτήδευμα. Διότι εἰς τὸν ἐλεύθερον ἄνθρωπον δὲν ταιριάζει νὰ ζῇ ἐξαρτώμενος ἀπὸ τοὺς ἄλλους.

Διὰ νὰ ἐπαινέσωμεν ἢ νὰ κατηγορήσωμεν, πρέπει νὰ παίρνωμεν τὰς παραπλησίας ἰδιότητας καὶ νὰ παριστάνωμεν ὅτι ταυτίζονται μὲ ἐκείνας ποὺ πραγματικὰ ὑπάρχουν. Ἔτσι τὸν ντροπαλὸν ἠμποροῦμεν νὰ τὸν παραστήσωμεν ὡς ψυχρὸν ἢ ὡς ὕπουλον, τὸν ἠλίθιον ὡς καλὸν ἄνθρωπον, τὸν ἀναίσθητον ὡς πρᾶον.

Ἀπὸ κάθε χαρακτῆρα πρέπει νὰ διαλέγωμεν ἐκεῖνο τὸ ἰδιαίτερον γνώρισμα ποὺ τὸν παρακολουθεῖ καὶ νὰ τὸ ἑρμηνεύωμεν κατὰ τὸν τρόπον ποὺ περισσότερον μᾶς συμφέρει. Ἔτσι τὸν ὀργίλον καὶ μανιώδη ἄνθρωπον θὰ τὸν παρουσιάζωμεν ὡς μονοκόμματον. Τὸν αὐθάδη ὡς μεγαλοπρεπῆ καὶ ἐπιβλητικόν. Τοὺς ἀνθρώπους τῶν ἄκρων, ὅτι εὑρίσκονται μέσα στὰ ὅρια τῆς ἀρετῆς [1], καὶ ἔτσι ὁ θρασὺς θὰ ἐμφανίζεται ὡς ἀνδρεῖος καὶ ὁ ἄσωτος ὡς ἐλευθέριος. Καί, ὅταν ἔτσι τοποθετηθοῦν τὰ ζητήματα, οἱ πολλοὶ θὰ τὰ παραδεχθοῦν ὡς ἀληθινά. Ἐξ ἄλλου ἡ αἰτία ποὺ θὰ ἐξετάζεται (εἰς τὸν πανηγυρικὸν λόγον) θὰ δώσῃ μεγαλυτέραν δύναμιν εἰς αὐτὸν τὸν παραλογισμόν. Καὶ πραγματικά, ἂν ὁ τάδε ἀψηφᾷ τοὺς κινδύνους καὶ τότε ποὺ δὲν εἶναι ἀνάγκη, θὰ κριθῇ

κινδυνευτικός, πολλῷ μᾶλλον ἂν δόξειεν ὅπου καλόν, καὶ εἰ προετικὸς τοῖς τυχοῦσι, καὶ τοῖς φίλοις· ὑπερβολὴ γὰρ ἀρετῆς τὸ πάντας εὖ ποιεῖν. Σκοπεῖν δὲ καὶ παρ' οἷς ὁ ἔπαινος· ὥσπερ γὰρ ὁ Σωκράτης ἔλεγεν, οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν. Δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον ὂν λέγειν ὡς ὑπάρχει, οἷον ἐν Σκύθαις ἢ Λάκωσιν ἢ φιλοσόφοις. Καὶ ὅλως δὲ τὸ τίμιον ἄγειν εἰς τὸ καλόν, ἐπείπερ γε δοκεῖ γειτνιᾶν. Καὶ ὅσα κατὰ τὸ προσῆκον, οἷον εἰ ἄξια τῶν προγόνων καὶ τῶν προϋπηργμένων. Εὐδαιμονικὸν γὰρ καὶ καλὸν καὶ τὸ προσεπικτᾶσθαι τιμήν. Καὶ εἰ παρὰ τὸ προσῆκον δὲ ἐπὶ τὸ βέλτιον καὶ τὸ κάλλιον, οἷον εἰ εὐτυχῶν μὲν μέτριος ἀτυχῶν δὲ μεγαλόψυχος, ἢ μείζων γιγνόμενος βελτίων καὶ καταλλακτικώτερος. Τοιοῦτον δὲ τὸ τοῦ Ἰφικράτους, ἐξ οἵων εἰς οἷα, καὶ τὸ τοῦ ὀλυμπιονίκου

πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν,

καὶ τὸ τοῦ Σιμωνίδου

ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων.

Ἐπεὶ δ' ἐκ τῶν πράξεων ὁ ἔπαινος, ἴδιον δὲ τοῦ σπουδαίου τὸ κατὰ προαίρεσιν, πειρατέον δεικνύναι πράττοντα

1. Πλάτωνος «Μενέξενος» 235d.
2. Βλ. καὶ ἀνωτέρω, κεφ. 7 ἐδ. 32.
3. Ἐπιτύμβιον ἐπίγραμμα εἰς τὸν τάφον τῆς Ἀρχεδίκης, ἐγγόνης τοῦ Πεισιστράτου, κόρης τοῦ Ἱππίου καὶ συζύγου τοῦ Αἰαντίδου, τυράννου τῆς Λαμψάκου.

ὅτι, φυσικά, πολὺ περισσότερον θὰ τοὺς ἀψηφήσῃ ὅταν πρέπῃ. Καὶ ἂν πάλιν σκορπίζῃ τὰ λεπτά του στὸν καθένα, θὰ συμπεράνῃ ὁ καθεὶς ὅτι καὶ τοὺς φίλους του τοὺς εὐεργετεῖ. Διότι τὸ νὰ εὐεργετῇ κανεὶς ὅλον τὸν κόσμον εἶναι ὁ ὑψηλότερος βαθμὸς τῆς ἀρετῆς.

Πρέπει ἐπίσης ὁ ρήτωρ νὰ ἔχῃ πάντοτε ὑπ' ὄψιν του ἐμπρὸς σὲ ποίους ἀπαγγέλλει τοὺς ἐπαίνους του. Πραγματικά, ὅπως ἔλεγεν ὁ Σωκράτης, «δὲν εἶναι δύσκολον πρᾶγμα νὰ ἐπαινῇ κανεὶς τοὺς Ἀθηναίους ἐμπρὸς στοὺς Ἀθηναίους»[1]. Πρέπει λοιπὸν νὰ παριστάνῃ ὅτι συμβαίνει ἐκεῖνο ποὺ ἐκτιμᾶται ἀπὸ τὸ ἀκροατήριόν του, δηλ. ἐκεῖνο ποὺ ἐκτιμοῦν οἱ Σκύθαι, ἢ οἱ Λακεδαιμόνιοι, ἢ οἱ φιλόσοφοι (ἀναλόγως τοῦ ἂν ἀπευθύνεται εἰς Σκύθας, εἰς Λακεδαιμονίους, εἰς φιλοσόφους). Καί, γενικά, νὰ παρουσιάζῃ ὡς ὡραῖον ἐκεῖνο ποὺ ἐκτιμᾶται ἀπὸ τοὺς ἀκροατάς του. Διότι τὸ ὡραῖον καὶ ἐκεῖνο ποὺ ἐκτιμᾶται θεωροῦνται ὅτι συγγενεύουν.

Πρέπει ἀκόμη νὰ ἔχῃ ὑπ' ὄψιν του καὶ ὅσα εἶναι πρεπούμενα. Ἔτσι, νὰ ἐξετάζῃ ἂν τὰ πράγματα ποὺ ἐκθέτει, εἶναι ἄξια τῶν προγόνων ἢ ἀνάλογα πρὸς τὰς πράξεις ποὺ προτήτερα ἐπραγματοποιήθησαν. Διότι αὐταὶ αἱ πράξεις προσθέτουν νέαν δόξαν, καὶ τοῦτο εἶναι μεγάλο καὶ λαμπρὸν εὐτύχημα. Ἀκόμη, νὰ ἔχουν ὑπ' ὄψιν των οἱ ρήτορες, ἄν, ἀνεξάρτητα ἀπὸ τὸ πρέπον, ἡ πρᾶξις ποὺ ἀποτελεῖ τὸ ἀντικείμενον τοῦ ἐπαίνου ὑψώνεται σὲ ἀνώτερον βαθμὸν ἀρετῆς καὶ ὡραιότητος. Ἔτσι ἐκεῖνος ποὺ ὅταν εὐτυχῇ εἶναι μετριοπαθής, ἢ ἐκεῖνος ποὺ καὶ μέσα εἰς τὴν ἀτυχίαν του εἶναι μεγαλόψυχος. Ἢ ἐκεῖνος πού, ἐνῷ ἀνέβηκε κοινωνικῶς, ἔγινε περισσότερον εὐπροσήγορος καὶ διαλλακτικώτερος. Αὐτὴν τὴν σημασίαν ἔχει ἡ φράσις τοῦ Ἰφικράτους

«Ἀπὸ ποῦ ξεκίνησα, καὶ ποῦ ἔφθασα!»,

καθὼς καὶ ὁ στίχος τοῦ Ὀλυμπιονίκου

«Πρῶτα, φορτωμένος μιὰ βαρειὰ χαμαλίκα»[2],

καὶ ἀκόμη ὁ στίχος τοῦ Σιμωνίδου

«Αὐτὴ ποὺ εἶχε πατέρα, ἀδέλφια καὶ ἄνδρα τυράννους»[3].

Ἀλλ' ἐπειδὴ ὁ ἔπαινος βάσιν ἔχει τὰς πράξεις ποὺ ἐξετελέσθησαν, καὶ χαρακτηριστικὸν τοῦ σοβαροῦ ἀνθρώπου εἶναι τὸ νὰ ἐνεργῇ σύμφωνα μὲ τὸ πρόγραμμα ποὺ προηγουμένως ἐχάραξε, πρέπει ὁ ρήτωρ νὰ προσπαθῇ νὰ ἀποδείξῃ ὅτι ἐκεῖνος ποὺ ἐγκωμιάζεται ἐνήργησε σύμφωνα μὲ τὰ σχέ-

κατὰ προαίρεσιν. Χρήσιμον δὲ τὸ πολλάκις φαίνεσθαι πεπραχότα. Διὸ καὶ τὰ συμπτώματα καὶ τὰ ἀπὸ τύχης ὡς ἐν προαιρέσει ληπτέον· ἂν γὰρ πολλὰ καὶ ὅμοια προφέρηται, σημεῖον ἀρετῆς εἶναι δόξει καὶ προαιρέσεως.

Ἔστιν δ' ἔπαινος λόγος ἐμφανίζων μέγεθος ἀρετῆς. Δεῖ οὖν τὰς πράξεις ἐπιδεικνύναι ὡς τοιαῦται. Τὸ δ' ἐγκώμιον τῶν ἔργων ἐστίν, (τὰ δὲ κύκλῳ εἰς πίστιν, οἷον εὐγένεια καὶ παιδεία· εἰκὸς γὰρ ἐξ ἀγαθῶν ἀγαθοὺς καὶ τὸν οὕτω τραφέντα τοιοῦτον εἶναι). Διὸ καὶ ἐγκωμιάζομεν πράξαντας. Τὰ δ' ἔργα σημεῖα τῆς ἕξεως ἐστίν, ἐπεὶ ἐπαινοῖμεν ἂν καὶ μὴ πεπραγότα, εἰ πιστεύοιμεν εἶναι τοιοῦτον. Μακαρισμὸς δὲ καὶ εὐδαιμονισμὸς αὐτοῖς μὲν ταὐτά, τούτοις δ' οὐ ταὐτά, ἀλλ' ὥσπερ ἡ εὐδαιμονία τὴν ἀρετήν, καὶ ὁ εὐδαιμονισμὸς περιέχει ταῦτα.

Ἔχει δὲ κοινὸν εἶδος ὁ ἔπαινος καὶ αἱ συμβουλαί. Ἃ γὰρ ἐν τῷ συμβουλεύειν ὑπόθοιο ἄν, ταῦτα μετατεθέντα τῇ
1368a *λέξει ἐγκώμια γίγνεται. Ἐπεὶ οὖν ἔχομεν ἃ δεῖ πράττειν καὶ ποῖόν τινα εἶναι δεῖ, ταῦτα ὡς ὑποθήκας λέγοντας τῇ λέξει μετατιθέναι δεῖ καὶ στρέφειν, οἷον ὅτι οὐ δεῖ μέγα φρονεῖν ἐπὶ τοῖς διὰ τύχην ἀλλὰ τοῖς δι' αὐτόν. Οὕτω μὲν οὖν λεχθὲν ὑποθήκην δύναται, ὡδὶ δ' ἔπαινον, μέγα φρο-*

---

1. Βλ. καὶ τὸ ἑξῆς ἀπόσπασμα ἀπὸ τὰ «Ἠθικὰ Νικομάχεια»: «Μακαρίζομεν καὶ καλοτυχίζομεν τοὺς θεούς. Μακαρίζομεν ἐπίσης τοὺς θειοτέρους ἀνθρώπους. Καὶ τὸ ἴδιο συμβαίνει γενικὰ καὶ διὰ τοὺς εὐτυχεῖς ἀνθρώπους. Πράγματι, δὲν ἐπαινεῖ οὔτε ἐγκωμιάζει κανεὶς τὴν εὐτυχίαν, ὅπως ἐγκωμιάζει τὴν δικαιοσύνην. Ἁπλῶς μακαρίζει τὸν εὐτυχῆ, ὡσὰν νὰ πρόκειται περὶ ἀνωτέρου, θείου, ὄντος».

2. Ὁ πανηγυρικὸς καὶ ὁ πολιτικὸς λόγος.

3. Ἀπὸ ὅσα ἐξετέθησαν εἰς τὰ προηγούμενα κεφάλαια περὶ τοῦ πολιτικοῦ λόγου.

διά του. Πρὸς τὸν σκοπὸν αὐτὸν χρήσιμον εἶναι νὰ τὸν παρουσιάζῃ ὅτι κατ' ἐπανάληψιν ἔκαμεν ὁμοίας πράξεις. Γι' αὐτὸ καὶ αἱ πράξεις του, ποὺ κατὰ σύμπτωσιν ἢ ἐκ τύχης συνέβησαν, πρέπει νὰ ἐμφανίζωνται ὅτι ἐκ προθέσεως ἐτελέσθησαν. Διότι ἂν τοῦ ἀποδώσωμεν μίαν μακρὰν σειρὰν ὁμοίων πράξεων, αὐτὸ θὰ φανῇ ὡς ἀπόδειξις τῆς ἀρετῆς του καὶ τοῦ ὅτι ἐκ προθέσεως ἔκαμεν ἐκεῖνα ποὺ ἐπαινοῦμεν.

Ἔπαινος εἶναι ὁ (ρητορικὸς) λόγος ποὺ ὑπογραμμίζει τὸ μέγεθος μιᾶς ἀρετῆς. Πρέπει λοιπὸν νὰ παρουσιάζωνται αἱ πράξεις (ἐκείνου ποὺ ἐπαινεῖται) ὡς ἔχουσαι αὐτὴν τὴν ἰδιότητα. Τὸ ἐγκώμιον ἀφορᾷ ὡρισμένα ἔργα. Προσθέτομεν ὅμως καὶ ὅτι ἄλλο στοιχεῖον ἠμπορεῖ νὰ κάμῃ τὸν λόγον μας περισσότερον πιστευτόν. Ἔτσι, ἀναφέρομεν τὴν εὐγενῆ καταγωγὴν καὶ τὴν καλὴν ἀνατροφήν, διότι εἶναι φυσικόν, ἐκεῖνος ποὺ κατάγεται ἀπὸ καλοὺς προγόνους, νὰ εἶναι καὶ ὁ ἴδιος καλός, καθὼς καὶ νὰ ἔχῃ κανεὶς ἐκείνας τὰς ἰδιότητας ποὺ τοῦ ἐδόθησαν κατὰ τὴν ἀνατροφήν του. Γι' αὐτὸ καὶ ἐπαινοῦμεν (συνήθως) ἐκείνους ποὺ ἔχουν παρουσιάσει κάποιαν δρᾶσιν. Ἡ δρᾶσις ὅμως δὲν εἶναι παρὰ μία ἐξωτερίκευσις τοῦ χαρακτῆρος. Καὶ ἔτσι θὰ ἦτο δυνατὸν νὰ κάμωμεν ἐπαινετικοὺς λόγους καὶ δι' ἐκείνους ποὺ δὲν ἔχουν παρουσιάσει καμμίαν δρᾶσιν, ἂν εἴμεθα πεπεισμένοι ὅτι εἶναι ἱκανοὶ νὰ ἐκτελέσουν πράξεις ἀξίας ἐπαίνου.

Τὸ νὰ μακαρίζωμεν ἢ νὰ καλοτυχίζωμεν κάποιον, εἶναι ἕνα καὶ τὸ αὐτὸ πρᾶγμα. Διαφέρουν δὲ αὐτὰ τὰ δύο ἀπὸ τὸ ἐγκώμιον καὶ τὸν ἔπαινον. Πράγματι, ὅπως ἡ εὐτυχία περιέχει τὴν ἀρετήν, τὸ καλοτύχισμα περιέχει τὸν ἔπαινον καὶ τὸ ἐγκώμιον [1].

Ὁ ἔπαινος καὶ ἡ συμβουλὴ [2] συγγενεύουν μεταξύ των. Πράγματι, ἐκεῖνα ποὺ θὰ συνεβούλευεν ὁ πολιτικὸς ρήτωρ διὰ τὸ μέλλον, ἂν μετατεθοῦν χρονικῶς καὶ τοποθετηθοῦν εἰς τὸ παρελθόν, γίνονται ἐγκωμιαστικὸς λόγος.

Ἀφοῦ λοιπὸν ἔχομεν ὑπ' ὄψιν μας τί πρέπει νὰ πράττῃ κανεὶς καὶ ποίας ἰδιότητας νὰ ἔχῃ [3], αὐτὰ τὰ ἴδια, ὅταν ἀλλάξωμεν καὶ ἀντιστρέψωμεν τὴν φράσιν μας, ἀπὸ συμβουλαὶ γίνονται ἔπαινοι. Ἔτσι, ἔχομεν ὑπ' ὄψιν μας, παραδείγματος χάριν, τὴν ἔννοιαν ὅτι δὲν πρέπει κανεὶς νὰ τὸ παίρνῃ ἐπάνω του δι' ὅσα ὀφείλονται εἰς τὴν τύχην, ἀλλὰ μόνον δι' ὅσα ὀφείλονται εἰς τὸν ἑαυτόν του. Ὅταν τὸ διατυπώσωμεν μὲ τὸν ἀνωτέρω τρόπον, ἔχομεν συμβουλήν. Ἡ ἰδία ὅμως ἔννοια γίνεται ἐγκώμιον, ἂν τὴν διατυπώσωμεν ἔτσι :

νῶν οὐ τοῖς διὰ τύχην [ὑπάρχουσιν] ἀλλὰ τοῖς δι' αὑτόν. Ὥστε ὅταν ἐπαινεῖν βούλῃ, ὅρα τί ἂν ὑπόθοιο, καὶ ὅταν ὑποθέσθαι, ὅρα τί ἂν ἐπαινέσειας. Ἡ δὲ λέξις ἔσται ἀντικειμένη ἐξ ἀνάγκης, ὅταν τὸ μὲν κωλῦον τὸ δὲ μὴ κωλῦον μετατεθῇ.

Χρηστέον δὲ καὶ τῶν αὐξητικῶν πολλοῖς, οἷον εἰ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων ἢ καὶ [ὁ] μάλιστα πεποίηκεν· ἅπαντα γὰρ ταῦτα καλά. Καὶ τὰ ἐκ τῶν χρόνων καὶ τῶν καιρῶν· ταῦτα δὲ παρὰ τὸ προσῆκον. Καὶ εἰ πολλάκις τὸ αὐτὸ κατώρθωκεν· μέγα γάρ, καὶ οὐκ ἀπὸ τύχης ἀλλὰ δι' αὐτὸν ἂν δόξειεν. Καὶ εἰ τὰ προτρέποντα καὶ τιμῶντα διὰ τοῦτον εὕρηται καὶ κατεσκευάσθη. Καὶ εἰς ὃν πρῶτον ἐγκώμιον ἐποιήθη, οἷον εἰς Ἱππόλοχον, καὶ ⟨δι'⟩ Ἁρμόδιον καὶ Ἀριστογείτονα τὸ ἐν ἀγορᾷ σταθῆναι. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐναντίων. Κἂν μὴ καθ' αὐτὸν εὐπορῇς, πρὸς ἄλλους ἀντιπαραβάλλειν, ὅπερ ὁ Ἰσοκράτης ἐποίει διὰ τὴν ἀσυνήθειαν τοῦ δικολογεῖν. Δεῖ δὲ πρὸς ἐνδόξους συγκρίνειν· αὐξητικὸν γὰρ καὶ καλόν, εἰ σπουδαίων βελτίων. Πίπτει δ' εὐλόγως ἡ αὔξησις εἰς τοὺς ἐπαίνους· ἐν ὑπεροχῇ γάρ ἐστιν, ἡ δ' ὑπεροχὴ τῶν καλῶν. Διὸ κἂν μὴ πρὸς τοὺς ἐνδόξους, ἀλλὰ πρὸς τοὺς ἄλλους δεῖ παραβάλλειν, ἐπείπερ

---

1. Μεταφράζω εἰς τὸ σημεῖον αὐτὸ ἐλευθέρως, διότι δὲν εἶναι ἐφικτὴ διαφορετικὴ διατύπωσις εἰς τὴν νεοελληνικήν.

2. Ὁ Ἱππόλοχος εἶναι ἐντελῶς ἄγνωστον πρόσωπον. Οἱ κριτικοὶ προέτειναν τὴν διόρθωσιν, ἄλλοι εἰς Ἀντίλοχον (τὸν υἱὸν τοῦ Νέστορος) καὶ ἄλλοι εἰς Ἱππόλυτον (τὸν υἱὸν τοῦ Θησέως)

3. Δηλ. τὸν ψόγον.

«ὁ τάδε δὲν τὸ παίρνει ἐπάνω του δι' ὅσα ὀφείλονται εἰς τὴν τύχην, μόνον δι' ἐκεῖνα ποὺ ὀφείλονται εἰς τὸν ἑαυτόν του». Ὥστε, ὅταν θέλῃς νὰ ἐπαινέσῃς, σκέψου τί θὰ συνεβούλευες, καὶ ὅταν θέλῃς νὰ συμβουλεύσῃς, σκέψου τί θὰ ἐπαινοῦσες.

Ὁ λόγος ὅμως ἀναγκαστικὰ θὰ διατυπωθῇ μὲ ἀντίθετον νόημα, ὅταν πρόκειται τυχὸν νὰ συμβουλεύσῃ κανεὶς ἐκεῖνο ποὺ δὲν θὰ ἐπαινοῦσε, ἢ νὰ ἐπαινέσῃ ἐκεῖνο ποὺ δὲν θὰ συνεβούλευε [1].

Πρέπει ἐπίσης νὰ γίνεται μεγάλη χρῆσις καὶ ὅλων ἐκείνων τῶν ἰδιαιτέρων περιστάσεων ποὺ δίδουν μεγαλυτέραν σπουδαιότητα εἰς τὴν πρᾶξιν ποὺ ἐπαινεῖται. Ἔτσι, νὰ ἀναφέρεται ἂν μόνος, ἢ πρῶτος, ἢ μὲ ὀλίγους μόνον βοηθούς, ἢ ἐπιτυχέστερα ἀπὸ κάθε ἄλλον, ἐξετέλεσε τὴν πρᾶξιν ποὺ ἐπαινεῖται. Διότι ὅλα αὐτὰ εἶναι ὡραῖα πράγματα. Ἐπίσης νὰ λαμβάνῃ ὑπ' ὄψιν τὸν καιρὸν καὶ τὰς περιστάσεις, καθὼς καὶ τὸ ἂν ἡ πρᾶξις ποὺ ἐξετελέσθη ὑπερέβαινε τὸ στενῶς ἐννοούμενον καθῆκον. Δὲν πρέπει νὰ παραλείπῃ ἀκόμη νὰ ἐκθέτῃ ἂν πολλάκις ἐπανέλαβε τὸ ἴδιο κατόρθωμα. Διότι αὐτὸ ἔχει μεγάλην σημασίαν. Θὰ φανῇ πράγματι τότε ὅτι τὸ κατόρθωμα ἐκεῖνο δὲν ὀφείλεται εἰς τὴν τύχην, ἀλλ' εἰς αὐτὸν τὸν ἴδιον. Καὶ ἂν πρὸς χάριν του εὑρέθησαν καὶ καθιερώθησαν αἱ ἐνθαρρύνσεις καὶ αἱ τιμαί. Ἢ ἂν δι' αὐτὸν πρῶτον ἔγινεν ἐγκώμιον, ὅπως, παραδείγματος χάριν, διὰ τὸν Ἱππόλοχον [2], τὸν Ἁρμόδιον καὶ τὸν Ἀριστογείτονα, ποὺ πρὸς τιμήν των διὰ πρώτην φορὰν ἐστήθησαν οἱ ἀνδριάντες των εἰς τὴν ἀγοράν. Μὲ ἀνάλογον δὲ τρόπον πρέπει ὁ ρήτωρ νὰ χειρίζεται καὶ τὰ ἀντίθετα θέματα [3]. Καὶ ὅταν τὸ θέμα εἶναι πτωχόν, νὰ κάμνῃ ὁ ρήτωρ καὶ συγκρίσεις τοῦ ἐπαινουμένου πρὸς ἄλλα πρόσωπα. Αὐτὸ ἔκαμνε καὶ ὁ Ἰσοκράτης, ἐπειδὴ δὲν ἦτο συνηθισμένος νὰ ἐμφανίζεται καὶ ν' ἀγορεύῃ εἰς τὰ δικαστήρια. Πρέπει δέ, ἐκεῖνον ποὺ ἐπαινοῦμεν, νὰ τὸν παραλληλίζωμεν μὲ ἔνδοξα πρόσωπα. Διότι ἔτσι τὸν ἐξαίρομεν καὶ τὸν λαμπρύνομεν, ὅταν παραστήσωμεν ὅτι ὑπερέχει σπουδαίων ἀνθρώπων.

Ἡ μεγαλοποίησις ἔχει λόγον ὑπάρξεως, ὅταν πρόκειται περὶ ἐπαίνων. Διότι μὲ αὐτὸν τὸν τρόπον ἠμποροῦμεν νὰ δείξωμεν κατὰ τί ὑπερέχει ὁ ἐπαινούμενος. Καὶ ἡ ὑπεροχὴ εἶναι ὡραῖον πρᾶγμα. Καὶ γι' αὐτό, ὅταν δὲν εἶναι δυνατὸν νὰ συγκρίνωμεν τὸν ἐπαινούμενον πρὸς ἔνδοξα πρόσωπα, πρέπει νὰ τὸν παραλληλίζωμεν ἔστω καὶ πρὸς τοὺς κοινοὺς

ἡ ὑπεροχὴ δοκεῖ μηνύειν ἀρετήν. Ὅλως δὲ τῶν κοινῶν εἰδῶν ἅπασι τοῖς λόγοις ἡ μὲν αὔξησις ἐπιτηδειοτάτη τοῖς ἐπιδεικτικοῖς· τὰς γὰρ πράξεις ὁμολογουμένας λαμβάνουσιν, ὥστε λοιπὸν μέγεθος περιθεῖναι καὶ κάλλος· τὰ δὲ παραδείγματα τοῖς συμβουλευτικοῖς· ἐκ γὰρ τῶν προγεγονότων τὰ μέλλοντα καταμαντευόμενοι κρίνομεν· τὰ δ' ἐνθυμήματα τοῖς δικανικοῖς· αἰτίαν γὰρ καὶ ἀπόδειξιν μάλιστα δέχεται τὸ γεγονὸς διὰ τὸ ἀσαφές. Ἐκ τίνων μὲν οὖν οἱ ἔπαινοι καὶ οἱ ψόγοι λέγονται σχεδὸν πάντες, καὶ πρὸς ποῖα δεῖ βλέποντας ἐπαινεῖν καὶ ψέγειν, καὶ ἐκ τίνων τὰ ἐγκώμια γίγνεται καὶ τὰ ὀνείδη, ταῦτ' ἐστίν· ἐχομένων γὰρ τούτων τὰ ἐναντία τούτοις φανερά· ὁ γὰρ ψόγος ἐκ τῶν ἐναντίων ἐστίν.

1368 b **10.** *Περὶ δὲ κατηγορίας καὶ ἀπολογίας, ἐκ πόσων καὶ ποίων ποιεῖσθαι δεῖ τοὺς συλλογισμούς, ἐχόμενον ἂν εἴη λέγειν. Δεῖ δὴ λαβεῖν τρία, ἓν μὲν τίνων καὶ πόσων ἕνεκα ἀδικοῦσι, δεύτερον δὲ πῶς αὐτοὶ διακείμενοι, τρίτον δὲ τοὺς ποίους καὶ πῶς ἔχοντας. Διορισάμενοι οὖν τὸ ἀδικεῖν λέγωμεν ἑξῆς.*

Ἔστω δὴ τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα παρὰ τὸν νόμον. Νόμος δ' ἐστὶν ὁ μὲν ἴδιος ὁ δὲ κοινός· λέγω δὲ ἴδιον μὲν καθ' ὃν γεγραμμένον πολιτεύονται, κοινὸν δὲ ὅσα ἄγραφα παρὰ πᾶσιν ὁμολογεῖσθαι δοκεῖ. Ἑκόντες δὲ ποιοῦσιν ὅσα εἰδότες καὶ μὴ ἀναγκαζόμενοι. Ὅσα μὲν οὖν ἑκόντες,

---

1. Προτιμῶμεν αὐτὴν τὴν ἀπόδοσιν τοῦ ἴ δ ι ο ς καὶ κ ο ι ν ό ς. Ἔτσι ἀφ' ἑνὸς μὲν ἀνταποκρινόμεθα εἰς τὴν καθιερωμένην σήμερον ὁρολογίαν καὶ ἀφ' ἑτέρου ὑποδεικνύομεν τὴν συμβολὴν καὶ τὰς γνώμας τοῦ Ἀριστοτέλους ἐπὶ τοῦ μεγάλου καὶ ἀλύτου προβλήματος τοῦ ἂν ὑπάρχῃ ἢ ὄχι καὶ ἄλλο δίκαιον, ἐκτὸς ἀπὸ τὸ θετόν.

ἀνθρώπους, ἀφοῦ ἡ ὑπεροχὴ θεωρεῖται ὡς δεῖγμα ἀρετῆς.

Γενικὰ δέ, μεταξὺ τῶν διαφόρων μεθόδων ποὺ εἶναι κοιναὶ εἰς ὅλα τὰ εἴδη τοῦ λόγου, ἡ μὲν μεγαλοποίησις ἰδιαιτέρως ταιριάζει εἰς τὸν πανηγυρικόν. Διότι ὁ πανηγυρικὸς λόγος ἐξετάζει πράξεις ποὺ ὁμολογουμένως ἔχουν συντελεσθῆ, καὶ δὲν μένει παρὰ ν' ἀναπτύξωμεν τὸ μεγαλεῖον καὶ τὴν ὡραιότητά των. Τὰ παραδείγματα πάλιν ταιριάζουν περισσότερον εἰς τοὺς πολιτικοὺς λόγους. Διότι, πράγματι, ἀπὸ ἐκεῖνα ποὺ ἔχουν γίνει ἕως τώρα, συνάγομεν συμπεράσματα καὶ ἐκ τῶν προτέρων σχηματίζομεν κρίσεις καὶ διὰ τὸ μέλλον. Τέλος δὲ τὰ ἐνθυμήματα ταιριάζουν εἰς τοὺς δικανικοὺς λόγους. Διότι ἐκεῖ πρόκειται περὶ πράξεων ποὺ ἀνάγονται εἰς τὸ παρελθόν, ἀλλ' ἐπειδὴ εἶναι σκοτειναὶ καὶ ἀμφισβητοῦνται, ἔχουν ἀνάγκην αἰτιολογίας καὶ ἀποδείξεως.

Ἰδοὺ λοιπὸν ἀπὸ ποῖα στοιχεῖα συγκροτοῦνται ὅλα σχεδὸν τὰ εἴδη ἐπαίνου καὶ ψόγου, καὶ τί πρέπει νὰ ἔχῃ ὑπ' ὄψιν του ἐκεῖνος ποὺ ἐπαινεῖ ἢ ψέγει, καθὼς καὶ ποῖα αἴτια ἠμποροῦν νὰ δώσουν ἀφορμὴν εἰς ἐγκώμια ἢ εἰς ὀνειδισμούς. Καὶ πράγματι, ἐκεῖνος ποὺ κατέχει ὅσα ἐξετέθησαν, βλέπει φανερὰ καὶ τὴν ἀντίθετον πλευράν. Ὁ δὲ ψόγος συγκροτεῖται ἀκριβῶς ἀπὸ τὰ ἀντίθετα ἐπιχειρήματα.

10. ΠΕΡΙ ΤΟΥ ΔΙΚΑΝΙΚΟΥ ΛΟΓΟΥ

Καὶ τώρα, συνεχίζοντες, θὰ ἐξετάσωμεν τὴν φύσιν καὶ τὸν ἀριθμὸν τῶν προτάσεων ποὺ πρέπει νὰ ἀποτελοῦν τοὺς συλλογισμούς μας, ὅταν συνθέτωμεν κατηγορίαν ἢ ἀπολογίαν.

Πρέπει δὲ νὰ ἐξετάσωμεν τρία σημεῖα. Πρῶτα πρῶτα τὰ αἴτια καὶ τὰ εἴδη τῶν ἀδικημάτων, ἔπειτα τὴν ψυχικὴν κατάστασιν εἰς τὴν ὁποίαν εὑρίσκονται ἐκεῖνοι ποὺ ἀδικοῦν, καὶ τρίτον ποίου εἴδους ἀνθρώπους ἀδικοῦν καὶ ὑπὸ ποίας συνθήκας εὑρισκομένους.

Πρὶν προχωρήσωμεν ὅμως εἰς αὐτά, ἂς δώσωμεν τὸν ὁρισμὸν τοῦ ἀδικήματος. Ἀδίκημα εἶναι ἡ βλάβη ποὺ θεληματικὰ προξενοῦμεν εἰς κάποιον ἄλλον, παρὰ τὸν νόμον. Ὁ νόμος δὲ εἶναι ἢ θετὸς ἢ φυσικός [1]. Ὀνομάζω δὲ θετὸν μὲν νόμον ἐκεῖνον ποὺ εἶναι διατυπωμένος γραπτῶς καὶ ὑπαγορεύει τὴν διαγωγὴν τῶν ὑπηκόων κάθε πολιτείας, φυσικὸν δὲ ἐκεῖνον ποὺ φαίνεται πὼς ἀναγνωρίζεται ἀπὸ ὅλους, ἂν καὶ δὲν εἶναι πουθενὰ γραμμένος. Κάμνομεν κάτι θεληματικά, ὅταν ξαίρωμε τί κάμνομεν καὶ δὲν μᾶς ἐξαναγκάζῃ κανεὶς εἰς τοῦτο. Ἐκεῖνο ποὺ κάμνομεν θεληματικά, δὲν τὸ κάμνομεν

οὐ πάντα προαιρούμενοι, ὅσα δὲ προαιρούμενοι, εἰδότες ἅπαντα· οὐδεὶς γὰρ ὃ προαιρεῖται ἀγνοεῖ. Δι' ἃ δὲ προαιροῦνται βλάπτειν καὶ φαῦλα ποιεῖν παρὰ τὸν νόμον, κακία ἐστὶν καὶ ἀκρασία· ἐὰν γάρ τινες ἔχωσιν μοχθηρίαν ἢ μίαν ἢ πλείους, περὶ δὲ τοῦτο ὃ μοχθηροὶ τυγχάνουσιν ὄντες, καὶ ἄδικοί εἰσιν, οἷον ὁ μὲν ἀνελεύθερος περὶ χρήματα, ὁ δ' ἀκόλαστος περὶ τὰς τοῦ σώματος ἡδονάς, ὁ δὲ μαλακὸς περὶ τὰ ῥάθυμα, ὁ δὲ δειλὸς περὶ τοὺς κινδύνους· (τοὺς γὰρ συγκινδυνεύοντας ἐγκαταλιμπάνουσι διὰ τὸν φόβον), ὁ δὲ φιλότιμος διὰ τιμήν, ὁ δ' ὀξύθυμος δι' ὀργήν, ὁ δὲ φιλόνικος διὰ νίκην, ὁ πικρὸς δὲ διὰ τιμωρίαν, ὁ δ' ἄφρων διὰ τὸ ἀπατᾶσθαι περὶ τὸ δίκαιον καὶ ἄδικον, ὁ δ' ἀναίσχυντος δι' ὀλιγωρίαν δόξης. Ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστος περὶ ἕκαστον τῶν ὑποκειμένων.

Ἀλλὰ περὶ μὲν τούτων δῆλον, τὰ μὲν ἐκ τῶν περὶ τὰς ἀρετὰς εἰρημένων, τὰ δ' ἐκ τῶν περὶ τὰ πάθη ῥηθησομένων· λοιπὸν δ' εἰπεῖν τίνος ἕνεκα καὶ πῶς ἔχοντες ἀδικοῦσι καὶ τίνας. Πρῶτον μὲν οὖν διελώμεθα τίνων ὀρεγόμενοι καὶ ποῖα φεύγοντες ἐγχειροῦσιν ἀδικεῖν· δῆλον γὰρ ὡς τῷ μὲν κατηγοροῦντι πόσα καὶ ποῖα τούτων ὑπάρχει τῷ ἀντιδίκῳ σκεπτέον, ὧν ἐφιέμενοι πάντες τοὺς πλησίον ἀδικοῦσι, τῷ δὲ ἀπολογουμένῳ ποῖα καὶ πόσα τούτων οὐχ ὑπάρχει. Πάντες δὴ πάντα πράττουσι τὰ μὲν οὐ δι' αὑτοὺς τὰ δὲ δι' αὑτούς. Τῶν μὲν οὖν μὴ δι' αὑτοὺς τὰ μὲν διὰ τύχην πράττουσι τὰ δ' ἐξ ἀνάγκης, τῶν δ' ἐξ ἀνάγκης τὰ μὲν βίᾳ τὰ

---

1. Πρὸς τὴν ἀλητείαν καὶ τὴν ἐπαιτείαν, ὅπως θὰ ἔλεγεν ὁ σημερινὸς ποινικολόγος.
2. Αὐτὸ εἶναι τὸ θέμα τῶν κεφ. 1 - 17 τοῦ Β' βιβλίου.

πάντοτε ἐκ προμελέτης. Ὅ,τι ὅμως κάμνομεν ἐκ προμελέτης, τὸ ξαίρομε καλά. Καὶ πράγματι, κανεὶς δὲν ἀγνοεῖ ἐκεῖνο ποὺ προμελετᾶ νὰ πράξῃ.

Τὸ ἐλατήριον ποὺ δημιουργεῖ τὴν πρόθεσίν μας νὰ βλάπτωμεν τοὺς ἄλλους καὶ νὰ κάμνωμεν τὸ κακόν, παρὰ τοὺς νόμους, εἶναι ἡ κακία καὶ ἡ ἔλλειψις αὐτοκυριαρχίας. Πράγματι, ἂν κάποιος ἔχῃ ἓν ἢ περισσότερα ἐλαττώματα, κάμνει ἀδικήματα ἀντίστοιχα πρὸς τὸ ἐλάττωμα ἢ τὰ ἐλαττώματά του. Ἔτσι ὁ φιλάργυρος κάμνει περιουσιακὰ ἀδικήματα, ὁ ἀκόλαστος ἀδικήματα κατὰ τῶν ἠθῶν, ὁ μαλθακὸς ῥέπει πρὸς τὰ ἀδικήματα ποὺ διευκολύνουν τὴν ὀκνηρίαν [1], ὁ δειλὸς ῥέπει πρὸς τὰ ἀδικήματα ποὺ ἀπομακρύνουν τὸν κίνδυνον (διότι ἐγκαταλείπει ἐκείνους ποὺ τὸν συντροφεύουν εἰς τὸν κίνδυνον, ἐξ αἰτίας τοῦ φόβου ποὺ αἰσθάνεται), ὁ φίλος τῶν τιμῶν κάμνει τὰ ἀδικήματα ποὺ ἠμποροῦν νὰ τὸν βοηθήσουν ν' ἀποκτήσῃ τιμάς, ὁ ὀξύθυμος ἐγκληματεῖ ἐπάνω στὸν θυμόν του, ὁ φίλος τῆς νίκης διὰ νὰ νικήσῃ, ὁ ἐκδικητικὸς διὰ νὰ ἐκδικηθῇ, ὁ ἀνόητος διότι δὲν ἠμπορεῖ νὰ διακρίνῃ τί εἶναι δίκαιον καὶ τί εἶναι ἄδικον, καὶ ὁ ἀδιάντροπος διότι δὲν τὸν ἐνδιαφέρει ποίαν γνώμην θὰ σχηματίσῃ ὁ κόσμος δι' αὐτόν. Καὶ κατὰ τὸν ἴδιον τρόπον καὶ ὅλοι οἱ ἄλλοι ποὺ ἔχουν ἐλαττώματα, κάμνουν ἀδικήματα ἀντίστοιχα πρὸς τὰ ἐλαττώματά των.

Ὁλόκληρον ὅμως αὐτὸ τὸ ζήτημα εὔκολα ἠμποροῦμεν νὰ τὸ ἀντιληφθῶμεν, εἴτε ἀπὸ ὅσα ἐξεθέσαμεν ἕως τώρα διὰ τὰς ἀρετάς, εἴτε ἀπὸ ὅσα θὰ ἐκθέσωμεν ἀργότερα διὰ τὰ ἀνθρώπινα πάθη [2], μένει δὲ νὰ ἐξετάσωμεν διατὶ κάμνει κανεὶς ἀδικήματα, ὑπὸ ποίας συνθήκας εὑρίσκεται, καὶ ἐναντίον τίνων τὰ ἐκτελεῖ.

Καὶ πρῶτα πρῶτα πρέπει νὰ κάμωμεν διάκρισιν μεταξὺ τῶν αἰτίων ποὺ μᾶς ὠθοῦν, καὶ τῶν δυσχερειῶν ποὺ ἐπιθυμοῦμεν ν' ἀποφύγωμεν, ὅταν ἐπιχειρῶμεν νὰ διαπράξωμεν ἕνα ἀδίκημα. Καὶ πράγματι, εἶναι φανερὸν ὅτι τοῦ μὲν κατηγόρου ἔργον εἶναι νὰ ἐξετάσῃ πόσα καὶ ποῖα ἐλατήρια εἶχεν ὁ ἀντίδικός του, ἀπὸ ἐκεῖνα ποὺ ἡ ἐπιδίωξίς των σπρώχνει τὸν καθένα εἰς τὸ νὰ διαπράξῃ ἀδίκημα, ἔργον δὲ ἐκείνου ποὺ ἀπολογεῖται εἶναι τὸ ν' ἀποδείξῃ τὴν ἔλλειψιν ἐλατηρίων αὐτοῦ τοῦ εἴδους.

Ὅλαι αἱ ἀνθρώπιναι πράξεις ὀφείλονται εἴτε εἰς ἐξωτερικὰ αἴτια, εἴτε εἰς τὴν θέλησιν ἐκείνου ποὺ τὰς ἐκτελεῖ. Αἱ πράξεις τῆς πρώτης κατηγορίας ὀφείλονται ἄλλοτε μὲν εἰς τὴν τύχην, ἄλλοτε δὲ εἰς τὴν ἀνάγκην. Καὶ πάλιν αἱ πράξεις ποὺ ὀφείλονται εἰς τὴν ἀνάγκην διαιροῦνται εἰς ἐκεί-

δὲ φύσει, ὥστε πάντα ὅσα μὴ δι᾿ αὐτοὺς πράττουσι, τὰ μὲν ἀπὸ τύχης τὰ δὲ φύσει τὰ δὲ βίᾳ. Ὅσα δὲ δι᾿ αὐτούς, καὶ **1369 a** *ὧν αὐτοὶ αἴτιοι, τὰ μὲν δι᾿ ἔθος τὰ δὲ δι᾿ ὄρεξιν τὰ μὲν διὰ λογιστικὴν ὄρεξιν τὰ δὲ δι᾿ ἄλογον· ἔστιν δ᾿ ἡ μὲν βούλησις ἀγαθοῦ ὄρεξις· (οὐδεὶς γὰρ βούλεται ἀλλ᾿ ἢ ὅταν οἰηθῇ εἶναι ἀγαθόν), ἄλογοι δ᾿ ὀρέξεις ὀργὴ καὶ ἐπιθυμία, ὥστε πάντα ὅσα πράττουσιν ἀνάγκη πράττειν δι᾿ αἰτίας ἑπτά, διὰ τύχην, διὰ φύσιν, διὰ βίαν, δι᾿ ἔθος, διὰ λογισμόν, διὰ θυμόν, δι᾿ ἐπιθυμίαν. Τὸ δὲ προσδιαιρεῖσθαι καθ᾿ ἡλικίαν ἢ ἕξεις ἢ ἄλλ᾿ ἄττα τὰ πραττόμενα περίεργον· εἰ γὰρ συμβέβηκεν τοῖς νέοις ὀργίλοις εἶναι ἢ ἐπιθυμητικοῖς, οὐ διὰ τὴν νεότητα πράττουσι τὰ τοιαῦτα ἀλλὰ δι᾿ ὀργὴν καὶ ἐπιθυμίαν. Οὐδὲ διὰ πλοῦτον καὶ πενίαν, ἀλλὰ συμβέβηκε τοῖς μὲν πένησι διὰ τὴν ἔνδειαν ἐπιθυμεῖν χρημάτων, τοῖς δὲ πλουσίοις διὰ τὴν ἐξουσίαν ἐπιθυμεῖν τῶν μὴ ἀναγκαίων ἡδονῶν· ἀλλὰ πράξουσι καὶ οὗτοι οὐ διὰ πλοῦτον καὶ πενίαν ἀλλὰ διὰ τὴν ἐπιθυμίαν. Ὁμοίως δὲ καὶ οἱ δίκαιοι καὶ οἱ ἄδικοι, καὶ οἱ ἄλλοι οἱ λεγόμενοι κατὰ τὰς ἕξεις πράττειν, διὰ ταῦτα πράξουσιν· ἢ γὰρ διὰ λογισμὸν ἢ διὰ πάθος· ἀλλ᾿ οἱ μὲν διὰ ἤθη καὶ πάθη χρηστά, οἱ δὲ διὰ τἀναντία. Συμβαίνει μέντοι ταῖς μὲν τοιαύταις ἕξεσι τὰ τοιαῦτα ἀκολουθεῖν, ταῖς δὲ τοιαῖσδε τὰ τοιάδε· εὐθὺς γὰρ ἴσως τῷ μὲν σώφρονι διὰ τὸ σώφρονα εἶναι δόξαι τε καὶ*

νας πού διὰ τῆς βίας ὑποχρεώνεται κανεὶς νὰ ἐκτελέσῃ, καὶ εἰς ἐκείνας πού ἐπιβάλλονται ἀπὸ τοὺς φυσικοὺς νόμους. Ὥστε γενικὰ αἱ πράξεις πού δὲν προέρχονται ἀπὸ τὴν θέλησιν ἐκείνου πού τὰς ἐκτελεῖ, ἠμποροῦν νὰ διαιρεθοῦν εἰς τυχαίας, εἰς πράξεις πού ἐπιβάλλονται ἀπὸ τοὺς φυσικοὺς νόμους, καὶ εἰς πράξεις πού διὰ τῆς βίας ὑποχρεωνόμεθα νὰ ἐκτελέσωμεν. Αἱ πράξεις πάλιν πού ὀφείλονται εἰς τὴν ἄμεσον θέλησιν ἐκείνου πού τὰς ἐκτελεῖ, ἄλλαι ἔχουν ὡς ἀφορμὴν τὴν συνήθειαν καὶ ἄλλαι τὴν ἐπιθυμίαν. Ἡ δὲ ἐπιθυμία ἄλλοτε μὲν εἶναι λογικευμένη, ἄλλοτε δὲ παράλογος.

Θέλησις εἶναι ἡ λογικευμένη ἐπιθυμία ἑνὸς καλοῦ (πράγματι κανεὶς δὲν θέλει παρὰ ἐκεῖνο πού νομίζει πὼς εἶναι καλόν). Παράλογοι δὲ ἐπιθυμίαι εἶναι ὁ θυμὸς καὶ τὸ πάθος. Ἑπομένως ὅλαι αἱ πράξεις τῶν ἀνθρώπων ἀνάγονται κατ' ἀνάγκην εἰς ἑπτὰ αἰτίας, τὴν τύχην, τὴν φύσιν, τὴν βίαν, τὴν συνήθειαν, τὴν λογικευμένην θέλησιν, τὸν θυμόν, τὸ πάθος.

Τὸ νὰ προχωρήσωμεν περισσότερον, διαιροῦντες τὰς ἀνθρωπίνας πράξεις ἀνάλογα πρὸς τὴν ἡλικίαν, ἢ τὰς συνηθείας, ἢ ὑπὸ ἄλλην ἔποψιν, εἶναι ὅλους διόλου περιττόν. Πράγματι, ἂν συμβαίνῃ οἱ νέοι νὰ ἐνεργοῦν ὑπὸ τὴν ἐπίδρασιν τοῦ θυμοῦ ἢ τοῦ πάθους, δὲν πρέπει νὰ εἴπωμεν ὅτι αἱ πράξεις των ὀφείλονται εἰς τὴν ἡλικίαν των, ἀλλ' εἰς τὸν θυμὸν ἢ εἰς τὸ πάθος. Οὔτε ὅτι ὁ πλοῦτος ἢ ἡ φτώχεια εἶναι ἀφορμὴ διαφόρων πράξεων. Φυσικά, συμβαίνει οἱ μὲν πτωχοί, ἐπειδὴ τοὺς λείπουν τὰ χρήματα, νὰ τὰ ἐπιδιώκουν μὲ πάθος, οἱ δὲ πλούσιοι, ἐπειδὴ ἔχουν τὴν εὐχέρειαν νὰ τὰ ἀποκτήσουν, νὰ ἐπιδιώκουν μὲ πάθος τὰς περιττὰς ἡδονάς. Αἱ πράξεις των ὅμως δὲν πρέπει ν' ἀποδοθοῦν εἰς τὸν πλοῦτον ἢ εἰς τὴν φτώχεια των, ἀλλ' εἰς τὰ πάθη πού τοὺς κατέχουν. Κατὰ τὸν ἴδιον τρόπον, οἱ δίκαιοι καὶ οἱ ἄδικοι ἄνθρωποι, ὅλοι οἱ ἄλλοι πού λέγεται ὅτι κάμνουν τοῦτο ἢ ἐκεῖνο διότι ἔτσι εἶναι συνηθισμένοι, πραγματικὰ ἐλατήρια τῶν πράξεών των ἔχουν, οἱ μὲν πρῶτοι τὴν λογικευμένην θέλησιν, οἱ δὲ ἄλλοι τὸ πάθος των. Καὶ ἀπ' αὐτοὺς πάλιν, ἄλλοι ὁδηγοῦνται ἀπὸ χαρακτῆρας καὶ πάθη χρηστά ἄλλοι δὲ ἀπὸ τὰ ἀντίθετα.

Ἐν τούτοις συμβαίνει ὡρισμένου εἴδους συνήθειαι νὰ ἔχουν ὡς ἐπακολούθημα ὡρισμένας πράξεις, καὶ πάλιν ἄλλαι συνήθειαι ἄλλου εἴδους πράξεις. Ἔτσι ὁ ἐγκρατὴς ἄνθρωπος, ἀκριβῶς ἐξαιτίας τῆς ἐγκρατείας του, εἶναι φυσι-

ἐπιθυμίαι χρησταὶ ἐπακολουθοῦσι περὶ τῶν ἡδέων, τῷ δ' ἀκολάστῳ αἱ ἐναντίαι περὶ τῶν αὐτῶν τούτων. Διὸ τὰς μὲν τοιαύτας διαιρέσεις ἐατέον, σκεπτέον δὲ ποῖα ποίοις εἴωθεν ἕπεσθαι· εἰ μὲν γὰρ λευκὸς ἢ μέλας ἢ μέγας ἢ μικρός, οὐδὲν τέτακται τῶν τοιούτων ἀκολουθεῖν, εἰ δὲ νέος ἢ πρεσβύτης ἢ δίκαιος ἢ ἄδικος, ἤδη διαφέρει. Καὶ ὅλως ὅσα τῶν συμβαινόντων ποιεῖ διαφέρειν τὰ ἤθη τῶν ἀνθρώπων, οἷον πλουτεῖν δοκῶν ἑαυτῷ ἢ πένεσθαι διοίσει τι, καὶ εὐτυχεῖν ἢ ἀτυχεῖν. Ταῦτα μὲν οὖν ὕστερον (II, 12—17) *ἐροῦμεν, νῦν δὲ περὶ τῶν λοιπῶν εἴπωμεν πρῶτον.*

Ἔστι δ' ἀπὸ τύχης μὲν τὰ τοιαῦτα γιγνόμενα, ὅσων ἥ τε αἰτία ἀόριστος καὶ μὴ ἕνεκά του γίγνεται καὶ μήτε ἀεὶ μήτε ὡς ἐπὶ τὸ πολὺ μήτε τεταγμένως· δῆλον δ' ἐκ τοῦ ὁρισμοῦ τῆς τύχης περὶ τούτων. Φύσει δὲ ὅσων ἥ τ' αἰτία
1369 b *ἐν αὐτοῖς καὶ τεταγμένη· ἢ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ ὡσαύτως ἀποβαίνει. Τὰ γὰρ παρὰ φύσιν οὐδὲν δεῖ ἀκριβολογεῖσθαι, πότερα κατὰ φύσιν τινὰ ἢ ἄλλην αἰτίαν γίγνεται· δόξειε δ' ἂν καὶ ἡ τύχη αἰτία εἶναι τῶν τοιούτων. Βίᾳ δὲ ὅσα παρ' ἐπιθυμίαν ἢ τοὺς λογισμοὺς γίγνεται δι' αὐτῶν τῶν πραττόντων. Ἔθει δὲ ὅ,τι διὰ τὸ πολλάκις πεποιηκέναι ποιοῦσιν. Διὰ λογισμὸν δὲ τὰ δοκοῦντα συμφέρειν ἐκ τῶν εἰρημένων ἀγαθῶν ἢ ὡς τέλος ἢ ὡς πρὸς τὸ τέλος, ὅταν διὰ τὸ συμφέρειν πράττηται· ἔνια γὰρ καὶ οἱ ἀκόλαστοι συμ-*

---

1. «Φυσικὰ» βιβλ. Β'.

κὸν ἀμέσως νὰ σχηματίσῃ γνώμας καὶ ἐπιθυμίας χρηστάς, σχετικὰ πρὸς ὡρισμένας ἡδονάς, ἐνῷ ὁ ἀκόλαστος ἄνθρωπος, ἐξ ἀφορμῆς τῶν ἰδίων ἡδονῶν, νὰ σχηματίσῃ τὰς ἀντιθέτους γνώμας καὶ ἐπιθυμίας.

Γι' αὐτὸ πρέπει ν' ἀφήσωμεν κατὰ μέρος αὐτὰς τὰς διακρίσεις καὶ νὰ ἐξετάσωμεν ποίου εἴδους πράξεις συνήθως προέρχονται ἀπὸ τοὺς διαφόρους χαρακτῆρας τῶν ἀνθρώπων. Πράγματι, τὸ ἂν κάποιος εἶναι ἄσπρος ἢ μαῦρος, ψηλὸς ἢ κοντός, δὲν ἔχει καμμίαν συνέπειαν ἀπ' αὐτὰς ποὺ ἀποτελοῦν τὸ θέμα μας. Ἂν ὅμως εἶναι νέος ἢ γέρος, ἢ δίκαιος ἢ ἄδικος, αὐτὸ εἶναι ἐκεῖνο ποὺ μᾶς ἐνδιαφέρει. Καὶ γενικὰ ὅλαι αἱ συνθῆκαι ποὺ ἐπιδροῦν ἐπάνω εἰς τὰ ἤθη τῶν ἀνθρώπων. Ἔτσι τὸ νὰ νομίζῃ κανεὶς τὸν ἑαυτόν του πλούσιον ἢ πτωχόν, τυχηρὸν ἢ ἄτυχον, ἀσκεῖ ἐπίδρασιν ἐπάνω εἰς τὰς πράξεις του. Ἀλλὰ περὶ ὅλων αὐτῶν θὰ ὁμιλήσωμεν κατόπιν. Τώρα δὲ ἂς ἐξετάσωμεν ὅσα ἀφήσαμεν.

Τυχαῖαι πράξεις εἶναι ὅλαι ἐκεῖναι ποὺ ἡ αἰτία των εἶναι ἀκαθόριστος καὶ δὲν γίνονται πρὸς ὡρισμένον σκοπόν, καὶ δὲν συμβαίνουν οὔτε πάντοτε, οὔτε συνήθως, ὑπὸ κανονικὰς συνθήκας. Αὐτὸ δὲ τὸ σημεῖον γίνεται πρόδηλον ἀπὸ τὸν ὁρισμὸν ποὺ ἐδώσαμεν περὶ τῆς τύχης [1].

Εἰς τὴν φύσιν ὀφείλονται ἐκεῖναι αἱ πράξεις ποὺ περιέχουν μέσα των τὴν αἰτιολογίαν των καὶ προκύπτουν ὑπὸ κανονικὰς συνθήκας. Πράγματι δέ, ἢ πάντοτε ἢ συνήθως συμβαίνουν κατὰ τὸν ἴδιον τρόπον. Ἐκεῖνα δὲ ποὺ δὲν γίνονται σύμφωνα μὲ τοὺς φυσικοὺς νόμους, δὲν εἶναι ἀνάγκη νὰ ψιλολογοῦμε ἂν ὀφείλονται εἰς τὴν φύσιν ἢ ὄχι. Καὶ θὰ ἠμποροῦσε νὰ θεωρηθῇ ὡς αἰτία των μᾶλλον ἡ τύχη.

Εἰς τὴν βίαν ὀφείλονται αἱ πράξεις ἐκεῖναι ποὺ γίνονται παρὰ τὴν ἐπιθυμίαν καὶ τὴν λογικευμένην θέλησιν τῶν προσώπων ποὺ τὰς ἐκτελοῦν.

Εἰς τὴν συνήθειαν ὀφείλεται κάθε τι ποὺ κάμνομεν, ἐπειδὴ πολλὲς φορὲς τὸ ἔχομεν ξανακάμει.

Εἰς τὴν λογικευμένην θέλησίν μας ὀφείλονται ἐκεῖναι αἱ πράξεις ποὺ φαίνονται εἰς αὐτὸν ποὺ τὰς ἐκτελεῖ ὠφέλιμοι, καὶ περιλαμβάνονται μεταξὺ ἐκείνων ποὺ ἀπηριθμήσαμεν ὡς καλάς, εἴτε διότι ἀποτελοῦν τελικὸν σκοπόν, εἴτε διότι μᾶς προσεγγίζουν πρὸς τὸν τελικὸν σκοπόν, καὶ τοῦτο, ὅταν ἐκτελῶνται διότι εἶναι ὠφέλιμοι. Διότι καὶ οἱ ἀκόλαστοι συμβαίνει νὰ ἐκτελέσουν κάποτε ὠφελίμους πράξεις.

φέροντα πράττουσιν, ἀλλ' οὐ διὰ τὸ συμφέρειν ἀλλὰ δι' ἡδονήν. Διὰ θυμὸν δὲ καὶ ὀργὴν τὰ τιμωρητικά. Διαφέρει δὲ τιμωρία καὶ κόλασις· ἡ μὲν γὰρ κόλασις τοῦ πάσχοντος ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ ποιοῦντος, ἵνα ἀποπληρωθῇ. Τί μὲν οὖν ἐστὶν ἡ ὀργή, δῆλον ἔσται ἐν τοῖς περὶ τῶν παθῶν (cf. II, 2), δι' ἐπιθυμίαν δὲ πράττεται ὅσα φαίνεται ἡδέα. Ἔστιν δὲ καὶ τὸ σύνηθες καὶ τὸ ἐθιστὸν ἐν τοῖς ἡδέσιν· πολλὰ γὰρ καὶ τῶν φύσει μὴ ἡδέων, ὅταν συνεθισθῶσιν, ἡδέως ποιοῦσιν. Ὥστε συλλαβόντι εἰπεῖν, ὅσα δι' αὑτοὺς πράττουσιν, ἅπαντ' ἐστὶν ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα ἢ φαινόμενα ἡδέα. Ἐπεὶ δ' ὅσα δι' αὑτούς, ἑκόντες πράττουσιν, οὐχ ἑκόντες δὲ ὅσα μὴ δι' αὑτούς, πάντ' ἂν εἴη, ὅσα ἑκόντες πράττουσιν, ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα ἢ φαινόμενα ἡδέα· τίθημι γὰρ καὶ τὴν τῶν κακῶν ἢ φαινομένων κακῶν ἢ ἀπαλλαγὴν ἢ ἀντὶ μείζονος ἐλάττονος μετάληψιν ἐν τοῖς ἀγαθοῖς (αἱρετὰ γάρ πως) καὶ τὴν τῶν λυπηρῶν ἢ φαινομένων ἢ ἀπαλλαγὴν ἢ μετάληψιν ἀντὶ μειζόνων ἐλαττόνων ἐν τοῖς ἡδέσιν ὡσαύτως. Ληπτέον ἄρα τὰ συμφέροντα καὶ ἡδέα, πόσα καὶ ποῖα. Περὶ μὲν οὖν τοῦ συμφέροντος ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον (I, 6), περὶ δὲ τοῦ ἡδέος εἴπωμεν νῦν. Δεῖ δὲ νομίζειν ἱκανοὺς εἶναι τοὺς ὅρους, ἐὰν ὦσι περὶ ἑκάστου μήτε ἀσαφεῖς μήτε ἀκριβεῖς.

---

1. Βιβλ. 2 κεφ. 2.
2. Δηλ. τὸ μικρότερον κακὸν ἀπὸ τὸ μεγαλύτερον κτλ.
3. Κεφ. 4, 6, 7 κτλ.

Δὲν τὰς ἐκτελοῦν ὅμως διότι εἶναι ὠφέλιμοι (καὶ συνεπῶς δὲν ὀφείλονται εἰς τὴν λογικευμένην θέλησίν των), ἀλλὰ χάριν τῆς ἡδονῆς.

Εἰς τὸν θυμὸν καὶ εἰς τὴν ὀργὴν ὀφείλονται αἱ πράξεις ἐκδικήσεως. Ἡ ἐκδίκησις διαφέρει ἀπὸ τὴν τιμωρίαν. Πράγματι, ὅταν ἐπιβάλλεται τιμωρία, ἔχομεν ὑπ' ὄψιν ἐκεῖνον ποὺ θὰ τὴν ὑποστῇ. Ἐνῷ ἡ ἐκδίκησις γίνεται πρὸς χάριν ἐκείνου ποὺ τὴν ἀσκεῖ, καὶ μὲ σκοπὸν νὰ ἱκανοποιηθῇ οὗτος. Τί πρᾶγμα δὲ εἶναι ἡ ὀργή, θὰ ἴδωμεν ὅταν φθάσωμεν εἰς τὸ μέρος ὅπου πραγματευόμεθα περὶ τῶν παθῶν [1].

Εἰς τὴν ἐπιθυμίαν ὀφείλονται αἱ πράξεις ποὺ μᾶς φαίνονται εὐχάριστοι. Ἀλλὰ καὶ κάθε πρᾶξις ποὺ ἀπὸ σύστημα ἢ συνήθειαν ἐμάθαμεν νὰ ἐκτελοῦμεν, καταλέγεται μεταξὺ τῶν εὐχαρίστων. Καὶ πράγματι, ὅταν συνηθίσωμεν, κάμνομεν εὐχαρίστως πολλὰ πράγματα ποὺ δὲν εἶναι ἐκ φύσεως εὐχάριστα. Καὶ ἔτσι, μὲ λίγα λόγια, ὅλαι αἱ πράξεις ποὺ ὀφείλονται ἄμεσα εἰς ἡμᾶς τοὺς ἰδίους, ἢ εἶναι καλαί, ἢ μᾶς φαίνονται καλαί, ἢ εἶναι εὐχάριστοι, ἢ μᾶς φαίνονται εὐχάριστοι. Καὶ ἐπειδὴ ἐκείνας τὰς πράξεις ποὺ ὀφείλονται ἄμεσα εἰς ἡμᾶς τοὺς ἰδίους, τὰς ἐκτελοῦμεν θεληματικά, παρὰ τὴν θέλησίν μας δὲ πράττομεν μόνον ἐκείνας ποὺ ὀφείλονται εἰς ἐξωτερικὰ ἐλατήρια, πρέπει νὰ καταλήξωμεν εἰς τὸ συμπέρασμα ὅτι, ὅλαι αἱ πράξεις ποὺ ἐκτελοῦμεν θεληματικά, ἢ εἶναι καλαί, ἢ φαίνονται καλαί, ἢ εἶναι εὐχάριστοι, ἢ φαίνονται εὐχάριστοι. Θεωρῶ δὲ ὡς καλὸν καὶ τὴν ἀπαλλαγήν μας ἀπὸ ὅ,τι εἶναι ἢ νομίζομεν ὅτι εἶναι κακόν, ἢ τὴν ἀντικατάστασιν ἑνὸς μεγαλυτέρου κακοῦ ἀπὸ ἕνα μικρότερον (διότι καὶ αὐτὰ εἶναι κατὰ κάποιον τρόπον πράγματα ποὺ πρέπει νὰ προτιμῶνται [2]), καθὼς ἐπίσης θεωρῶ ὡς εὐχάριστον καὶ τὴν ἀπαλλαγήν μας ἀπὸ ὅ,τι εἶναι ἢ νομίζομεν ὅτι εἶναι λυπηρὸν ἢ τὴν ἀντικατάστασιν ἑνὸς λυπηροτέρου ἀπὸ ἄλλο, ὀλιγώτερον λυπηρόν.

Πρέπει λοιπὸν νὰ ἐξετάσωμεν τὰ ὠφέλιμα καὶ τὰ εὐχάριστα πράγματα, τὰς ἰδιότητάς των καὶ τὸν ἀριθμόν των. Καὶ περὶ μὲν τῶν ὠφελίμων πραγμάτων ἔγινεν ἤδη λόγος εἰς τὸ περὶ πολιτικῶν λόγων μέρος τοῦ παρόντος ἔργου [3]. Ἂς ὁμιλήσωμεν λοιπὸν τώρα περὶ τῶν εὐχαρίστων. Οἱ δὲ ὁρισμοὶ ποὺ θὰ δώσωμεν πρέπει νὰ θεωρῶνται ἐπαρκεῖς, ὅταν, χωρὶς νὰ εἰσέρχωνται εἰς λεπτομερείας, δὲν εἶναι ἀσαφεῖς.

11. *Ὑποκείσθω δὴ ἡμῖν εἶναι τὴν ἡδονὴν κίνησίν τινα τῆς ψυχῆς καὶ κατάστασιν ἀθρόαν καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν, λύπην δὲ τοὐναντίον. Εἰ δή ἐστιν ἡδονὴ τὸ*
1370 a *τοιοῦτον, δῆλον ὅτι καὶ ἡδύ ἐστι τὸ ποιητικὸν τῆς εἰρημένης διαθέσεως, τὸ δὲ φθαρτικὸν ἢ τῆς ἐναντίας καταστάσεως ποιητικὸν λυπηρόν. Ἀνάγκη οὖν ἡδὺ εἶναι τό τε εἰς τὸ κατὰ φύσιν ἰέναι ὡς ἐπὶ τὸ πολύ, καὶ μάλιστα ὅταν ἀπειληφότα ᾖ τὴν ἑαυτῶν φύσιν τὰ κατ᾽ αὐτὴν γιγνόμενα, καὶ τὰ ἔθη· καὶ γὰρ τὸ εἰθισμένον ὥσπερ πεφυκὸς ἤδη γίγνεται· ὅμοιον γάρ τι τὸ ἔθος τῇ φύσει· ἐγγὺς γὰρ καὶ τὸ πολλάκις τῷ ἀεί, ἔστιν δ᾽ ἡ μὲν φύσις τοῦ ἀεί, τὸ δὲ ἔθος τοῦ πολλάκις. Καὶ τὸ μὴ βίαιον· παρὰ φύσιν γὰρ ἡ βία, διὸ τὸ ἀναγκαῖον λυπηρὸν καὶ ὀρθῶς εἴρηται*

πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ᾽ ἀνιαρὸν ἔφυ.

Τὰς δ᾽ ἐπιμελείας καὶ τὰς σπουδὰς καὶ τὰς συντονίας λυπηράς· ἀναγκαῖα γὰρ καὶ βίαια ταῦτα, ἐὰν μὴ ἐθισθῶσιν· οὕτω δὲ τὸ ἔθος ποιεῖ ἡδύ. Τὰ δ᾽ ἐναντία ἡδέα· διὸ αἱ ῥαθυμίαι καὶ αἱ ἀπονίαι καὶ αἱ ἀμέλειαι καὶ αἱ παιδιαὶ καὶ αἱ ἀναπαύσεις καὶ ὁ ὕπνος τῶν ἡδέων· οὐδὲν γὰρ πρὸς ἀνάγκην τούτων. Καὶ οὗ ἂν ἡ ἐπιθυμία ἐνῇ, καὶ ἅπαν ἡδύ· ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος ἐστὶν ὄρεξις. Τῶν δὲ ἐπιθυμιῶν αἱ μὲν ἄλογοί εἰσιν αἱ δὲ μετὰ λόγου. Λέγω δὲ ἀλόγους ὅσας μὴ ἐκ τοῦ ὑπολαμβάνειν ἐπιθυμοῦσιν· εἰσὶν δὲ τοιαῦται ὅσαι εἶναι λέγονται φύσει, ὥσπερ αἱ διὰ τοῦ σώματος ὑπάρχου-

---

1. Τὸν ἴδιον στίχον ἀναφέρει ὁ Ἀριστοτέλης καὶ εἰς τὸ «Μετὰ τὰ φυσικὰ» καὶ τὸν ἀποδίδει εἰς τὸν Εὔηνον. Πρβλ. ἐν τούτοις «Θέογνιν», στίχ. 472. Βλ. ἐπίσης καὶ σημείωσιν τοῦ L. Spengel, Ρητορική, τόμος 2ος, σελ. 159.

11. ΠΕΡΙ ΤΩΝ ΕΥΧΑΡΙΣΤΩΝ ΠΡΑΓΜΑΤΩΝ

Ἂς δεχθῶμεν ὅτι ἡδονὴ εἶναι μία κίνησις τῆς ψυχῆς καὶ ἡ ἐξαφνικὴ καὶ αἰσθητὴ ἀποκατάστασίς της εἰς τὴν πραγματικήν της φύσιν καὶ ὅτι τὸ ἀντίθετον τῆς ἡδονῆς εἶναι ἡ λύπη.

Ἂν ὅμως αὐτὸ τὸ πρᾶγμα εἶναι ἡ ἡδονή, τότε προφανῶς εὐχάριστον εἶναι ἐκεῖνο ποὺ δημιουργεῖ αὐτὴν τὴν ψυχικὴν διάθεσιν, ἐνῷ ἐκεῖνο ποὺ τὴν καταστρέφει, ἢ ποὺ δημιουργεῖ τὴν ἀντίθετον κατάστασιν, εἶναι λυπηρόν.

Κατ' ἀνάγκην λοιπὸν εὐχάριστον εἶναι συνήθως ἐκεῖνο ποὺ μᾶς φέρει εἰς μίαν κατάστασιν σύμφωνον πρὸς τὴν φύσιν καὶ μάλιστα τότε, ὅταν τὰ πράγματα γίνωνται σύμφωνα πρὸς ὡρισμένους φυσικοὺς νόμους. Εὐχάριστον ἐπίσης εἶναι καὶ ἐκεῖνο ποὺ γίνεται ἀπὸ συνήθειαν. Καὶ πράγματι, ἐκεῖνο ποὺ ἔχομεν συνηθίσει, μᾶς εἶναι σὰν φυσικόν. Καὶ ἡ συνήθεια ὁμοιάζει μὲ τὴν φύσιν. Διότι τὸ συχνὰ γειτονεύει πρὸς τὸ πάντοτε. Τὸ παντοτεινὸν εἶναι μία ἀπὸ τὰς ἰδιότητας τῆς φύσεως, τὸ δὲ συχνὸν εἶναι μία ἀπὸ τὰς ἰδιότας τῆς συνηθείας.

Εὐχάριστον εἶναι ἀκόμη ἐκεῖνο ποὺ δὲν ἀναγκαζόμεθα διὰ τῆς βίας νὰ πράξωμεν. Πράγματι, ἡ βία εἶναι ἀντίθετος πρὸς τὴν φύσιν. Καὶ γι' αὐτὸ ὅ,τι γίνεται κατ' ἀνάγκην μᾶς εἶναι δυσάρεστον, καὶ πολὺ ὀρθὰ ἔχει γραφῆ ὁ στίχος:

«Πόσο βαρετὸ εἶναι ἐκεῖνο ποὺ ὑποχρεωνόμεθα νὰ κάνουμε!» [1]

Οἱ ἔννοιες, αἱ φροντίδες καὶ αἱ ἐντατικαὶ προσπάθειαι εἶναι δυσάρεστα πράγματα. Διότι γίνονται ἀπὸ ἀνάγκην, ἢ ἐπειδὴ ἐξασκεῖται ἐπάνω μας βία. Ἐκτὸς ἂν εἴμεθα μαθημένοι εἰς αὐτά. Ἔτσι ἡ συνήθεια τὰς κάμνει εὐχαρίστους. Τὰ ἀντίθετά των ὅμως εἶναι πάντοτε εὐχάριστα. Ἔτσι, ἡ τεμπελιά, ἡ ἀργία, ἡ ξενοιασιά, τὰ παιγνίδια, ἡ ἀνάπαυσις καὶ ὁ ὕπνος εἶναι ἀπὸ τὰ εὐχάριστα πράγματα. Διότι κανεὶς δὲν καταναγκάζεται νὰ κάμῃ κάτι ἀπὸ ὅλα αὐτά.

Ἐπίσης εὐχάριστον εἶναι κάθε τι ποὺ ἐπιθυμοῦμεν μὲ πάθος. Διότι ἡ ἐπιθυμία δὲν εἶναι τίποτε ἄλλο παρὰ ὁ πόθος τῶν πραγμάτων ποὺ μᾶς εἶναι εὐχάριστα. Ἀπὸ τὰς ἐπιθυμίας μας ἄλλαι εἶναι παράλογοι καὶ ἄλλαι λογικαί. Ὀνομάζω παραλόγους ἐκείνας τὰς ἐπιθυμίας ποὺ αἰσθάνεται κανεὶς χωρὶς νὰ τὰς ἔχῃ δικαιολογήσει εἰς τὸν ἑαυτόν του μὲ τὴν λογικήν. Αὐτοῦ δὲ τοῦ εἴδους εἶναι ὅλαι αἱ ἐπιθυμίαι ποὺ ὀνομάζονται φυσικαί, ὅπως εἶναι ἐκεῖναι ποὺ προέρ-

σαι, οἷον ἡ τροφῆς δίψα καὶ πεῖνα, καὶ καθ' ἕκαστον εἶδος τροφῆς εἶδος ἐπιθυμίας, καὶ αἱ περὶ τὰ γευστὰ καὶ ἀφροδίσια καὶ ὅλως τὰ ἁπτά, καὶ περὶ ὀσμὴν [εὐωδίας] καὶ ἀκοὴν καὶ ὄψιν. Μετὰ λόγου δὲ ὅσα ἐκ τοῦ πεισθῆναι ἐπιθυμοῦσιν· πολλὰ γὰρ καὶ θεάσασθαι καὶ κτήσασθαι ἐπιθυμοῦσιν ἀκούσαντες καὶ πεισθέντες. Ἐπεὶ δ' ἐστὶν τὸ ἥδεσθαι ἐν τῷ αἰσθάνεσθαί τινος πάθους, ἡ δὲ φαντασία ἐστὶν αἴσθησίς τις ἀσθενής, κἀεὶ ἐν τῷ μεμνημένῳ καὶ τῷ ἐλπίζοντι ἀκολουθοῖ ἂν φαντασία τις οὗ μέμνηται ἢ ἐλπίζει. Εἰ δὴ τοῦτο, δῆλον ὅτι καὶ ἡδοναὶ ἅμα μεμνημένοις καὶ ἐλπίζουσιν, ἐπείπερ καὶ αἴσθησις. Ὥστ' ἀνάγκη πάντα τὰ ἡδέα ἢ ἐν τῷ αἰσθάνεσθαι εἶναι παρόντα ἢ ἐν τῷ μεμνῆσθαι γεγενημένα ἢ ἐν τῷ ἐλπίζειν μέλλοντα· αἰσθάνονται μὲν γὰρ τὰ παρόντα, μέμνηνται δὲ τὰ γενόμενα, ἐλπίζουσι δὲ τὰ μέλ-
1370 b *λοντα. Τὰ μὲν οὖν μνημονευτὰ ἡδέα ἐστὶν οὐ μόνον ὅσα ἐν τῷ παρόντι, ὅτε παρῆν, ἡδέα ἦν, ἀλλ' ἔνια καὶ οὐχ ἡδέα, ἂν ᾖ ὕστερον καλὸν καὶ ἀγαθὸν τὸ μετὰ τοῦτο· ὅθεν καὶ τοῦτ' εἴρηται,*

> *ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων,*

καὶ

> *μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ*
> *μνησάμενος ὅτε πολλὰ πάθῃ καὶ πολλὰ ἐόργῃ.*

Τούτου δ' αἴτιον ὅτι ἡδὺ καὶ τὸ μὴ ἔχειν κακόν. Τὰ δ' ἐν ἐλπίδι, ὅσα παρόντα ἢ εὐφραίνειν ἢ ὠφελεῖν φαίνεται με-

---

1. Στίχος τῆς «Ἀνδρομέδας», τραγῳδίας τοῦ Εὐριπίδου, ποὺ δὲν σώζεται ὁλόκληρη. Πρβλ. καὶ Βιργ. «Αἰνειάς» I, 203.

2. Ὀδύσσεια Ο, 400-401. (Μετάφρ. Ζησ. Σίδερη). Ὁ Ἀριστοτέλης παραθέτει τὸν στίχον ὑπὸ ἄλλην μορφήν. Εἰς τὸ Ὁμηρικὸν κείμενον εἶναι διατυπωμένος ἔτσι :

> Μετὰ γὰρ καὶ ἄλγεσι τέρπεται ἀνὴρ
> ὅστις δὴ μάλα πολλὰ πάθῃ καὶ πολλ' ἐπαληθῇ.

χονται ἀπὸ τὸ σῶμα μας, δηλ. ἡ δίψα καὶ ἡ πεῖνα, ποὺ προέρχονται (ἀπὸ τὴν ἀνάγκην τοῦ σώματός μας) νὰ τραφῇ, καθὼς καὶ ἡ ἰδιαιτέρα ἐπιθυμία ποὺ αἰσθανόμεθα διὰ τὸ κάθε εἶδος τροφῆς. Ἐπίσης αἱ ἐπιθυμίαι ποὺ προέρχονται (ἀπὸ τὰς αἰσθήσεις)· ἀπὸ τὴν γεῦσιν, ἀπὸ τὰς ἀφροδισίους ὁρμὰς καὶ γενικὰ ἀπὸ τὴν ἀφήν, ἀπὸ τὴν ὄσφρησιν καὶ τὴν ἀκοὴν καὶ τὴν ὅρασιν. Λογικὰς δὲ ἐπιθυμίας ὀνομάζω ἐκείνας ποὺ δοκιμάζει κανεὶς ὅταν πεισθῇ ὅτι ὡρισμένα πράγματα πρέπει νὰ τὰ ἐπιθυμῇ. Καὶ πράγματι, πολλὰ πράγματα ἐπιθυμεῖ κανεὶς νὰ τὰ ἰδῇ καὶ νὰ τ' ἀποκτήσῃ, ἀφοῦ ἀκούσῃ νὰ ὁμιλοῦν γι' αὐτὰ καὶ πεισθῇ ὅτι εἶναι ἐπιθυμητά.

Ἐπειδὴ ὅμως ἡ ἀπόλαυσις συνίσταται εἰς τὸ νὰ δοκιμάζῃ κανεὶς κάποιαν ἐντύπωσιν, καὶ ἡ φαντασία δὲ εἶναι καὶ αὐτὴ μία αἴσθησις ἀδύνατη, εἶναι δυνατὸν κάποτε καὶ ἐκεῖνος ποὺ θυμᾶται τὰ περασμένα ἢ ἐλπίζει κάτι διὰ τὸ μέλλον, νὰ ζωντανεύσῃ μὲ τὴν φαντασίαν του ἐκεῖνα ποὺ θυμᾶται ἢ ποὺ ἐλπίζει. Ἂν ὅμως αὐτὸ εἶναι ὀρθόν, τότε εἶναι φανερὸν ὅτι καὶ ἡ ἀνάμνησις καὶ ἡ ἐλπὶς εἶναι εὐχάριστα πράγματα, διότι ἀνήκουν εἰς τὴν αἴσθησιν.

Ὥστε ἀναγκαστικὰ ὅλα τὰ εὐχάριστα πράγματα ἢ ἀνάγονται εἰς τὸ παρόν, καὶ τὰ αἰσθανόμεθα, ἢ εἰς τὸ παρελθόν, καὶ τὰ ἐνθυμούμεθα, ἢ εἰς τὸ μέλλον, καὶ ἀποτελοῦν τὸ ἀντικείμενον τῶν ἐλπίδων μας. Πράγματι, αἰσθάνεται κανεὶς τὰ παρόντα, θυμᾶται τὰ περασμένα, ἐλπίζει δὲ τὰ μέλλοντα.

Ἀπὸ τὰ πράγματα ποὺ ἐνθυμούμεθα, εὐχάριστα δὲν εἶναι μόνον ὅσα ἦσαν εὐχάριστα καὶ τότε ποὺ συνέβησαν, ἀλλὰ καὶ πολλὰ ποὺ τότε μὲν δὲν ἦσαν εὐχάριστα, ἂν κατόπιν ἦλθαν ὡραῖα καὶ καλὰ ὅσα ἐπηκολούθησαν. Καὶ γι' αὐτὸ ἐγράφη ὁ στίχος

«Πόσο εὐχάριστο εἶναι, ὅταν σωθῇ κανείς, νὰ θυμᾶται ὅσα τράβηξε» [1],

καθὼς ἐπίσης καὶ

«Γιατὶ καθένας χαίρεται κατόπι καὶ στὶς πίκρες
ὅπου περάσει συμφορὲς καὶ ποὺ γυρίσει κόσμο» [1].

Αὐτὸ δὲ ὀφείλεται εἰς τὸ ὅτι εἶναι εὐχάριστον νὰ αἰσθανώμεθα πὼς ἔχομεν ἀπαλλαγῇ ἀπὸ τὸ κακόν.

Ἐκεῖνα ποὺ ἐλπίζομεν εἶναι εὐχάριστα ὅταν, ἂν πραγματοποιηθοῦν, μᾶς φαίνεται ὅτι θὰ μᾶς προξενήσουν μεγάλην χαρὰν ἢ ὠφέλειαν, καὶ ἡ ὠφέλεια αὐτὴ δὲν θὰ συνωδεύετο

γάλα, καὶ ἄνευ λύπης ὠφελεῖν. Ὅλως δὲ ὅσα παρόντα εὐφραίνει, καὶ ἐλπίζοντας καὶ μεμνημένους ὡς ἐπὶ τὸ πολύ. Διὸ καὶ τὸ ὀργίζεσθαι ἡδύ, ὥσπερ καὶ Ὅμηρος ἐποίησε περὶ τοῦ θυμοῦ

ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο·

οὐθεὶς γὰρ ὀργίζεται τῷ ἀδυνάτῳ φαινομένῳ τιμωρίας τυχεῖν, οὐδὲ τοῖς πολὺ ὑπὲρ αὐτοὺς τῇ δυνάμει ἢ οὐκ ὀργίζονται ἢ ἧττον. Καὶ ἐν ταῖς πλείσταις ἐπιθυμίαις ἀκολουθεῖ τις ἡδονή· ἢ γὰρ μεμνημένοι ὡς ἔτυχον ἢ ἐλπίζοντες ὡς τεύξονται χαίρουσίν τινα ἡδονήν, οἷον οἵ τ' ἐν τοῖς πυρετοῖς ἐχόμενοι ταῖς δίψαις καὶ μεμνημένοι ὡς ἔπιον καὶ ἐλπίζοντες πιεῖσθαι χαίρουσιν, καὶ οἱ ἐρῶντες καὶ διαλεγόμενοι καὶ γράφοντες καὶ ποιοῦντές τι ἀεὶ περὶ τοῦ ἐρωμένου χαίρουσιν· ἐν ἅπασι γὰρ τοῖς τοιούτοις μεμνημένοι οἷον αἰσθάνεσθαι οἴονται τοῦ ἐρωμένου. Καὶ ἀρχὴ δὲ τοῦ ἔρωτος αὕτη γίγνεται πᾶσιν, ὅταν μὴ μόνον παρόντος χαίρωσιν ἀλλὰ καὶ ἀπόντος μεμνημένοις [ἐρῶσιν] λύπη προσγένηται τῷ μὴ παρεῖναι, καὶ ἐν πένθεσι καὶ θρήνοις ὡσαύτως ἐπιγίγνεταί τις ἡδονή· ἡ μὲν γὰρ λύπη ἐπὶ τῷ μὴ ὑπάρχειν, ἡδονὴ δ' ἐν τῷ μεμνῆσθαι καὶ ὁρᾶν πως ἐκεῖνον καὶ ἃ ἔπραττεν καὶ οἷος ἦν, διὸ καὶ τοῦτ' εἰκότως εἴρηται

ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.

Καὶ τὸ τιμωρεῖσθαι ἡδύ. Οὗ γὰρ τὸ μὴ τυγχάνειν λυπηρόν, τὸ τυγχάνειν ἡδύ· οἱ δ' ὀργιζόμενοι λυποῦνται ἀνυπερβλή-

---

1. Ἰλιάδ. Σ, 108/9 (Μεταφ. Πολυλᾶ. Τὰ ἐπίθετα εἶναι στὸ θηλυκὸ γένος ἐπειδὴ ὁ Πολυλᾶς μεταφράζει τὸν θυμὸν χολήν).
2 Ἰλιάδ. Ψ, 108. (Μετάφρ. Α. Πάλλη). Ὁ ἴδιος στίχος καὶ εἰς τὴν Ὀδύσσειαν Δ, 183. Βλ. καὶ Ὀδυσ. Δ. 113.

ἀπὸ λύπην. Γενικὰ δέ, ἐκεῖνα ποὺ μᾶς εἶναι εὐχάριστα, τὸν καιρὸν ποὺ συμβαίνουν, εἶναι εὐχάριστα συνήθως καὶ ὅταν τὰ ἐλπίζωμεν καὶ ὅταν τὰ ἐνθυμούμεθα. Γι' αὐτὸ καὶ τὸ νὰ θυμώνῃ κανεὶς εἶναι εὐχάριστον καὶ ὁ Ὅμηρος ἔκαμε, σχετικὰ μὲ τὸν θυμόν, τὸν ἀκόλουθον στίχον

Καὶ μὲς στὰ στήθη χύνεται γλυκειὰ καὶ μελωμένη [1].

Καὶ ἀλήθεια, κανεὶς δὲν θυμώνει μὲ ἐκεῖνον ποὺ θεωρεῖ ὅτι δὲν μπορεῖ νὰ τὸν ἐκδικηθῇ. Ἀκόμη δὲ καὶ ἐναντίον ἐκείνων ποὺ ὑπερέχουν πολὺ ἀπὸ ἡμᾶς εἰς δύναμιν, ἢ δὲν θυμώνομεν καθόλου, ἢ πάντως θυμώνομεν ὀλιγώτερον.

Αἱ περισσότεραι ἐπιθυμίαι ἔχουν ὡς συνέπειαν τὴν ἡδονήν. Καὶ πράγματι, εἴτε ἡ ἀνάμνησις τῆς ἡδονῆς ποὺ ἐδοκίμασε κανείς, εἴτε ἡ ἐλπὶς τῆς ἡδονῆς ποὺ θὰ δοκιμάσῃ, τοῦ δίδουν κάποιαν ἡδονικὴν χαράν. Ἔτσι ὅσοι ἔχουν πυρετὸν καὶ ὑποφέρουν ἀπὸ δίψαν, δοκιμάζουν εὐχάριστον συναίσθημα καὶ διότι ἐνθυμοῦνται ὅτι ἤπιαν καὶ διότι ἐλπίζουν ὅτι θὰ ξαναπιοῦν.

Καὶ οἱ ἐρωτευμένοι αἰσθάνονται εὐχάριστον συναίσθημα μὲ τὸ νὰ περιστρέφωνται ὅλα τὰ λόγια των, καὶ ὅλα ὅσα γράφουν καὶ ὅλαι αἱ πράξεις των, γύρω ἀπὸ τὸ ἀγαπημένο των πρόσωπον. Καὶ πράγματι, μὲ ὅλα αὐτὰ ἐνθυμοῦνται τὸ ἀγαπημένον των πρόσωπον, καὶ νομίζουν ὅτι τὸ αἰσθάνονται, σὰν νὰ ἦτο παρόν. Αὐτὸ δὲ εἶναι τὸ χαρακτηριστικὸν τοῦ ἔρωτος. Δηλαδὴ οἱ ἐρωτευμένοι δοκιμάζουν εὐχάριστα συναισθήματα ὄχι μόνον ὅταν τὸ ἀντικείμενον τοῦ ἔρωτός των εἶναι παρόν, ἀλλὰ καὶ τότε ποὺ ἀπουσιάζει, μὲ τὴν ἀνάμνησίν του, ἐνῷ συγχρόνως αἰσθάνονται καὶ κάποιαν λύπην, διότι δὲν εἶναι παρόν.

Καὶ μέσα εἰς τὰ πένθη καὶ τοὺς θρήνους ἀκόμη γεννᾶται κάποιο εὐχάριστον συναίσθημα. Καὶ πράγματι, ἡ μὲν λύπη προέρχεται ἀπὸ τὴν στέρησιν. Ἀλλ' ὑπάρχει κάποια εὐχαρίστησις ὅταν ἐνθυμούμεθα τὸν φίλον ποὺ ἐχάσαμεν, καὶ ἀναπολοῦμεν καὶ αὐτὸν τὸν ἴδιον καὶ τὰς πράξεις του καὶ τὰς ψυχικάς του ἰδιότητας. Καὶ πολὺ σωστὸ εἶναι τὸ νόημα τοῦ ἀκολούθου στίχου:

«Εἶπε καὶ σ' ὅλων τὴν καρδιὰ ξυπνάει τοῦ θρήνου πόθο» [2].

Εὐχάριστον ἐπίσης εἶναι τὸ νὰ ἐκδικούμεθα. Διότι, ἐκεῖνο ποὺ λυπούμεθα, ἂν δὲν τὸ ἐπιτύχωμεν, αἰσθανόμεθα μεγάλην εὐχαρίστησιν ὅταν τὸ ἐπιτυγχάνωμεν. Ἀλλ' ἐκεῖνοι ποὺ εἶναι θυμωμένοι δοκιμάζουν τὴν μεγαλυτέραν λύ-

τως μὴ τιμωρούμενοι, ἐλπίζοντες δὲ χαίρουσιν. Καὶ τὸ νικᾶν ἡδύ, οὐ μόνον τοῖς φιλονίκοις ἀλλὰ πᾶσιν· φαντασία γὰρ ὑπεροχῆς γίγνεται, οὗ πάντες ἔχουσιν ἐπιθυμίαν ἢ ἠρέμα ἢ μᾶλλον. Ἐπεὶ δὲ τὸ νικᾶν ἡδύ, ἀνάγκη καὶ τὰς παιδιὰς ἡδείας εἶναι τὰς μαχητικὰς καὶ τὰς ἐριστικάς· 1371 a (πολλάκις γὰρ ἐν ταύταις γίγνεται τὸ νικᾶν) καὶ ἀστραγαλίσεις καὶ σφαιρίσεις καὶ κυβείας καὶ πεττείας. Καὶ περὶ τὰς ἐσπουδασμένας δὲ παιδιὰς ὁμοίως· αἳ μὲν γὰρ ἡδεῖαι γίγνονται, ἄν τις ᾖ συνήθης, αἳ δ' εὐθὺς ἡδεῖαι, οἷον κυνηγία καὶ πᾶσα θηρευτική· ὅπου γὰρ ἅμιλλα, ἐνταῦθα καὶ νίκη ἐστίν. Διὸ καὶ ἡ δικανικὴ καὶ [ἡ] ἐριστικὴ ἡδεῖα τοῖς εἰθισμένοις καὶ δυναμένοις. Καὶ τιμὴ καὶ εὐδοξία τῶν ἡδίστων διὰ τὸ γίγνεσθαι φαντασίαν ἑκάστῳ ὅτι τοιοῦτος οἷος ὁ σπουδαῖος, καὶ μᾶλλον ὅταν φῶσιν οὓς οἴεται ἀληθεύειν. Τοιοῦτοι δ' οἱ ἐγγὺς μᾶλλον τῶν πόρρω, καὶ οἱ συνήθεις καὶ οἱ πολῖται τῶν ἄπωθεν, καὶ οἱ ὄντες τῶν μελλόντων, καὶ οἱ φρόνιμοι ἀφρόνων, καὶ πολλοὶ ὀλίγων· μᾶλλον γὰρ εἰκὸς ἀληθεύειν τοὺς εἰρημένους τῶν ἐναντίων· ἐπεὶ ὧν τις πολὺ καταφρονεῖ, ὥσπερ παιδίων ἢ θηρίων, οὐδὲν μέλει τῆς τούτων τιμῆς ἢ τῆς δόξης αὐτῆς γε τῆς δόξης χάριν, ἀλλ' εἴπερ, δι' ἄλλο τι. Καὶ ὁ φίλος τῶν ἡδέων· τό τε γὰρ φιλεῖν ἡδὺ (οὐδεὶς γὰρ φίλοινος μὴ χαίρων οἴνῳ) καὶ τὸ φιλεῖσθαι ἡδύ· φαντασία γὰρ καὶ ἐνταῦθα τοῦ ὑπάρχειν αὐτῷ ἀγαθὸν εἶναι, οὗ πάντες ἐπιθυμοῦσιν οἱ αἰσθανόμενοι· τὸ δὲ φιλεῖσθαι ἀγαπᾶσθαί ἐστιν αὐτὸν δι' αὐτόν.

---

1. Μὲ τὴν μεταφορικὴν ἔννοιαν, δηλ. ἡ ζωηρὰ συζήτησις.

πην, όταν δὲν μποροῦν νὰ ἐκδικηθοῦν, ἐνῷ ἡ ἐλπὶς τῆς ἐπιτυχίας τοὺς γεμίζει χαράν.

Καὶ ἡ νίκη προξενεῖ εὐχαρίστησιν, ὄχι μόνον εἰς ἐκείνους ποὺ ἀγαποῦν τὰς νίκας, ἀλλὰ γενικὰ εἰς ὅλους. Διότι ἡ νίκη μᾶς δίδει κάπο:ο αἴσθημα ἀνωτερότητος, καὶ αὐτὸ τὸ ποθοῦν ὅλοι, ποιὸς λίγο, ποιὸς πολύ.

Ἀφοῦ δὲ εἶναι εὐχάριστος ἡ νίκη, ἀναγκαστικὰ εὐχάριστα εἶναι καὶ ὅλα τὰ παιγνίδια ποὺ περιέχουν ἀγῶνα καὶ ἅμιλλαν, διότι συχνὰ συμβαίνει νὰ νικᾷ κανείς, ὅπως τὰ κότσια, ἡ σφαῖρα, τὰ ζάρια καὶ ἡ ντάμα. Τὸ ἴδιο συμβαίνει καὶ μὲ τὰ σοβαρώτερα εἴδη ἀναψυχῆς. Ἀπ' αὐτὰ ἄλλα γίνονται εὐχάριστα, ὅταν τὰ συνηθίσῃ κανείς, καὶ ἄλλα εἶναι εὐθὺς ἀμέσως εὐχάριστα. Παραδείγματος χάριν, τὸ κυνήγι, καὶ γενικὰ κάθε ἀσχολία ποὺ ἔχει ὡς σκοπὸν τὸν ἀγῶνα ἐναντίον ἀγρίων ζῴων. Πράγματι, ὅπου ὑπάρχει ἅμιλλα, ἐκεῖ καὶ νίκη. Καὶ γι' αὐτὸ καὶ ἡ δικανικὴ καὶ ἡ πολεμικὴ ' εἶναι εὐχάριστα πράγματα εἰς τοὺς μαθημένους καὶ ἱκανοὺς νὰ τὰς διεξάγουν.

Αἱ τιμαὶ καὶ ἡ ὑπόληψις εἶναι ἀπὸ τὰ πιὸ εὐχάριστα πράγματα. Διότι ἐκεῖνος ποὺ τὰς ἀποκτᾷ φαντάζεται ὅτι γίνεται σπουδαῖος ἄνθρωπος καὶ μάλιστα ὅταν αἱ τιμαὶ καὶ ἡ δόξα προέρχωνται ἀπὸ ἀνθρώπους ποὺ πιστεύομεν ὅτι λέγουν τὴν ἀλήθειαν. Καὶ πιστεύομεν πιὸ πολὺ ὅτι λέγουν τὴν ἀλήθειαν ἐκεῖνοι ποὺ εἶναι κοντά μας, παρὰ οἱ μακρυνοί. Οἱ σχετικοί μας καὶ οἱ συμπολῖται μας, παρὰ οἱ ξένοι. Οἱ σύγχρονοί μας, παρὰ οἱ μεταγενέστεροι. Οἱ φρόνιμοι, παρὰ οἱ ἀνόητοι. Οἱ πολλοί, παρὰ οἱ ὀλίγοι. Καὶ πράγματι, πιθανώτερον εἶναι νὰ λέγουν τὴν ἀλήθειαν αὐτοί, παρὰ οἱ ἄλλοι. Διότι κανεὶς δὲν ἐνδιαφέρεται διὰ τὰς τιμὰς καὶ τὴν ὑπόληψιν ποὺ ἔχουν γι' αὐτὸν τὰ ὄντα ποὺ περιφρονεῖ, ὅπως τὰ παιδιά, ἢ τὰ ζῷα, ἢ τοὐλάχιστον, ἂν ἐνδιαφέρεται, αὐτὸ προέρχεται ἀπὸ κάποιον ἄλλον λόγον καὶ ὄχι διότι περιμένει δόξαν ἀπὸ αὐτά.

Τὸ νὰ ἔχῃς ἕνα φίλον, καὶ αὐτὸ ἐπίσης εἶναι εὐχάριστον πρᾶγμα. Ἀφ' ἑνὸς εἶναι εὐχάριστον νὰ ἀγαπᾷς κάποιον ὡς φίλος (ποιὸς φίλος τοῦ κρασιοῦ δὲν εὐχαριστεῖται ὅταν τὸ πίνῃ;), ἀφ' ἑτέρου δὲ εἶναι εὐχάριστον καὶ τὸ νὰ σὲ ἀγαπᾷ ὁ φίλος σου. Διότι τότε σχηματίζεις τὴν ἰδέαν ὅτι εἶσαι καλὸς ἄνθρωπος, καὶ αὐτὸ τὸ ἐπιθυμεῖ κάθε εὐαίσθητος ἄνθρωπος. Τὸ νὰ ἔχῃ κανεὶς φίλους, σημαίνει ὅτι εἶναι αὐτὸς καθ' ἑαυτὸν ἀξιαγάπητος.

Καὶ τὸ θαυμάζεσθαι ἡδὺ δι᾽ αὐτὸ τὸ τιμᾶσθαι. Καὶ τὸ κολακεύεσθαι καὶ ὁ κόλαξ ἡδύς· φαινόμενος γὰρ θαυμαστὴς καὶ φαινόμενος φίλος ὁ κόλαξ ἐστίν. Καὶ τὸ ταὐτὰ πράττειν πολλάκις ἡδύ· τὸ γὰρ σύνηθες ἡδὺ ἦν. Καὶ τὸ μεταβάλλειν ἡδύ· εἰς φύσιν γὰρ γίγνεται μεταβάλλειν· τὸ γὰρ αὐτὸ ἀεὶ ὑπερβολὴν ποιεῖ τῆς καθεστώσης ἕξεως, ὅθεν εἴρηται

μεταβολὴ πάντων γλυκύ.

Διὰ τοῦτο καὶ τὰ διὰ χρόνου ἡδέα ἐστίν, καὶ ἄνθρωποι καὶ πράγματα· μεταβολὴ γὰρ ἐκ τοῦ παρόντος ἐστίν, ἅμα δὲ καὶ σπάνιον τὸ διὰ χρόνου. Καὶ τὸ μανθάνειν καὶ τὸ θαυμάζειν ἡδὺ ὡς ἐπὶ τὸ πολύ· ἐν μὲν γὰρ τῷ θαυμάζειν τὸ ἐπιθυμεῖν [μαθεῖν] ἐστιν, ὥστε τὸ θαυμαστὸν ἐπιθυμητόν, ἐν δὲ τῷ μανθάνειν ⟨τὸ⟩ εἰς τὸ κατὰ φύσιν καθίστασθαι. Καὶ τὸ εὖ ποιεῖν καὶ τὸ εὖ πάσχειν τῶν ἡδέων· τὸ μὲν γὰρ εὖ πάσχειν
1371 b *τυγχάνειν ὧν ἐπιθυμοῦσι, τὸ δὲ εὖ ποιεῖν ἔχειν καὶ ὑπερέχειν, ὧν ἀμφοτέρων ἐφίενται. Διὰ δὲ τὸ ἡδὺ εἶναι τὸ εὐποιητικόν, καὶ τὸ ἐπανορθοῦν ἡδὺ τοῖς ἀνθρώποις ἐστὶν τοὺς πλησίον, καὶ τὸ τὰ ἐλλιπῆ ἐπιτελεῖν. Ἐπεὶ δὲ τὸ μανθάνειν τε ἡδὺ καὶ τὸ θαυμάζειν, καὶ τὰ τοιάδε ἀνάγκη ἡδέα εἶναι οἷον τό τε μιμητικόν, ὥσπερ γραφικὴ καὶ ἀνδριαντοποιία καὶ ποιητική, καὶ πᾶν ὃ ἂν εὖ μεμιμημένον ᾖ, κἂν ᾖ μὴ ἡδὺ αὐτὸ τὸ μεμιμημένον· οὐ γὰρ ἐπὶ τούτῳ χαίρει, ἀλλὰ συλλογισμός ἐστιν ὅτι τοῦτο ἐκεῖνο, ὥστε μαν-*

---

1. Ἀπὸ τὸν «Ὀρέστην» τοῦ Εὐριπίδου, στ. 234. Πρβλ. καὶ «Ἠθικὰ Νικομάχεια», βιβλ. Ζ', εἰς τὸ τέλος, ὅπου παρατίθεται καὶ πάλιν ὁ ἴδιος στίχος.

2. Συχνὰ ἔχει μεταφρασθῆ τὸ «θαυμάζειν» : τὸ νὰ θαυμάζῃ. Ἐν τούτοις ἐδῶ ἔχει προδήλως τὴν στενωτέραν ἔννοιαν τῆς ἐκπλήξεως, ὅπως καθαρὰ προκύπτει ἀπὸ τὴν συνέχειαν.

Εὐχάριστον εἶναι καὶ τὸ νὰ προκαλῇ κανεὶς θαυμασμόν. Διότι εἶναι τιμητικόν. Εὐχαριστούμεθα δὲ καὶ ἀπὸ τὰς κολακείας καὶ ἀπὸ τοὺς κόλακας. Διότι ὁ κόλαξ ἔχει τὴν ἐπίφασιν φίλου καὶ θαυμαστοῦ.

Πολλὲς φορὲς εἶναι εὐχάριστον καὶ τὸ νὰ ἐπαναλαμβάνωμεν τὰς ἰδίας ἀσχολίας. Διότι, καθὼς εἴπομεν, ὅσα ἔχομεν συνηθίσει εἶναι εὐχάριστα.

Εὐχάριστη ὅμως εἶναι καὶ ἡ ἀλλαγή. Διότι εἶναι φυσικὸν νὰ ἀλλάζουν ὅλα. Καὶ τὸ νὰ ἐπαναλαμβάνεται συνεχῶς τὸ ἴδιο πρᾶγμα ἀποτελεῖ ὑπερβολὴν τῆς συνηθείας ποὺ ὑπάρχει. Καὶ γι' αὐτὸ ἔχει γραφῇ ὁ στίχος :

«Ἡ ἀλλαγὴ εἶναι γλυκύτερο ἀπ' ὅλα» [1].

Καὶ γι' αὐτὸ μᾶς εἶναι εὐχάριστοι οἱ ἄνθρωποι καὶ τὰ πράγματα, ὅταν μᾶς παρουσιάζωνται ἀπὸ καιροῦ εἰς καιρόν. Διότι ἡ ἐμφάνισίς των ἀποτελεῖ μίαν ἀλλαγὴν καταστάσεως, ἐνῷ ἀφ' ἑτέρου ἐκεῖνο ποὺ παρουσιάζεται κατὰ διαλείμματα εἶναι σπάνιον.

Τὸ νὰ μανθάνῃ κανεὶς καὶ τὸ νὰ ἐκπλήσσεται ' εἶναι συχνὰ εὐχάριστον. Καὶ πράγματι, μέσα εἰς τὴν ἔκπληξιν περιέχεται ἡ ἐπιθυμία τοῦ νὰ μάθῃ κανείς. Ὥστε ἐκεῖνο ποὺ μᾶς ἐκπλήσσει, τὸ ἐπιθυμοῦμεν. Ἡ δὲ μάθησις μᾶς ἀποκαθιστᾷ εἰς τὴν ἀληθινήν μας φύσιν.

Καὶ τὸ νὰ εὐεργετῇ κανείς, καθὼς καὶ τὸ νὰ εὐεργετῆται, εἶναι εὐχάριστα πράγματα. Καὶ πράγματι, ὅταν εὐεργετῆσαι, σοῦ δίδεται ἐκεῖνο ποὺ ἀποτελεῖ ἀντικείμενον τῆς ἐπιθυμίας σου. Ὅταν πάλιν εὐεργετῇς, σημαίνει ὅτι ἔχεις καὶ ὅτι εἶσαι ἀνώτερος ἀπὸ ἐκεῖνον ποὺ εὐεργετεῖς. Ἀλλὰ καὶ τὰ δύο πράγματα αὐτὰ εἶναι ἐπιθυμητά. Ἀλλ' ἀκριβῶς ἐπειδὴ εἶναι εὐχάριστον τὸ νὰ εὐεργετοῦν, διὰ τοὺς ἰδίους λόγους εἶναι εὐχάριστον εἰς τοὺς ἀνθρώπους νὰ διορθώνουν τοὺς ὁμοίους των καὶ νὰ ἀποτελειώνουν τὰ ἡμιτελῆ ἔργα.

Καὶ ἐπειδὴ ἡ μάθησις καὶ ἡ ἔκπληξις εἶναι εὐχάριστα πράγματα, ἀναγκαστικὰ μᾶς εἶναι εὐχάριστα καὶ τὰ ὅμοιά των, ὅπως ἡ τέχνη τῆς μιμήσεως, παραδείγματος χάριν ἡ ζωγραφική, ἡ γλυπτικὴ καὶ ἡ ποίησις, καθὼς καὶ κάθε ἐπιτυχημένη μίμησις, καὶ ἂν ἀκόμη δὲν εἶναι εὐχάριστον τὸ πρωτότυπον. Πράγματι, ἡ εὐχαρίστησις δὲν προέρχεται ἀπὸ τὸ θέμα τῆς μιμήσεως, ἀλλὰ δημιουργεῖται μέσα εἰς τὸ μυαλό μας κάποιος συλλογισμός, ὅτι αὐτὸ τὸ πρᾶγμα εἶναι ἐκεῖνο. Καὶ κατὰ συνέπειαν μανθάνομεν κάτι τι.

θάνειν τι συμβαίνει. Καὶ αἱ περιπέτειαι καὶ τὸ παρὰ μικρὸν σώζεσθαι ἐκ τῶν κινδύνων· πάντα γὰρ θαυμαστὰ ταῦτα. Καὶ ἐπεὶ τὸ κατὰ φύσιν ἡδύ, τὰ συγγενῆ δὲ κατὰ φύσιν ἀλλήλοις ἐστίν, πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ, οἷον ἄνθρωπος ἀνθρώπῳ ἵππος ἵππῳ καὶ νέος νέῳ, ὅθεν καὶ αἱ παροιμίαι εἴρηνται, ὡς ἧλιξ ἥλικα τέρπει, καὶ ὡς αἰεὶ τὸν ὁμοῖον, καὶ ἔγνω δὲ θὴρ θῆρα, καὶ γὰρ κολοιὸς παρὰ κολοιόν, καὶ ὅσα ἄλλα τοιαῦτα. Ἐπεὶ δὲ τὸ ὅμοιον καὶ τὸ συγγενὲς ἡδὺ ἑαυτῷ ἅπαν, μάλιστα δὲ αὐτὸς πρὸς ἑαυτὸν ἕκαστος τοῦτο πέπονθεν, ἀνάγκη πάντας φιλαύτους εἶναι ἢ μᾶλλον ἢ ἧττον· πάντα γὰρ τὰ τοιαῦτα ὑπάρχει πρὸς αὐτὸν μάλιστα. Ἐπεὶ δὲ φίλαυτοι πάντες, καὶ τὰ αὑτῶν ἀνάγκη ἡδέα εἶναι πᾶσιν, οἷον ἔργα καὶ λόγους. Διὸ καὶ φιλοκόλακες ὡς ἐπὶ τὸ πολὺ [καὶ φιλερασταὶ] καὶ φιλότιμοι καὶ φιλότεκνοι· αὑτῶν γὰρ ἔργον τὰ τέκνα. Καὶ τὰ ἐλλιπῆ ἐπιτελεῖν ἡδύ· αὑτῶν γὰρ ἔργον ἤδη γίγνεται. Καὶ ἐπεὶ τὸ ἄρχειν ἥδιστον, καὶ τὸ σοφὸν δοκεῖν εἶναι ἡδύ· ἀρχικὸν γὰρ τὸ φρονεῖν, ἔστιν δ' ἡ σοφία πολλῶν καὶ θαυμαστῶν ἐπιστήμη. Ἔτι ἐπεὶ φιλότιμοι ὡς ἐπὶ τὸ πολύ, ἀνάγκη καὶ τὸ ἐπιτιμᾶν τοῖς πέλας ἡδὺ εἶναι [καὶ τὸ ἄρχειν.] Καὶ τὸ ἐν ᾧ δοκεῖ βέλτιστος αὐτὸς αὑτοῦ εἶναι, ἐνταῦθα διατρίβειν, ὥσπερ καὶ ὁ ποιητής φησι

κἀπὶ τοῦτ' ἐπείγεται,
νέμων ἑκάστης ἡμέρας πλεῖστον μέρος,
ἵν' αὐτὸς αὑτοῦ τυγχάνει βέλτιστος ὤν.

Ὁμοίως δὲ καὶ ἐπεὶ ἡ παιδιὰ τῶν ἡδέων καὶ πᾶσα ἄνεσις, καὶ ὁ γέλως τῶν ἡδέων, ἀνάγκη καὶ τὰ γελοῖα ἡδέα

---

1. Ἡ παροιμία αὐτὴ ἀναφέρεται καὶ ἀπὸ τὸν Πλάτωνα εἰς τὸν «Φαῖδρον».
2. Ὀδύσσεια P, 218.
3. Πρβλ. Ἀριστοτέλους Ἠθικὰ πρὸς Εὔδημον Η, 1.
4. Αὐτὴ εἶναι ἡ γραφὴ τοῦ παλαιοτέρου χειρογράφου (Κῶδιξ Παρισινὸς 1741) Ὅλα τὰ ἄλλα χειρόγραφα ἀντὶ «ποιητὴς» γράφουν «Εὐριπίδης».
5. Στίχοι ἀπὸ τὴν «Ἀντιόπην» τοῦ Εὐριπίδου, τραγῳδίαν ποὺ ἔχει χαθῆ (βλ. ἀπόσπ. F.P.T. 183. N²)

Εὐχάριστοι ἐπίσης εἶναι αἱ περιπέτειαι, ὅπως καὶ τὸ νὰ ξεφεύγωμεν παρὰ τρίχα ἀπὸ ἕνα κίνδυνον. Διότι ὅλα αὐτὰ προκαλοῦν τὴν ἔκπληξιν.

Καὶ ἐπειδὴ ὅσα πράγματα ἀνταποκρίνονται πρὸς τὴν φύσιν εἶναι εὐχάριστα, τὰ δὲ συγγενῆ πράγματα εὑρίσκονται εἰς φυσικὴν ἀνταπόκρισιν μεταξύ των, συνήθως ὅλα τὰ συγγενῆ καὶ τὰ ὅμοια εἶναι εὐχάριστα, λόγου χάριν ὁ ἄνθρωπος εἶναι εὐχάριστος εἰς τὸν ἄνθρωπον, τὸ ἄλογον εἰς τὸ ἄλογον, ὁ νέος εἰς τὸν νέον. Καὶ γι' αὐτὸ ἐβγῆκαν οἱ παροιμίες: «μᾶς εἶναι εὐχάριστοι οἱ συνομήλικοί μας» [1], «πάντα ἀναζητεῖ κανεὶς τὸν ὅμοιόν του» [2], «τὸ ἀγρίμι γνωρίζεται μὲ τὸ ἀγρίμι», «ἡ καλιακούδα πάει κοντὰ στὴν καλιακούδα» [3] καὶ τόσες ἄλλες ἀνάλογες.

Ἀφοῦ δὲ τὰ συγγενῆ καὶ ὅμοια ὄντα εἶναι εὐχάριστα ἀναμεταξύ των καὶ πρὸ πάντων ὁ καθένας δοκιμάζει αὐτὸ τὸ συναίσθημα διὰ τὸν ἑαυτόν του, ἀναγκαστικὰ ὅλοι οἱ ἄνθρωποι εἶναι, ποιὸς λίγο, ποιὸς πολύ, φίλαυτοι. Διότι αὐταὶ αἱ σχέσεις (ὁμοιότης καὶ συγγένεια) ὑπάρχουν κυρίως πρὸς τὸν ἑαυτόν μας. Ἀφοῦ δὲ ὅλοι οἱ ἄνθρωποι εἶναι φίλαυτοι, ἀναγκαστικὰ εἶναι διὰ τὸν καθένα εὐχάριστα τὰ δικά του ἔργα καὶ λόγια. Γι' αὐτὸ οἱ ἄνθρωποι συνήθως ἀγαποῦν τοὺς κόλακάς των καὶ τοὺς ἐραστάς των καὶ τὰς τιμὰς ποὺ τοὺς ἀπονέμονται, καὶ τὰ παιδιά των. Διότι τὰ παιδιά των εἶναι ἔργον των. Καὶ τὸ νὰ ἀποτελειώνουν ἡμιτελῆ ἔργα εἶναι εὐχάριστον, διότι, ἅμα τὰ ἀποτελειώσουν, γίνονται ἔργα δικά των.

Καὶ ἐπειδὴ ἡ ἐξουσία εἶναι ἀπὸ τὰ πιὸ εὐχάριστα πράγματα, εὐχάριστον εἶναι καὶ τὸ νὰ θεωρῆται κανεὶς σοφός. Διότι ἡ σοφία εἶναι ἰδιότης ποὺ ταιριάζει εἰς τοὺς ἄρχοντας. Εἶναι δὲ σοφία ἡ γνῶσις πολλῶν καὶ θαυμαστῶν πραγμάτων. Ἀκόμη δέ, ἐπειδὴ ὅλοι σχεδὸν εἶναι φιλόδοξοι, κατ' ἀνάγκην εἶναι εὐχάριστον τὸ νὰ ἐπιπλήττουν τοὺς ὁμοίους των.

Εὐχάριστον εἶναι ἐπίσης νὰ ἐπιδίδεται κανεὶς εἰς ἐκείνας τὰς ἀσχολίας εἰς τὰς ὁποίας θεωρεῖται ὅτι ξεπερνᾶ τὸν ἑαυτόν του, ὅπως εἶπε καὶ ὁ ποιητής [4]:

«Αὐτὴ 'ναι ἡ φροντίδα του
Καὶ σ' αὐτὸ ἀφιερώνει τὶς περισσότερες ὧρες του
Γιὰ νὰ φαίνεται καλύτερος ἀπὸ τὸν ἑαυτό του» [5].

Ὁμοίως, ἐπειδὴ τὰ παιγνίδια καὶ κάθε εἶδος ἀναψυχῆς εἶναι εὐχάριστα, καθὼς καὶ τὸ γέλιο, ἀναγκαστικὰ εἶναι εὐ-

1372 a εἶναι, καὶ ἀνθρώπους καὶ λόγους καὶ ἔργα· διώρισται δὲ περὶ γελοίων χωρὶς ἐν τοῖς περὶ ποητικῆς. Περὶ μὲν οὖν ἡδέων εἰρήσθω ταῦτα, τὰ δὲ λυπηρὰ ἐκ τῶν ἐναντίων τούτοις φανερά.

12. Ὧν μὲν οὖν ἕνεκα ἀδικοῦσιν, ταῦτ' ἐστίν· πῶς δὲ ἔχοντες καὶ τίνας, λέγωμεν νῦν. Αὐτοὶ μὲν οὖν ὅταν οἴωνται δυνατὸν εἶναι τὸ πρᾶγμα πραχθῆναι καὶ αὑτοῖς δυνατόν, εἴτε ἂν λαθεῖν πράξαντες, ἢ μὴ λαθόντες μὴ δοῦναι δίκην, ἢ δοῦναι μὲν ἀλλ' ἐλάττω τὴν ζημίαν εἶναι τοῦ κέρδους αὑτοῖς ἢ ὧν κήδονται. Ποῖα μὲν οὖν δυνατὰ φαίνεται καὶ ποῖα ἀδύνατα, ἐν τοῖς ὕστερον ῥηθήσεται· κοινὰ γὰρ ταῦτα πάντων τῶν λόγων, αὐτοὶ δ' οἴονται δυνατοὶ εἶναι μάλιστα ἀζήμιοι ἀδικεῖν οἱ εἰπεῖν δυνάμενοι καὶ οἱ πρακτικοὶ καὶ ἔμπειροι πολλῶν ἀγώνων, κἂν πολύφιλοι ὦσιν, κἂν πλούσιοι. Καὶ μάλιστα μὲν ἂν αὐτοὶ ὦσιν ἐν τοῖς εἰρημένοις, οἴονται δύνασθαι, εἰ δὲ μή, κἂν ὑπάρχωσιν αὐτοῖς τοιοῦτοι φίλοι ἢ ὑπηρέται ἢ κοινωνοί· διὰ γὰρ ταῦτα δύνανται καὶ πράττειν καὶ λανθάνειν καὶ μὴ δοῦναι δίκην. Καὶ ἐὰν φίλοι ὦσιν τοῖς ἀδικουμένοις ἢ τοῖς κριταῖς· οἱ μὲν γὰρ φίλοι ἀφύλακτοί τε πρὸς τὸ ἀδικεῖσθαι καὶ προσκαταλλάττονται πρὶν ἐπεξελθεῖν, οἱ δὲ κριταὶ χαρίζονται οἷς ἂν φίλοι ὦσι, καὶ ἢ ὅλως ἀφιᾶσιν ἢ μικροῖς ζημιοῦσιν.

---

1. Αὐτὸ τὸ τμῆμα τῆς «Ποιητικῆς» τοῦ Ἀριστοτέλους δὲν σώζεται.
2. Βιβλ. Β' κεφ. 19.
3. Δηλ. ὄχι μόνον εἰς τὸν δικανικόν, ἀλλὰ καὶ εἰς τὸν πολιτικὸν καὶ εἰς τὸν πανηγυρικόν.

χάριστα καὶ ὅλα—ἄνθρωποι, λόγια ἢ ἔργα—ὅσα προκαλοῦν τὸ γέλιο. Τὸ ζήτημα ὅμως αὐτὸ ἔχει ἐξετασθῆ ξεχωριστὰ εἰς τὴν ποιητικήν [1].

Αὐτὰ εἴχαμε νὰ εἰποῦμε διὰ τὰ εὐχάριστα πράγματα. Τὰ δὲ δυσάρεστα εἶναι φανερά. Διότι εἶναι τὰ ἀντίθετά των.

12. ΥΠΟΚΕΙΜΕΝΑ, ΣΥΝΘΗΚΑΙ ΚΑΙ ΑΝΤΙΚΕΙΜΕΝΑ ΤΟΥ ΑΔΙΚΗΜΑΤΟΣ

Αὐτὰ λοιπὸν εἶναι τὰ αἴτια ποὺ ὠθοῦν πρὸς τὸ ἀδίκημα. Ἂς ἐξετάσωμεν δὲ τώρα ὑπὸ ποίας συνθήκας εὑρίσκονται ἐκεῖνοι ποὺ διαπράττουν ἀδικήματα, καὶ ἐναντίον τίνων. Οἱ ἄνθρωποι διαπράττουν ἀδικήματα ὅταν φρονοῦν ὅτι μποροῦν νὰ φέρουν εἰς πέρας τὴν ἄδικον πρᾶξιν των καὶ ὅτι τοὺς εἶναι δυνατὸν εἴτε νὰ μὴ ἀνακαλυφθοῦν ὅτι αὐτοὶ εἶναι οἱ δρᾶσται, ἤ, ἂν ἀνακαλυφθοῦν, νὰ διαφύγουν τὴν τιμωρίαν, ἤ, ἂν τιμωρηθοῦν, τὸ κακὸν ποὺ θὰ πάθουν, πρόκειται νὰ εἶναι μικρότερον ἀπὸ τὸ κέρδος ποὺ ἐλπίζουν εἴτε διὰ τὸν ἑαυτόν των, εἴτε διὰ τὰ πρόσωπα διὰ τὰ ὁποῖα ἐνδιαφέρονται. Ὡς πρὸς τὸ ποῖα πράγματα φαίνονται δυνατὰ καὶ ποῖα ἀδύνατα, θὰ ὁμιλήσωμεν ἀργότερα [2]. Διότι τὸ θέμα αὐτὸ εἶναι κοινὸν εἰς ὅλα τὰ εἴδη τῶν λόγων [3].

Πιστεύουν δὲ ὅτι ἠμποροῦν νὰ διαπράττουν ἀδικήματα χωρὶς νὰ ἔχουν ἐπιζημίους συνεπείας κυρίως ὅσοι εἶναι εὔγλωττοι, καθὼς καὶ οἱ ἐπιτήδειοι, καὶ ἐκεῖνοι ποὺ ἔχουν τὴν πεῖραν πολλῶν δικαστικῶν ἀγώνων. Ἐπίσης δὲ ὅσοι ἔχουν πολλοὺς φίλους ἢ πολλὰ χρήματα.

Κυρίως δὲ πιστεύουν ὅτι ἠμποροῦν νὰ διαπράττουν ἀδικήματα, ὅταν αὐτοὶ οἱ ἴδιοι ἔχουν τὰς ἀνωτέρω ἰδιότητας. Ἂν ὅμως δὲν συμβαίνῃ αὐτό, τοὐλάχιστον ὅταν ἔχουν φίλους, ἢ ὑπηρέτας, ἢ συνενόχους, προικισμένους μὲ τὰς ἰδιότητας αὐτάς. Διότι μὲ αὐτὰς εἶναι δυνατὸν καὶ νὰ φέρουν εἰς πέρας τὴν ἄδικον πρᾶξιν των, καὶ νὰ μὴ ἀνακαλυφθοῦν, καὶ νὰ διαφύγουν τὴν τιμωρίαν.

Νομίζουν ἀκόμη ὅτι τοὺς εἶναι δυνατὰ ὅλα τὰ ἀνωτέρω ὅταν πρόκειται νὰ ἀδικήσουν φίλους των, ἢ ὅταν συνδέωνται μὲ τοὺς δικαστὰς φιλικῶς. Διότι οἱ μὲν φίλοι δὲν προφυλάσσονται (μὴ φανταζόμενοι ὅτι ἠμπορεῖ νὰ ἀδικηθοῦν), καὶ ἐξ ἄλλου ἐπιχειροῦν συμβιβαστικὴν λύσιν πρὶν ἀνοίξουν ἐναντίον των δικαστικὸν ἀγῶνα. Οἱ δικασταὶ πάλιν χαρίζονται εἰς ἐκείνους ποὺ εἶναι φίλοι των καὶ ἢ ἐντελῶς τοὺς ἀθῳώνουν, ἢ τοὺς ἐπιβάλλουν ἐλαφρὰς ποινάς.

Λαθητικοὶ δ' εἰσὶν οἵ τ' ἐναντίοι τοῖς ἐγκλήμασιν, οἷον ἀσθενεῖς περὶ αἰκίας καὶ ὁ πένης καὶ [ὁ] αἰσχρὸς περὶ μοιχείας. Καὶ τὰ λίαν ἐν φανερῷ καὶ ἐν ὀφθαλμοῖς· ἀφύλακτα γὰρ διὰ τὸ ὅλως μηδένα ἂν οἴεσθαι. Καὶ τὰ τηλικαῦτα καὶ τὰ τοιαῦτα οἷα μηδ' ἂν εἷς· ἀφύλακτα γὰρ καὶ ταῦτα· πάντες γὰρ τὰ εἰωθότα ὥσπερ ἀρρωστήματα φυλάττονται [καὶ τἀδικήματα], ὃ δὲ μηδείς πω ἠρρώστηκεν, οὐδεὶς εὐλαβεῖται. Καὶ οἷς μηδεὶς ἐχθρὸς ἢ πολλοί· οἱ μὲν γὰρ οἴονται λήσειν διὰ τὸ μὴ φυλάττεσθαι, οἱ δὲ λανθάνουσι διὰ τὸ μὴ δοκεῖν ἂν ἐπιχειρῆσαι φυλαττομένοις, καὶ διὰ τὸ ἀπολογίαν ἔχειν ὅτι οὐκ ἂν ἐνεχείρησαν. Καὶ οἷς ὑπάρχει κρύψις ἢ τρόποις ἢ τόποις ἢ διαθέσεις εὔποροι. Καὶ ὅσοις μὴ λανθάνουσιν ἔστιν δίωσις δίκης ἢ ἀναβολὴ χρόνου ἢ διαφθοραὶ κριτῶν.

Καὶ οἷς, ἐὰν γένηται ζημία, ἔστιν δίωσις τῆς ἐκτίσεως ἢ ἀναβολὴ χρόνιος. Ἢ δι' ἀπορίαν μηδὲν ἕξει ὅ τι ἀπολέσῃ.

Καὶ οἷς τὰ μὲν κέρδη φανερὰ ἢ μεγάλα ἢ ἐγγύς, αἱ δὲ
1372b *ζημίαι μικραὶ ἢ ἀφανεῖς ἢ πόρρω. Καὶ ᾧ μή ἐστιν τιμω-*

Εἶναι εὔκολον νὰ μὴ ἀνακαλυφθοῦν ὅσοι ἔχουν ἰδιότητας ἀντιθέτους ἀπὸ ἐκείνας ποὺ χρειάζονται διὰ τὴν ἐκτέλεσιν ἑνὸς ὡρισμένου ἀδικήματος. Ἔτσι δὲν ὑποπτεύονται ὅτι ἕνας ἀσθενικὸς ἄνθρωπος διέπραξεν αἰκίας ἢ ἕνας πτωχὸς καὶ ἄσχημος μοιχείαν. Ἐπίσης τὰ ἀδικήματα ποὺ διαπράττονται ἐντελῶς φανερὰ καὶ ἐμπρὸς στὰ μάτια ὅλου τοῦ κόσμου. Διότι κανεὶς δὲν προφυλάσσεται, ἐπειδὴ δὲν φαντάζεται ὅτι ὑπ' αὐτὰς τὰς συνθήκας εἶναι δυνατὸν νὰ διαπραχθῇ ἀδίκημα.

Τὸ ἴδιο συμβαίνει καὶ μὲ τὰ ἀδικήματα ποὺ εἶναι τόσον βαριὰ καὶ τοιαύτης φύσεως, ὥστε κανεὶς δὲν θεωρεῖται ἱκανὸς νὰ τὰ διαπράξῃ. Διότι κανεὶς δὲν προφυλάσσεται ἀπ' αὐτά. Πράγματι, ὅλοι, ὅπως φυλάγονται ἀπὸ τὶς συνηθισμένες ἀρρώστειες, ἔτσι φυλάγονται καὶ ἀπὸ τὰ συνηθισμένα ἀδικήματα. Κανεὶς ὅμως δὲν φοβᾶται ἐκείνην τὴν ἀρρώστεια, ποὺ ἕως τώρα δὲν προσέβαλεν οὔτε ἕνα ἄνθρωπον.

Ἐπίσης ἐκεῖνοι ποὺ δὲν ἔχουν κανένα ἐχθρόν, καθὼς καὶ ὅσοι ἔχουν πάρα πολλούς. Πράγματι, οἱ μὲν πρῶτοι πιστεύουν ὅτι δὲν θὰ ἀνακαλυφθοῦν, διότι δὲν ἐμπνέουν δυσπιστίαν, ἐκεῖνοι δὲ πάλιν ποὺ ἔχουν πολλοὺς ἐχθρούς, διότι δὲν εἶναι δυνατὸν νὰ ὑποτεθῇ ὅτι ἐπεχείρησαν κάτι κακὸν ἐναντίον ἀνθρώπων ποὺ εἶχαν λόγους νὰ προφυλάσσωνται ἀπ' αὐτούς, καὶ διότι εἶναι φυσικὸν νὰ ἰσχυρισθοῦν εἰς τὴν ἀπολογίαν των, ὅτι δὲν ἦτο δυνατὸν νὰ ἐπιχειρήσουν νὰ κάμουν ἀδίκημα ὑπ' αὐτὰς τὰς συνθήκας.

Τὸ ἴδιο συμβαίνει καὶ μ' αὐτοὺς ποὺ ἠμποροῦν νὰ ἀποκρύψουν, νὰ μεταποιήσουν, νὰ μεταφέρουν ἢ νὰ διαθέσουν εὔκολα (ἕνα ἀντικείμενον ποὺ ἔκλεψαν). Ἐπίσης δὲ καὶ μὲ ἐκείνους ποὺ ἂν δὲν ἀποφύγουν ν' ἀνακαλυφθοῦν, ἔχουν τρόπον νὰ ματαιώσουν τὴν δίκην, ἢ νὰ τὴν ἀναβάλουν ἐπὶ πολύ, ἢ νὰ ἐξαγοράσουν τοὺς δικαστάς. Ἀκόμη δὲ καὶ μὲ ὅσους ἠμποροῦν, ἂν τιμωρηθοῦν, νὰ ματαιώσουν τὴν ἐκτέλεσιν τῆς ποινῆς ἢ νὰ τὴν ἀναβάλουν ἐπὶ πολύ, ἢ εἶναι τόσον πτωχοί, ὥστε δὲν ἔχουν τίποτε νὰ ζημιωθοῦν μὲ τὴν καταδίκην.

Ἐπίσης ἐκεῖνοι ποὺ μὲ τὸ ἀδίκημα ποὺ ἐκτελοῦν πραγματοποιοῦν ἕνα καταφανὲς καὶ μεγάλο καὶ σύντομον κέρδος, ἐνῷ ἡ τιμωρία εἶναι μικρά, ἢ δὲν φαίνεται, ἢ εἶναι μακρυνή. Καθὼς καὶ ἐκεῖνοι ποὺ ἡ τιμωρία των δὲν εἶναι ἴση πρὸς τὴν ὠφέλειαν ποὺ θὰ ἔχουν ἀπὸ τὴν ἐκτέλεσιν τῆς πρά-

ρία ἴση τῇ ὠφελείᾳ, οἷον δοκεῖ ἡ τυραννίς. Καὶ ὅσοις τὰ μὲν ἀδικήματα λήμματα, αἱ δὲ ζημίαι ὀνείδη μόνον. Καὶ οἷς τοὐναντίον τὰ μὲν ἀδικήματα εἰς ἔπαινόν τινα, οἷον εἰ συνέβη ἅμα τιμωρήσασθαι ὑπὲρ πατρὸς ἢ μητρός, ὥσπερ Ζήνωνι, αἱ δὲ ζημίαι εἰς χρήματα ἢ φυγὴν ἢ τοιοῦτόν τι. δι' ἀμφότερα γὰρ ἀδικοῦσι καὶ ἀμφοτέρως ἔχοντες, πλὴν οὐχ οἱ αὐτοὶ ἀλλ' οἱ ἐναντίοι τοῖς ἤθεσιν. Καὶ οἱ πολλάκις ἢ λεληθότες ἢ μὴ ἐζημιωμένοι, καὶ οἱ πολλάκις ἀποτετυχηκότες· εἰσὶ γάρ τινες καὶ ἐν τοῖς τοιούτοις, ὥσπερ ἐν τοῖς πολεμικοῖς, οἷοι ἀναμάχεσθαι. Καὶ οἷς ἂν παραχρῆμα ᾖ τὸ ἡδύ, τὸ δὲ λυπηρὸν ὕστερον, ἢ τὸ κέρδος, ἡ δὲ ζημία ὕστερον· οἱ γὰρ ἀκρατεῖς τοιοῦτοι, ἔστιν δὲ ἀκρασία περὶ πάντα ὅσων ὀρέγονται. Καὶ οἷς ἂν τοὐναντίον τὸ μὲν λυπηρὸν ἤδη ᾖ ἢ ἡ ζημία, τὸ δὲ ἡδὺ καὶ ὠφέλιμον ὕστερα καὶ χρονιώτερα· οἱ γὰρ ἐγκρατεῖς καὶ φρονιμώτεροι τὰ τοιαῦτα διώκουσιν. Καὶ οἷς ἂν ἐνδέχηται διὰ τύχην δόξαι πρᾶξαι ἢ δι' ἀνάγκην ἢ διὰ φύσιν ἢ δι' ἔθος, καὶ ὅλως ἁμαρτεῖν ἀλλὰ μὴ ἀδικεῖν. Καὶ οἷς ἂν ᾖ τοῦ ἐπιεικοῦς τυχεῖν. Καὶ ὅσοι ἂν ἐνδεεῖς ὦσιν. Διχῶς δέ εἰσιν ἐνδεεῖς· ἢ γὰρ ὡς ἀναγκαίου, ὥσπερ οἱ πένητες, ἢ ὡς ὑπερβολῆς, ὥσπερ οἱ πλούσιοι. Καὶ οἱ σφόδρα εὐδοκιμοῦντες καὶ οἱ σφόδρα ἀδοξοῦντες, οἱ μὲν ὡς οὐ δόξοντες, οἱ δ' ὡς οὐδὲν μᾶλλον ἀδοξοῦντες.

---

1. Ὑπαινιγμὸς γεγονότος ποὺ δὲν εἶναι γνωστόν.
2. Δηλ. εἴτε νὰ ἀποδέχωνται νὰ ντροπιασθοῦν, χάριν τοῦ κέρδους, εἴτε νὰ ἀποδέχωνται τὴν χρηματικὴν τιμωρίαν, χάριν τοῦ ἐπαίνου.

ξεως. Αὐτὸ δὲ πιστεύεται ὅτι ἰσχύει δ' ἐκείνους ποὺ ἐπιχειροῦν νὰ ἐγκαθιδρύσουν τυραννίδα.

Καὶ ἐκεῖνοι ποὺ ἀπὸ μὲν τὸ ἀδίκημα ἀποκομίζουν κέρδη θετικά, ἐνῷ ἡ ποινὴ ποὺ ὑφίστανται εἶναι μόνον ντροπὴ (χωρὶς ὑλικὰς ἐπιζημίους συνεπείας). Καὶ πάλιν ἀντιθέτως, ἐκεῖνοι ποὺ διὰ μὲν τὸ ἀδίκημα ποὺ διέπραξαν θὰ ἐπαινεθοῦν, ὅπως ἂν συμβῇ νὰ ἐκδικήσουν τὸν πατέρα των καὶ τὴν μητέρα των συγχρόνως, καθὼς συνέβη εἰς τὸν Ζήνωνα [1], ἐνῷ ἡ ποινὴ εἶναι χρηματικὴ ἢ ἐξορία ἢ κάτι ἀνάλογον. Πράγματι, οἱ ἄνθρωποι διαπράττουν ἀδικήματα καὶ διὰ τοὺς δύο αὐτοὺς λόγους (καὶ διὰ τὸ κέρδος καὶ διὰ τὸν ἔπαινον). Καὶ εἶναι δυνατὸν νὰ εὑρίσκωνται εἴτε εἰς τὴν πρώτην εἴτε εἰς τὴν δευτέραν ψυχολογικὴν κατάστασιν [2], ὄχι ὅμως οἱ ἴδιοι ἄνθρωποι, ἀλλ' ἐκεῖνοι ποὺ ἔχουν ἀντίθετον χαρακτῆρα.

Ἐπίσης ἐκεῖνοι ποὺ συχνὰ διέπραξαν κάποιο ἀδίκημα εἴτε χωρὶς νὰ ἀνακαλυφθοῦν, εἴτε χωρὶς νὰ τιμωρηθοῦν, καθὼς καὶ ὅσοι πολλὲς φορὲς ἀπεπειράθησαν καὶ ἀπέτυχαν. Καὶ πράγματι, συχνὰ συμβαίνει καὶ εἰς τοὺς ἀνθρώπους ποὺ εὑρίσκονται ὑπ' αὐτὰς τὰς συνθήκας, αὐτὸ ποὺ γίνεται καὶ εἰς ἐκείνους ποὺ ἔλαβαν μέρος εἰς στρατιωτικὰς ἐπιχειρήσεις, δηλαδὴ ἀποκτοῦν τὴν διάθεσιν νὰ ξαναρχίσουν.

Ἐπίσης ἐκεῖνοι ποὺ ἐπιζητοῦν τὴν ἄμεσον εὐχαρίστησιν ἢ τὸ ἄμεσον κέρδος καὶ δὲν ἐνδιαφέρονται διὰ τὴν κατοπινὴν λύπην ἢ τὴν κατοπινὴν ζημίαν. Αὐτὸ ἰσχύει δι' ἐκείνους ποὺ δὲν εἶναι ἐγκρατεῖς. Ἡ δὲ ἔλλειψις ἐγκρατείας ἐκτείνεται εἰς ὅλας τὰς ἀνθρωπίνους ὀρέξεις.

Καὶ τἀνάπαλιν, ἐκεῖνοι ποὺ (ἀποδέχονται) πρὸς τὸ παρὸν τὴν λύπην ἢ τὴν ζημίαν, πρὸς χάριν μεταγενεστέρας ἀλλὰ διαρκεστέρας εὐχαριστήσεως καὶ ὠφελείας. Ἔτσι δὲ φέρονται οἱ ἐγκρατεῖς καὶ οἱ φρονιμώτεροι.

Ἀκόμη ὅσοι εἶναι δυνατὸν νὰ πιστευθῇ ὅτι διέπραξαν κάτι κακὸν ἐκ τύχης, ἢ ἀπὸ ἀνάγκην, ἢ ὑπείκοντες εἰς φυσικὸν νόμον, ἢ ἀπὸ συνήθειαν καὶ γενικά, εἶναι δυνατὸν νὰ κριθοῦν ὅτι ὑπέπεσαν εἰς λάθος, ἀλλ' ὄχι εἰς ἀδίκημα. Καθὼς καὶ ὅσοι εἶναι πιθανὸν νὰ κριθοῦν ἐπιεικῶς.

Καὶ ἐκεῖνοι ποὺ στεροῦνται. Ὑπάρχουν δὲ δύο εἰδῶν στερήσεις. Ἄλλοι στεροῦνται τὰ ἀναγκαῖα πράγματα, ὅπως οἱ πτωχοί, καὶ ἄλλοι τὰ περιττά, ὅπως οἱ πλούσιοι.

Ἐπίσης ὅσοι ἔχουν ἀρίστην ὑπόληψιν, καθὼς καὶ ἐκεῖνοι ποὺ ἔχουν ἐλεεινήν. Οἱ μὲν πρῶτοι, διότι δὲν θὰ πιστευθῇ (ὅτι διέπραξαν ἀδίκημα). Οἱ δεύτεροι πάλιν, διότι δὲν ἔχουν ὑπόληψιν, διὰ νὰ τὴν χάσουν.

Αὐτοὶ μὲν οὖν οὕτως ἔχοντες ἐπιχειροῦσιν ⟨*ἀδικεῖν*⟩, *ἀδικοῦσι δὲ τοὺς τοιούτους καὶ τὰ τοιαῦτα, τοὺς ἔχοντας ὧν αὐτοὶ ἐνδεεῖς ἢ εἰς τἀναγκαῖα ἢ εἰς ὑπεροχὴν ἢ εἰς ἀπόλαυσιν, καὶ τοὺς πόρρω καὶ τοὺς ἐγγύς· τῶν μὲν γὰρ ἡ λῆψις ταχεῖα, τῶν δ' ἡ τιμωρία βραδεῖα, οἷον οἱ συλῶντες τοὺς Καρχηδονίους· καὶ τοὺς μὴ εὐλαβεῖς μηδὲ φυλακτικοὺς ἀλλὰ πιστευτικούς· ῥᾴδιον γὰρ πάντας λαθεῖν. Καὶ τοὺς ῥαθύμους· ἐπιμελοῦς γὰρ τὸ ἐπεξελθεῖν. Καὶ τοὺς αἰσχυντηλούς· οὐ γὰρ μαχητικοὶ περὶ κέρδους. Καὶ τοὺς ὑπὸ πολλῶν ἀδικηθέντας καὶ μὴ ἐπεξελθόντας ὡς ὄντας κατὰ τὴν παροιμίαν τούτους Μυσῶν λείαν. Καὶ τοὺς μηδεπώποτε καὶ τοὺς πολλάκις· ἀμφότεροι γὰρ ἀφύλακτοι, οἱ μὲν ὡς οὐδέποτε, οἱ δ' ὡς οὐκ ἂν ἔτι. Καὶ τοὺς διαβεβλημένους ἢ εὐδιαβόλους· οἱ τοιοῦτοι γὰρ οὔτε προαιροῦνται* ⟨*ἐπεξιέναι*⟩ *φοβούμενοι τοὺς κριτάς, οὔτε δύνανται πείθειν ὡς μισούμενοι καὶ φθονούμενοι. Καὶ πρὸς οὓς ἔχουσι πρόφασιν* 1373a *ἢ προγόνων ἢ αὐτῶν ἢ φίλων ἢ ποιησάντων κακῶς ἢ μελλησάντων ἢ αὐτοὺς ἢ προγόνους ἢ ὧν κήδονται· ὥσπερ γὰρ ἡ παροιμία, προφάσεως δεῖται μόνον ἡ πονηρία. Καὶ τοὺς*

---

1. Οἱ κάτοικοι τῆς Μυσίας εἶχον τὴν φήμην ἀδυνάτου φυλῆς καὶ περιεφρονοῦντο ἀπὸ ὅλους γι' αὐτό. Ἡ παροιμία ἐλέγετο διὰ τοὺς πολὺ δειλούς, οἱ ὁποῖοι ἦτο δυνατὸν νὰ γίνουν ἀκόμη καὶ τῶν Μυσῶν λεία.

Εἰς αὐτὴν λοιπὸν τὴν ψυχικὴν διάθεσιν εὑρίσκονται ἐκεῖνοι ποὺ διαπράττουν ἀδικήματα.

Ἰδοὺ τώρα τίνος εἴδους ἀνθρώπους ἀδικοῦν καὶ τίνος εἴδους ἀδικήματα διαπράττουν. Ἀδικοῦν πρῶτα πρῶτα τοὺς ἀνθρώπους ποὺ κατέχουν (διάφορα ἀγαθά), ἐκεῖνοι ποὺ τὰ στεροῦνται, εἴτε πρόκειται περὶ στερήσεως τῶν ἀναγκαίων, εἴτε περὶ στερήσεως τῶν περιττῶν, εἴτε περὶ στερήσεως μιᾶς ἀπολαύσεως.

Καὶ ἐκείνους ποὺ εἶναι μακρυά, καθὼς καὶ ἐκείνους ποὺ εὑρίσκονται κοντά. Τοὺς μὲν τελευταίους, διότι εὔκολα ἐπιτυγχάνεται τὸ ἄδικον ἀποτέλεσμα, τοὺς δὲ πρώτους, διότι ἡ ἐκδίκησις ἀργεῖ νὰ ἐπέλθῃ. Αὐτὸ συμβαίνει, λόγου χάριν, μὲ ἐκείνους ποὺ λεηλατοῦν τοὺς Καρχηδονίους.

Ἀδικοῦν ἐπίσης ἐκείνους ποὺ δὲν βάζουν τὸ κακὸ στὸν νοῦν των, οὔτε προφυλάσσονται, ἀλλ' εἶναι μᾶλλον εὔπιστοι. Διότι εὔκολα διαφεύγει κανεὶς τὴν προσοχὴν αὐτῶν τῶν ἀνθρώπων. Ἐπίσης δὲ καὶ τοὺς ὀκνηρούς Διότι πρέπει νὰ εἶναι κανεὶς ἐπιμελὴς διὰ νὰ τοὺς καταδιώξῃ δικαστικῶς. Ἀκόμη ἀδικοῦν τοὺς ντροπαλοὺς ἀνθρώπους, διότι αὐτοὶ ἀποφεύγουν νὰ ἀνοίξουν πόλεμον διὰ ζητήματα ὑλικοῦ κέρδους.

Ἐπίσης ἐκείνους ποὺ ἔχουν ἀδικηθῆ ἀπὸ πολλούς, χωρὶς νὰ τοὺς καταδιώξουν δικαστικῶς. Αὐτοὶ εἶναι, ὅπως λέγει ἡ παροιμία, «λεία τῶν Μυσῶν» [1].

Ἀδικοῦν ἀκόμη ἐκείνους ποὺ δὲν ἔχουν γίνει ποτὲ θύματα ἀδικήματος, καθὼς καὶ ἐκείνους ποὺ πολλὲς φορὲς ἔχουν ἀδικηθῆ. Πράγματι, καὶ αὐτοὶ καὶ ἐκεῖνοι δὲν προφυλάσσονται. Οἱ μὲν πρῶτοι, διότι δὲν ἔχουν ἀφορμὴν νὰ προφυλάττωνται, ἀφοῦ δὲν ἔχουν ἀδικηθῆ ποτέ. Οἱ δεύτεροι πάλιν διότι δὲν πιστεύουν πλέον ὅτι θὰ τὴν πάθουν ἀκόμη μιὰ φορά.

Ἀδικοῦν ἐπίσης ἐκείνους ποὺ ἔχουν συκοφαντηθῆ ἢ εἶναι εὔκολον νὰ συκοφαντηθοῦν. Πράγματι, αὐτοὶ δὲν ἔχουν ὄρεξιν νὰ καταδιώξουν δικαστικῶς ἐκείνους ποὺ τοὺς ἠδίκησαν, διότι φοβοῦνται τοὺς δικαστάς, οὔτε εἶναι δυνατὸν νὰ γίνουν πιστευτοὶ ἀπὸ ἐκείνους ποὺ τοὺς μισοῦν καὶ τοὺς φθονοῦν.

Ἀδικοῦν ἐπίσης ἐκείνους, διὰ τοὺς ὁποίους ἔχουν τὴν πρόφασιν ὅτι οἱ πρόγονοί των ἢ αὐτοὶ οἱ ἴδιοι ἢ οἱ φίλοι των τοὺς ἔκαμαν κακό, ἢ ἐμελέτησαν νὰ τοὺς κάμουν κακὸ ἢ εἰς αὐτοὺς τοὺς ἰδίους, ἢ εἰς τοὺς προγόνους των, ἢ εἰς

ἐχθροὺς καὶ τοὺς φίλους· τοὺς μὲν γὰρ ῥάδιον, τοὺς δὲ ἡδύ. Καὶ τοὺς ἀφίλους καὶ τοὺς μὴ δεινοὺς εἰπεῖν ἢ πρᾶξαι· ἢ γὰρ οὐκ ἐγχειροῦσιν ἐπεξιέναι, ἢ καταλλάττονται, ἢ οὐδὲν περαίνουσιν. Καὶ οἷς μὴ λυσιτελεῖ διατρίβειν ἐπιτηροῦσιν ἢ δίκην ἢ ἔκτισιν, οἷον οἱ ξένοι καὶ αὐτουργοί. Ἐπὶ μικρῷ τε γὰρ διαλύονται καὶ ῥᾳδίως καταπαύονται. Καὶ τοὺς πολλὰ ἠδικηκότας, ἢ τοιαῦτα οἷα ἀδικοῦνται· ἐγγὺς γάρ τι δοκεῖ τοῦ μὴ ἀδικεῖν εἶναι, ὅταν τι τοιοῦτον ἀδικηθῇ τις οἷον εἰώθει καὶ αὐτὸς ἀδικεῖν· λέγω δ' οἷον εἴ τις τὸν εἰωθότα ὑβρίζειν αἰκίσαιτο. Καὶ τοὺς ἢ πεποιηκότας κακῶς ἢ βουληθέντας ἢ βουλομένους ἢ ποιήσοντας. Ἔχει γὰρ καὶ τὸ ἡδὺ καὶ τὸ καλόν, καὶ ἐγγὺς τοῦ μὴ ἀδικεῖν φαίνεται. Καὶ οἷς χαριοῦνται ἢ φίλοις ἢ θαυμαζομένοις ἢ ἐρωμένοις ἢ κυρίοις ἢ ὅλως πρὸς οὓς ζῶσιν αὐτοί. Καὶ πρὸς οὓς ἔστιν ἐπιεικείας τυχεῖν. Καὶ οἷς ἂν ἐγκεκληκότες ὦσιν καὶ προδιακεχωρηκότες, οἷον Κάλλιππος ἐποίησεν τὰ περὶ Δίωνα· καὶ γὰρ τὰ τοιαῦτα ἐγγὺς τοῦ μὴ ἀδικεῖν φαίνεται. Καὶ τοὺς ὑπ' ἄλλων μέλλοντας, ἂν μὴ αὐτοί, ὡς οὐκέτι ἐνδεχόμενον βουλεύσασθαι, ὥσπερ λέγεται Αἰνεσίδημος Γέλωνι πέμψαι κοττάβια ἀνδραποδισαμένῳ...,

---

1-2. Ὁ Δίων ὁ Συρακούσιος, τύραννος τῶν Συρακουσῶν μετὰ τὴν διὰ συνωμοσίας ἐκθρόνισιν τοῦ ἀνεψιοῦ του Δίωνος τοῦ νεωτέρου (357-354 π.Χ.), ὑπῆρξε μαθητὴς τοῦ Πλάτωνος. Ὁ δεσποτισμός του ὅμως προεκάλεσε τὸ μῖσος τῶν Συρακουσίων καὶ ἐδολοφονήθη ἀπὸ τὸν Κάλλιππον, ἀρχηγὸν τῶν δημοκρατικῶν εἰς τὰς Συρακούσας.

3. Ὁ κότταβος ἦτο παιγνίδι σικελικὸν (Ἀνακρ. 52, «Κριτίας» 1, 1), πολὺ συνηθισμένον εἰς τὰ συμπόσια τῶν νέων ἐν Ἀθήναις. Οἱ παίζοντες ἄδειαζαν μὲ δύναμιν μέσα εἰς μίαν μεταλλίνην λεκάνην τὸ κρασὶ ποὺ ὑπελείπετο στὰ ποτήρια των καὶ συγχρόνως ἐφώναζαν τὸ ὄνομα τῆς ἐρωμένης των. Νικητὴς ἐθεωρεῖτο ἐκεῖνος ποὺ ὁ ἦχος τοῦ πίπτοντος εἰς τὴν λεκάνην κρασιοῦ ἦτο διαυγὴς καὶ διακεκριμένος. Ἐθεωρεῖτο τότε ὅτι ἡ ἐρωμένη του τὸν ἀγαπᾷ.

4. Ὁ Γέλων ἦταν τύραννος τῆς Γέλας καὶ τῶν Συρακουσῶν ἀπὸ τὸ 484-478 π. Χ. Ἐνίκησε τοὺς Καρχηδονίους εἰς τὴν Ἱμέραν καὶ ἔγινε κύριος σχεδὸν ὁλοκλήρου τῆς Σικελίας.

τὰ πρόσωπα, διὰ τὰ ὁποῖα ἐνδιαφέρονται. Διότι, ὅπως τὸ λέγει ἡ παροιμία, «ὁ κακὸς ἀφορμὴ γυρεύει».

Ἀδικοῦν ἐπίσης τοὺς ἐχθρούς, ὅπως ἐξ ἄλλου καὶ τοὺς φίλους. Τοὺς πρώτους, διότι εἶναι εὐχάριστον νὰ τοὺς κάμῃ κανεὶς κακόν, τοὺς ἄλλους δὲ πάλιν, διότι εἶναι εὔκολον. Ἐπίσης ἀδικοῦν ἐκείνους ποὺ δὲν ἔχουν φίλους, καθὼς καὶ ἐκείνους ποὺ δὲν εἶναι ἱκανοὶ νὰ ὁμιλοῦν ἢ νὰ ἐνεργοῦν. Διότι αὐτοὶ ἢ δὲν ἐπιχειροῦν καθόλου δικαστικὴν καταδίωξιν, ἢ συμβιβάζονται, ἢ δὲν ἠμποροῦν νὰ φέρουν τίποτε εἰς πέρας.

Ἀδικοῦν ἐπίσης ἐκείνους εἰς τοὺς ὁποίους δὲν συμφέρει νὰ χασομεροῦν, διὰ νὰ παρακολουθοῦν τὴν διεξαγωγὴν μιᾶς δίκης ἢ τὴν ἐκτέλεσιν τῆς ἀποφάσεως, ὅπως, λόγου χάριν, οἱ ξένοι καὶ οἱ βιοπαλαισταί. Διότι αὐτοὶ μὲ μικρὰ ἀνταλλάγματα παραιτοῦνται καὶ ἀποσύρουν εὔκολα τὴν μήνυσίν των.

Καὶ ἐκείνους ποὺ ἔχουν διαπράξει πολλὰ ἀδικήματα, ἢ ὅμοια μὲ αὐτὸ ποὺ ἤδη ὑφίστανται. Διότι θεωρεῖται ὅτι σχεδὸν δὲν διαπράττει ἀδίκημα ἐκεῖνος ποὺ κάμνει εἰς βάρος ἑνὸς προσώπου ὅ,τι τὸ πρόσωπον αὐτὸ συνηθίζει νὰ κάμνῃ ἐναντίον ἄλλων. Ὁμιλῶ, ἐπὶ παραδείγματι, διὰ τὴν περίπτωσιν ποὺ κάποιος θὰ ἔδερνε ἐκεῖνον ποὺ συνηθίζει νὰ προσβάλλῃ ὅλον τὸν κόσμον.

Καὶ ἐκείνους ποὺ μᾶς ἔκαμαν κακόν, ἢ ἐμελέτησαν, ἢ μελετοῦν, ἢ πρόκειται νὰ μᾶς κάμουν κακόν. Αὐτό, πράγματι, εἶναι εὐχάριστον καὶ ὡραῖον καὶ σχεδὸν φαίνεται ὅτι δὲν ἀποτελεῖ ἀδίκημα.

Ἀδικοῦν ἐπίσης ἐκείνους ποὺ ἡ βλάβη των θὰ εὐχαριστήσῃ τοὺς φίλους, ἢ τοὺς ἀνθρώπους ποὺ θαυμάζουν ἢ τοὺς ἐρωμένους ἢ τοὺς κυρίους ἢ ἐκείνους, κοντὰ στοὺς ὁποίους ζῇ ὁ δράστης. Ἐπίσης ἐκείνους ποὺ περιμένει κανεὶς ὅτι θὰ τὸν κρίνουν ἐπιεικῶς.

Ἀδικοῦν ἐπίσης ἐκείνους τοὺς ὁποίους ἔχουν ἤδη καταγγείλει εἰς τὸ δικαστήριον καὶ τὰ ἔχουν χαλάσει μαζί των. Ἔτσι ἐφέρθηκε ὁ Κάλλιππος [1] πρὸς τὸν Δίωνα [2]. Τοῦτο δὲ σχεδὸν δὲν εἶναι ἀδικία.

Ἀδικοῦν ἐπίσης ἐκείνους πού, ἂν δὲν προλάβουν αὐτοὶ οἱ ἴδιοι, πρόκειται νὰ τοὺς ἀδικήσουν ἄλλοι. Διότι τότε δὲν μένει καιρὸς νὰ σκεφθῇ κανεὶς περισσότερον. Ἔτσι λέγεται ὅτι ὁ Αἰνεσίδημος ἔστειλε τὸ ἔπαθλον τοῦ κοττάβου [3] εἰς τὸν Γέλωνα [4], ποὺ εἶχεν ἐξανδραποδίσει κάποιαν πόλιν, ἐπειδὴ τὸν ἐπρόλαβεν εἰς τὴν ἐκτέλεσιν τοῦ σχεδίου ποὺ καὶ αὐτὸς ὁ ἴδιος εἶχε.

ὅτι ἔφθασεν, ὡς καὶ αὐτὸς μέλλων. Καὶ οὓς ἀδικήσαντες δυνήσονται πολλὰ δίκαια πράττειν, ὡς ῥᾳδίως ἰασόμενοι, ὥσπερ ἔφη Ἰάσων ὁ Θετταλὸς δεῖν ἀδικεῖν ἔνια, ὅπως δύνηται καὶ δίκαια πολλὰ ποιεῖν. Καὶ ἃ πάντες ἢ πολλοὶ ἀδικεῖν εἰώθασιν· συγγνώμης γὰρ οἴονται τεύξεσθαι. Καὶ τὰ ῥᾴδια κρύψαι· τοιαῦτα δὲ ὅσα ταχὺ ἀναλίσκεται, οἷον τὰ ἐδώδιμα. Ἢ τὰ εὐμετάβλητα σχήμασιν ἢ χρώμασιν ἢ κράσεσιν, ἢ ἃ πολλαχοῦ ἀφανίσαι εὔπορον· τοιαῦτα δὲ τὰ εὐβάστακτα καὶ ἐν μικροῖς τόποις ἀφανιζόμενα. Καὶ οἷς ἀδιάφορα καὶ ὅμοια πολλὰ προϋπῆρχεν τῷ ἀδικοῦντι. Καὶ ὅσα αἰσχύνονται οἱ ἀδικηθέντες λέγειν, οἷον γυναικῶν οἰκείων ὕβρεις ἢ εἰς αὐτοὺς ἢ [εἰς] υἱεῖς. Καὶ ὅσα φιλοδικεῖν δόξειεν ἂν ὁ ἐπεξιών· τοιαῦτα δὲ τὰ μικρὰ καὶ ἐφ' οἷς συγγνώμη. Ὡς μὲν οὖν ἔχοντες ἀδικοῦσι, καὶ ποῖα καὶ ποίους καὶ διὰ τί, σχεδὸν ταῦτ' ἐστίν.

1373b **13.** *Τὰ δ' ἀδικήματα πάντα καὶ τὰ δικαιώματα διέλωμεν ἀρξάμενοι πρῶτον ἐντεῦθεν. Ὥρισται δὴ τὰ δίκαια καὶ τὰ ἄδικα πρός τε νόμους δύο καὶ πρὸς οὓς ἐστι διχῶς. Λέγω δὲ νόμον τὸν μὲν ἴδιον τὸν δὲ κοινόν, ἴδιον μὲν τὸν ἑκάστοις ὡρισμένον πρὸς αὐτούς, καὶ τοῦτον τὸν μὲν ἄγραφον τὸν δὲ γεγραμμένον, κοινὸν δὲ τὸν κατὰ φύσιν. Ἔστι*

1. Τύραννος τῶν Φερρῶν κατὰ τὸ 370 π. Χ. Προσεπάθησε νὰ ὑπαγάγῃ τὴν Ἑλλάδα ὑπὸ τὴν ἐπιρροήν του, ἀλλὰ πρὶν τὸ ἐπιτύχῃ ἐδολοφονήθη.

Ἐπίσης ἐκείνους ποὺ ἂν τοὺς ἀδικήσουν, θὰ μπορέσουν ἔπειτα νὰ κάμουν πρὸς χάριν των πολλὰς δικαίας πράξεις. Διότι εὔκολα θὰ ἐπανορθώσουν τὸ κακὸ ποὺ τοὺς ἔκαμαν. Ἔτσι ὁ Ἰάσων ὁ Θεσσαλὸς [1] εἶπεν ὅτι πρέπει κανεὶς νὰ κάμῃ μερικὰ ἀδικήματα, διὰ νὰ ἠμπορῇ νὰ ἐκτελέσῃ καὶ πολλὰς δικαίας πράξεις.

Ἐκτελεῖ κανεὶς ἐπίσης καὶ ἐκεῖνα τὰ ἀδικήματα ποὺ ἐκτελοῦν συνήθως ὅλοι, ἢ πάρα πολλοὶ ἄνθρωποι. Διότι ἔτσι νομίζουν ὅτι γίνονται συγγνωστοί.

Κλέβει κανεὶς ἐκεῖνα τὰ πράγματα ποὺ εἶναι εὔκολον νὰ τὰ κρύψῃ. Δηλ. ὅσα καταναλίσκονται γρήγορα, ὅπως τὰ φαγώσιμα, ἢ ὅσα εἶναι δυνατὸν εὔκολα νὰ μεταποιηθοῦν κατὰ τὸ σχῆμα, τὸ χρῶμα ἢ τὴν σύνθεσιν.

Καθὼς καὶ ἐκεῖνα ποὺ μπορεῖ κανεὶς εὔκολα νὰ τὰ κρύψῃ εἰς διάφορα μέρη, ὅπως ὅσα ἠμπορεῖ εὔκολα νὰ σηκώσῃ ἢ ὅσα ἠμποροῦν νὰ κρυφθοῦν εἰς μικρὰ μέρη.

Ἐπίσης ἐκεῖνα ποὺ πολλὰ ὅμοιά των καὶ ἀπαράλλακτα εἶχε καὶ ἀπὸ πρὶν ὁ κλέπτης. Ἐπίσης κάμνει κανεὶς ἐκεῖνα τὰ ἀδικήματα, ποὺ ὁ παθὼν θὰ ντραπῇ νὰ τὰ ἀναφέρῃ, ὅπως εἶναι αἱ προσβολαὶ ἐναντίον τῶν γυναικῶν τῆς οἰκογενείας, ἢ αὐτοῦ τοῦ ἰδίου ἢ τῶν υἱῶν του. Ἀκόμη δὲ καὶ τὰ ἀδικήματα ποὺ ὅποιος τὰ κατεδίωκε θὰ ἐθεωρεῖτο φιλόδικος, δηλαδὴ τὰ ἀσήμαντα καὶ τὰ συγγνωστά.

Ἐξεθέσαμεν σχεδὸν εἰς ποίαν ψυχικὴν διάθεσιν εὑρίσκονται ἐκεῖνοι ποὺ διαπράττουν ἀδικήματα, τὴν φύσιν τῶν διαφόρων ἀδικημάτων, τὰ πρόσωπα ἐναντίον τῶν ὁποίων στρέφονται, καθὼς καὶ τὰ ἐλατήριά των.

13. ΦΥΣΙΚΟΝ ΚΑΙ ΘΕΤΟΝ ΔΙΚΑΙΟΝ. ΕΠΙΕΙΚΕΙΑ

Ἂς κάμωμεν τώρα τὰς πρεπούσας διακρίσεις μεταξὺ ἀδίκων καὶ δικαίων πράξεων. Ὡς ἀφετηρίαν μας θὰ ἔχωμεν τὸν ὁρισμὸν ποὺ ἤδη ἔχομεν δώσει. Ὅτι δηλ. ὑπάρχουν δύο εἰδῶν νόμοι, καὶ ἐν σχέσει πρὸς αὐτοὺς εἶναι δυνατὸν νὰ κριθῇ ἡ κάθε πρᾶξις ὡς δικαία ἢ ἄδικος κατὰ δύο τρόπους.

Ἐννοῶ μὲ αὐτὸ τὸν θετὸν καὶ τὸν φυσικὸν νόμον. Θετὸς νόμος εἶναι ἐκεῖνος ποὺ κάθε πολιτεία ἔχει τάξει εἰς τὰ μέλη της. Οἱ νόμοι αὐτοὶ εἶναι ἄλλοτε ἄγραφοι καὶ ἄλλοτε γραπτοί. Φυσικὸς δὲ εἶναι ἐκεῖνος ποὺ διέπεται ἀπὸ τοὺς

γὰρ ὃ μαντεύονταί τι πάντες, φύσει κοινὸν δίκαιον καὶ ἄδικον, κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλους ᾖ μηδὲ συνθήκη, οἷον καὶ ἡ Σοφοκλέους Ἀντιγόνη φαίνεται λέγουσα, ὅτι δίκαιον ἀπειρημένον θάψαι τὸν Πολυνείκη, ὡς φύσει ὂν τοῦτο δίκαιον·

οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ τοῦτο, κοὐδεὶς οἶδεν ἐξ ὅτου φάνη.

καὶ ὡς Ἐμπεδοκλῆς λέγει περὶ τοῦ μὴ κτείνειν τὸ ἔμψυχον· τοῦτο γὰρ οὐ τισὶ μὲν δίκαιον τισὶ δ' οὐ δίκαιον,

ἀλλὰ τὸ μὲν πάντων νόμιμον διά τ' εὐρυμέδοντος
αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου Αὐγῆς

καὶ ὡς ἐν τῷ Μεσσηνιακῷ λέγει Ἀλκιδάμας... [ἐλευθέρους ἀφῆκε πάντας θεός, οὐδένα δοῦλον ἡ φύσις πεποίηκεν]. Πρὸς οὓς δέ, διώρισται δίχα· ὥρισται γὰρ πρὸς τὸ κοινὸν ἢ πρὸς ἕνα τῶν κοινωνούντων, ἃ δεῖ πράττειν καὶ μὴ πράττειν. Διὸ καὶ τἀδικήματα καὶ τὰ δικαιώματα διχῶς ἔστιν ἀδικεῖν καὶ δικαιοπραγεῖν· ἢ γὰρ πρὸς ἕνα καὶ ὡρισμένον ἢ πρὸς τὸ κοινόν· ὁ γὰρ μοιχεύων καὶ τύπτων ἀδικεῖ τινα τῶν ὡρισμένων, ὁ δὲ μὴ στρατευόμενος τὸ κοινόν.

---

1. Σοφοκλέους «Ἀντιγόνη» στίχ. 456 - 457. Μετάφρασις Κ. Μάνου (ἐκδ. Ζαχαροπούλου ἀριθ. 20).

2. Φιλόσοφος ἀπὸ τὸν Ἀκράγαντα. Αἱ γνώσεις του ἐξετείνοντο εἰς μέγαν κύκλον θεμάτων (φιλοσοφίαν, μουσικήν, ποίησιν, φυσικήν, ἰατρικήν), γι' αὐτὸ καὶ ἐθεωρήθη μάγος. Ἡ παράδοσις λέγει ὅτι ηὐτοκτόνησε ριφθεὶς εἰς τὸ ἐν ἀναφλέξει ἡφαίστειον τῆς Αἴτνας διὰ νὰ νομίσουν οἱ συμπολῖται του ὅτι ἀνέβηκεν εἰς τὸν οὐρανόν, μὴ εὑρίσκοντες κανὲν ἴχνος του εἰς τὴν γῆν.

3. Ἐννοεῖ τὸ φυσικὸν δίκαιον, τὸ αἰώνιον καὶ μὴ θετόν, κατὰ τὴν ἀντίληψιν τῆς φυσικῆς φιλοσοφίας.

4. Ὁ Ἀλκιδάμας ἦτο ρήτωρ καὶ σοφιστής, ἀντίπαλος τοῦ Ἰσοκράτους, καὶ ὑπεστήριξε πολιτικὴν ἀντισπαρτιατικήν. Ὁ «Μεσσηνιακός» του λόγος δὲν διεσώθη. Ὁ σχολιαστὴς ὅμως διασώζει τὴν φράσιν τοῦ Ἀλκιδάμαντος ποὺ ὑπαινίσσεται ὁ Ἀριστοτέλης: «ὁ Θεὸς ἄφησεν ὅλους τοὺς ἀνθρώπους ἐλευθέρους καὶ ἡ φύσις δὲν ἔπλασε κανένα δοῦλον». Πρβλ. Vahlen, Der rhetor Alkidamas ἐν Sitzungs-

φυσικούς νόμους. Καὶ πράγματι, ἐκ φύσεως ὑπάρχουν ὡρισμέναι πράξεις ποὺ εἶναι κοινῶς δι' ὅλον τὸν κόσμον δίκαιαι ἢ ἄδικοι, καὶ τὰς ἀναγνωρίζουν ὅλοι ὡς τοιαύτας μὲ ἕνα εἶδος μαντείας, καὶ ἂν ἀκόμη δὲν ὑπάρχει καμμία ἐπικοινωνία ἢ συμφωνία μεταξύ των. Ἔτσι καὶ ὁ Σοφοκλῆς μᾶς παρουσιάζει τὴν Ἀντιγόνην, ποὺ λέγει ὅτι, ἂν καὶ ἀπαγορεύεται, εἶναι δίκαιον νὰ θάψῃ τὸν Πολυνείκην, διότι αὐτὸ ἐπιβάλλει ὁ φυσικὸς νόμος·

«Γιατὶ ὄχι σήμερα καὶ χτές. Αὐτὰ θὰ ζοῦνε πάντα.
Καὶ πότε πρωτογίνηκαν κανένας δὲν τὸ ξέρει [1]».

Κατὰ τὸν ἴδιον τρόπον ὁ Ἐμπεδοκλῆς [2], μέσα εἰς τοὺς ἀκολούθους στίχους πραγματεύεται περὶ τοῦ ὅτι δὲν πρέπει ποτὲ κανεὶς νὰ σκοτώνῃ ἔμψυχα ὄντα, διότι ἡ πρᾶξις αὐτὴ δὲν εἶναι δυνατὸν νὰ θεωρῆται ἀπὸ ἄλλους μὲν δικαία καὶ ἀπὸ ἄλλους ἄδικος:

«Ἀλλὰ ὁ γενικὸς αὐτὸς νόμος ἁπλώνεται
πανίσχυρος καὶ ὁλόλαμπρος στὸν πλατὺν οὐρανό» [3].

Ὑπὸ τὸ ἴδιον πνεῦμα ὁμιλεῖ καὶ ὁ Ἀλκιδάμας [4], εἰς τὸν Μεσσηνιακόν [4] του λόγον... [ὁ Θεὸς ἄφησεν ὅλους τοὺς ἀνθρώπους ἐλευθέρους καὶ ἡ φύσις δὲν ἔπλασε κανένα δοῦλον] [4].

Ἐν σχέσει πρὸς τὰ πρόσωπα ποὺ ἀφοροῦν αἱ δίκαιαι καὶ ἄδικοι πράξεις, παρατηροῦμεν δύο εἴδη των. Πράγματι, οἱ νόμοι ὁρίζουν τί πρέπει κανεὶς νὰ πράττῃ ἢ νὰ μὴ πράττῃ ἔναντι εἴτε τοῦ κοινωνικοῦ συνόλου, εἴτε ἑνὸς ἑκάστου τῶν μελῶν τῆς κοινωνίας. Ἔτσι ὑπάρχουν δύο μορφαὶ ὑπὸ τὰς ὁποίας ἐκτελεῖται κάθε ἄδικος ἢ δικαία πρᾶξις. Ἢ ἀπευθύνεται πρὸς ἕνα καὶ ὡρισμένον πρόσωπον ἢ πρὸς ὁλόκληρον τὴν κοινωνικὴν ὁμάδα. Καὶ πράγματι, ἐκεῖνος ποὺ διαπράττει μοιχείαν ἢ δέρνει κάποιον ἄλλον, ἀδικεῖ ἕνα ὡρισμένον πρόσωπον. Ἐνῷ ὁ φυγόστρατος ὁλόκληρον τὴν κοινωνίαν.

---

Αὐτὰ λοιπὸν εἶναι τὰ ἐπιχειρήματα ποὺ πρέπει νὰ μεταχειριζώμεθα διὰ νὰ προτρέψωμεν ἢ νὰ ἀποτρέψωμεν, νὰ ἐπαινέσωμεν ἢ νὰ ψέξωμεν, νὰ κατηγορήσωμεν ἢ νὰ ἀπολογηθῶμεν. Καὶ αὐταὶ εἶναι αἱ γνῶμαι καὶ αἱ προτάσεις ποὺ χρησιμεύουν διὰ νὰ ἀποδείξωμεν τοὺς λόγους μας. Πράγματι ἀπὸ αὐτὰ προέρχονται καὶ γύρω εἰς αὐτὰ περιστρέφονται τὰ ἐνθυμήματα καὶ τὸ καθ' ἕνα ἰδιαιτέρως ἀπὸ τὰ εἴδη τοῦ ρητορικοῦ λόγου. Ἐπειδὴ ὅμως ἀντικείμενον τῆς ρητορικῆς εἶναι πάντοτε κάποια κρίσις (καὶ πράγματι καὶ αἱ συμβουλαὶ τοῦ πολιτικοῦ ρήτορος κρίνονται καὶ κάθε δικαστικὴ ὑπόθεσις προκαλεῖ μίαν κρίσιν) κατ' ἀνάγκην πρέπει ὁ ρήτωρ νὰ μὴ ἀποβλέπῃ μόνον πρὸς τὸ περιεχόμενον τοῦ λόγου του, πῶς δηλ. τοῦτο θὰ εἶναι πλῆρες ἀποδείξεων καὶ πειστικόν, ἀλλὰ νὰ ἐμφανίζῃ καὶ τὸν ἴδιον τὸν ἑαυτόν του καὶ νὰ προδιαθέτῃ καὶ τὸν δικαστὴν κατὰ κάποιον κατάλληλον τρόπον. Πράγματι πολὺ διαφέρει ἡ πειστικότης, κυρίως μὲν εἰς τοὺς πολιτικοὺς λόγους, ἔπειτα δὲ καὶ εἰς τοὺς δικανικούς, ἀναλόγως τοῦ ἂν ὁ ρήτωρ ἐμφανίζεται ὅτι ἔχει ὡρισμένας ἰδιότητας καὶ πιστεύεται ὅτι διάκειται πρὸς τὸ ἀκροατήριόν του καθ' ὡρισμένον τρόπον, ἀκόμη δὲ καὶ ἀναλόγως τῆς διαθέσεως τοῦ ἀκροατηρίου πρὸς τὸν ρήτορα. Καὶ τὸ νὰ ἐμφανίζεται μὲν ὁ ρήτωρ ὅτι ἔχει κάποια ὡρισμένα προσόντα εἶναι χρησιμώτερον εἰς τοὺς πολιτικοὺς λόγους, ἡ δὲ διάθεσις τοῦ ἀκροατηρίου πρὸς τὸν ρήτορα εἰς τοὺς δικανικούς. Πράγματι δὲν βλέπουν τὰς διαφόρους ὑποθέσεις μὲ τὴν ἰδίαν ὄψιν ἐκεῖνοι ποὺ ἀγαποῦν καὶ ἐκεῖνοι ποὺ μισοῦν οὔτε ἐκεῖνοι ποὺ εἶναι θυμωμένοι καὶ ἐκεῖνοι ποὺ εἶναι ἤρεμοι, ἀλλὰ ἡ κρίσις των εἶναι ἢ ἐντελῶς διαφορετικὴ ἢ πάντως διαφέρει ποσοτικῶς.

Διότι ἐκεῖνος ποὺ ἀγαπᾷ τὸν ὑπόδικον ἢ θὰ θεωρήσῃ ὅτι δὲν ὑπέπεσε καθόλου εἰς ἀδίκημα ἢ ὅτι ὑπέπεσεν εἰς μικρὸν ἀδίκημα· ἐκεῖνος ὅμως ποὺ μισεῖ θὰ κρίνῃ ἀντιθέτως. Καὶ πάλιν, ἐκεῖνος μὲν ποὺ ἐπιθυμεῖ καὶ ἐλπίζει ὅτι πρόκειται

νον ἡδύ, καὶ ἔσεσθαι καὶ ἀγαθὸν ἔσεσθαι φαίνεται, τῷ δ' ἀπαθεῖ καὶ δυσχεραίνοντι τοὐναντίον.

Τοῦ μὲν οὖν αὐτοὺς εἶναι πιστοὺς τοὺς λέγοντας τρία ἐστὶ τὰ αἴτια· τοσαῦτα γάρ ἐστι δι' ἃ πιστεύομεν ἔξω τῶν ἀποδείξεων. Ἔστι δὲ ταῦτα φρόνησις καὶ ἀρετὴ καὶ εὔνοια· διαψεύδονται γὰρ περὶ ὧν λέγουσιν ἢ συμβουλεύουσιν ἢ δι' ἅπαντα ταῦτα ἢ διὰ τούτων τι· ἢ γὰρ δι' ἀφροσύνην οὐκ ὀρθῶς δοξάζουσιν, ἢ δοξάζοντες ὀρθῶς διὰ μοχθηρίαν οὐ τὰ δοκοῦντα λέγουσιν, ἢ φρόνιμοι μὲν καὶ ἐπιεικεῖς εἰσὶν ἀλλ' οὐκ εὖνοι, διόπερ ἐνδέχεται μὴ τὰ βέλτιστα συμβουλεύειν γιγνώσκοντας. Καὶ παρὰ ταῦτα οὐδέν. Ἀνάγκη ἄρα τὸν ἅπαντα δοκοῦντα ταῦτ' ἔχειν εἶναι τοῖς ἀκροωμένοις πιστόν. Ὅθεν μὲν οὖν φρόνιμοι καὶ σπουδαῖοι φανεῖεν ἄν, ἐκ τῶν περὶ τὰς ἀρετὰς διῃρημένων ληπτέον· ἐκ γὰρ τῶν αὐτῶν κἂν ἕτερόν τις κἂν ἑαυτὸν κατασκευάσειε τοιοῦτον· περὶ δ' εὐνοίας καὶ φιλίας ἐν τοῖς περὶ τὰ πάθη λεκτέον· ἔστι δὲ τὰ πάθη δι' ὅσα μεταβάλλοντες διαφέρουσι πρὸς τὰς κρίσεις, οἷς ἕπεται λύπη καὶ ἡδονή, οἷον ὀργὴ ἔλεος φόβος καὶ ὅσα ἄλλα τοιαῦτα, καὶ τὰ τούτοις ἐναντία. Δεῖ δὲ διαιρεῖν περὶ ἕκαστον εἰς τρία, λέγω δ' οἷον περὶ ὀργῆς, πῶς τε διακείμενοι ὀργίλοι εἰσί, καὶ τίσιν εἰώθασιν ὀργίζεσθαι, καὶ ἐπὶ ποίοις· εἰ γὰρ τὸ μὲν ἓν ἢ τὰ δύο ἔχοιμεν τούτων, ἅπαντα δὲ μή, ἀδύνατον ἂν εἴη τὴν ὀργὴν ἐμποιεῖν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Ὥσπερ οὖν

---

1. Βιβλίον Α΄ κεφ. 9.

2. Τὴν ἀπαρίθμησιν τῶν παθῶν κάμνει ὁ Ἀριστοτέλης εἰς τὰ «Ἠθικὰ Νικομάχεια», βιβλ. Β΄ κεφ 5. Εἶναι δὲ αὐτὰ ὁ πόθος, ἡ ὀργή, ὁ φόβος, τὸ θάρρος, ἡ ζηλοτυπία, ἡ εὔνοια, ἡ φιλία, τὸ μῖσος, ὁ φθόνος, ὁ ζῆλος, ὁ οἶκτος καὶ μὲ μίαν λέξιν κάθε τι ποὺ συνοδεύεται ἀπὸ εὐχάριστον ἢ δυσάρεστον συναίσθημα.

νὰ ἐπέλθουν ὡρισμένα εὐχάριστα γεγονότα, ὅταν ἀκούῃ τὸν πολιτικὸν ρήτορα νὰ κάμνῃ σχετικὴν πρότασιν, νομίζει ὅτι πράγματι θὰ συμβοῦν ὅσα ὁ ρήτωρ προτείνει καὶ θὰ βγοῦν σὲ καλό. Ὁ ἀδιάφορος ὅμως καὶ ἐκεῖνος ποὺ μὲ δυσφορίαν θὰ ἴδῃ τὴν πραγματοποίησίν των, θὰ σχηματίσῃ τὴν ἀντίθετον κρίσιν

Τρία εἶναι τὰ αἴτια ποὺ κάμνουν ἀξιοπίστους τοὺς ρήτορας, διότι τρεῖς εἶναι καὶ οἱ λόγοι ποὺ μᾶς κάμνουν νὰ πιστεύωμεν ἀνεξάρτητα ἀπὸ τὰς ἀποδείξεις ποὺ ὑπάρχουν περὶ τῆς ὑποθέσεως. Εἶναι δὲ αὐτὰ ἡ φρόνησις, ἡ ἀρετὴ καὶ ἡ εὐνοϊκὴ διάθεσις τοῦ ρήτορος πρὸς τοὺς ἀκροατάς του. Πραγματικὰ ἀπομακρύνεται κανεὶς ἀπὸ τὴν ἀλήθειαν ἐν σχέσει πρὸς τὸ θέμα τοῦ λόγου του ἢ τῆς συμβουλῆς του, εἴτε διότι τοῦ λείπουν καὶ τὰ τρία αὐτὰ εἴτε καὶ μόνον ἕνα ἀπ' αὐτά. Δηλαδὴ ἢ ὁ ρήτωρ δὲν ἔχει ὀρθὴν γνώμην ἐπειδὴ εἶναι ἀνόητος ἢ ἐνῷ ἔχει ὀρθὴν γνώμην λέγει τὰ ἀντίθετα ἀπὸ ὅσα πιστεύει ἐπειδὴ εἶναι μοχθηρὸς ἢ τέλος εἶναι καὶ φρόνιμος καὶ ἐνάρετος, ἀλλὰ δὲν θέλει τὸ καλὸ τῶν ἀκροατῶν του καὶ τότε εἶναι ἐνδεχόμενο νὰ μὴ δίδῃ τὴν ὀρθοτέραν συμβουλήν, ἐνῷ τὴν ξέρει. Ἐκτὸς αὐτῶν τῶν τριῶν δὲν ὑπάρχει τίποτε ἄλλο. Κατ' ἀνάγκην λοιπὸν ἐκεῖνος ποὺ θεωρεῖται ὅτι ἔχει καὶ τὰ τρία αὐτὰ προσόντα θὰ εἶναι πιστευτὸς ἀπὸ τὸ ἀκροατήριόν του. Ἑπομένως τὰ ἐπιχειρήματα ποὺ θὰ ἐμφανίσουν τὸν ρήτορα ὡς φρόνιμον καὶ ἐνάρετον πρέπει νὰ τὰ ἀρυώμεθα ἀπὸ ὅσα ἐλέχθησαν ἤδη [1] περὶ τῶν ἀρετῶν· διότι μὲ τὰ ἐπιχειρήματα αὐτὰ ἠμπορεῖ κανεὶς εἴτε τοὺς ἄλλους εἴτε τὸν ἑαυτόν του νὰ παρουσιάσῃ ὡς ἐνάρετον. Τώρα δὲ πρέπει νὰ ὁμιλήσωμεν περὶ εὐνοίας καὶ φιλίας καὶ γενικὰ περὶ τῶν παθῶν. Πάθη εἶναι ἐκεῖνα ποὺ ἀλλάσσουν τὴν ψυχικήν μας κατάστασιν καὶ προκαλοῦν διαφορὰν εἰς τὰς κρίσεις μας, συνοδεύονται δὲ ἀπὸ δυσάρεστον ἢ εὐχάριστον συναίσθημα. Ἔτσι ἡ ὀργή, ὁ οἶκτος ὁ φόβος καὶ ὅσαι ἄλλαι καταστάσεις ἀνήκουν εἰς τὴν ἰδίαν κατηγορίαν καθὼς καὶ τὰ ἀντίθετά των, εἶναι πάθη [2]. Πρέπει δὲ σχετικὰ πρὸς κάθε πάθος νὰ κάμωμεν τρεῖς διακρίσεις. Μὲ αὐτὸ ἐννοῶ νὰ ἐξετάσωμεν ὅταν π.χ. πραγματευώμεθα περὶ τῆς ὀργῆς καὶ εἰς ποίαν ψυχικὴν κατάστασιν εὑρίσκονται οἱ ὠργισμένοι ἄνθρωποι καὶ ἐναντίον ποίων συνήθως ὀργίζονται καὶ διὰ ποίους λόγους. Διότι πράγματι, ἐὰν γνωρίζωμεν μόνον τὸ ἕνα ἢ τὰ δύο, ὄχι ὅμως τὸ σύνολον ἀπὸ αὐτὰ τὰ στοιχεῖα, εἶναι ἀδύνατον νὰ προκαλέσωμεν τὴν ὀργήν. Τὸ ἴδιο δὲ πρέπει νὰ ἐξετάσωμεν καὶ σχετικὰ πρὸς ὅλα

καὶ ἐπὶ τῶν προειρημένων διεγράψαμεν τὰς προτάσεις, οὕτω καὶ περὶ τούτων ποιήσωμεν καὶ διέλωμεν τὸν εἰρημένον τρόπον.

2. *Ἔστω δὴ ὀργὴ ὄρεξις μετὰ λύπης τιμωρίας φαινομένης διὰ φαινομένην ὀλιγωρίαν τῶν εἰς αὐτὸν ἢ τῶν αὐτοῦ, τοῦ ὀλιγωρεῖν μὴ προσήκοντος. Εἰ δὴ τοῦτ' ἐστὶν ἡ ὀργή, ἀνάγκη τὸν ὀργιζόμενον ὀργίζεσθαι ἀεὶ τῶν καθ' ἕκαστόν τινι, οἷον Κλέωνι ἀλλ' οὐκ ἀνθρώπῳ, καὶ ὅτι αὐτὸν ἢ τῶν*
1378b *αὐτοῦ τι πεποίηκεν ἢ ἤμελλεν, καὶ πάσῃ ὀργῇ ἕπεσθαί τινα ἡδονὴν τὴν ἀπὸ τῆς ἐλπίδος τοῦ τιμωρήσασθαι· ἡδὺ μὲν γὰρ τὸ οἴεσθαι τεύξεσθαι ὧν ἐφίεται, οὐδεὶς δὲ τῶν φαινομένων ἀδυνάτων ἐφίεται αὑτῷ, ὁ δὲ ὀργιζόμενος ἐφίεται δυνατῶν αὑτῷ. Διὸ καλῶς εἴρηται περὶ θυμοῦ*

ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται·

ἀκολουθεῖ γὰρ καὶ ἡδονή τις διά τε τοῦτο καὶ διότι διατρίβουσιν ἐν τῷ τιμωρεῖσθαι τῇ διανοίᾳ· ἡ οὖν τότε γινομένη φαντασία ἡδονὴν ἐμποιεῖ, ὥσπερ ἡ τῶν ἐνυπνίων. Ἐπεὶ δὲ ἡ ὀλιγωρία ἐστὶν ἐνέργεια δόξης περὶ τὸ μηδενὸς ἄξιον φαινόμενον· καὶ γὰρ τὰ κακὰ καὶ τἀγαθὰ ἄξια οἰόμεθα σπουδῆς εἶναι, καὶ τὰ συντείνοντα πρὸς αὐτά· ὅσα δὲ μηδέν τι ἢ μικρόν, οὐδενὸς ἄξια ὑπολαμβάνομεν· τρία δ' ἐστὶν εἴδη ὀλιγωρίας, καταφρόνησίς τε καὶ ἐπηρεασμὸς καὶ ὕβρις· ὅ τε γὰρ καταφρονῶν ὀλιγωρεῖ (ὅσα γὰρ οἴονται μηδενὸς

---

1. Ὁμήρου Ἰλιὰς Σ 109-110 (μετάφρασις Πολυλᾶ).

τὰ ἄλλα πάθη. Ὅπως λοιπὸν περιεγράψαμεν λεπτομερῶς τὰς προτάσεις ποὺ σχετίζονται μὲ ὅσα θέματα ἐξεθέσαμεν ἀνωτέρω, ἔτσι καὶ τώρα περὶ τῶν παθῶν ἂς κάμωμεν τὰς διακρίσεις ποὺ εἴδαμε ὅτι πρέπει νὰ γίνουν.

2. ΠΕΡΙ ΤΗΣ ΟΡΓΗΣ

Ἂς δεχθῶμεν ὅτι ὀργὴ εἶναι ἡ ἀνάμικτος μετὰ λύπης ἐπιθυμία νὰ ἐκδικηθῶμεν φανερὰ ὡρισμένον πρόσωπον, διότι τοῦτο ἐξεδήλωσε περιφρόνησιν ἀπεναντί μας ἢ ἀπέναντι πραγμάτων ποὺ σχετίζονται πρὸς ἡμᾶς, ἐνῶ δὲν ἔπρεπε. Ἂν ὅμως αὐτὸ τὸ πρᾶγμα εἶναι ἡ ὀργή, τότε, κατ' ἀνάγκην, ἐκεῖνος ποὺ ὀργίζεται, ὀργίζεται πάντοτε ἐναντίον ἑνὸς ὡρισμένου προσώπου, λόγου χάριν ἐναντίον τοῦ Κλέωνος καὶ ὄχι γενικὰ ἐναντίον τοῦ ἀνθρώπου, ἡ δὲ ὀργή του προέρχεται διότι ἐκεῖνος ποὺ τὴν ἐπροκάλεσε ἔκαμε ἢ ἐπρόκειτο νὰ κάμῃ κάτι κακὸν εἰς αὐτὸν ἢ εἰς τὰ πράγματα ποὺ σχετίζονται μὲ αὐτόν· καὶ κάθε ὀργὴ συνοδεύεται ἀπὸ κάποιαν ἡδονὴν ποὺ προέρχεται ἀπὸ τὴν ἐλπίδα τῆς ἐκδικήσεως. Διότι, ἀλήθεια, τὸ νὰ πιστεύωμεν ὅτι θὰ ἐπιτύχωμεν ἐκεῖνα ποὺ ἐπιθυμοῦμεν μᾶς προξενεῖ ἡδονήν. Ἐξ ἄλλου δὲ κανεὶς δὲν ἐπιθυμεῖ ἐκεῖνα ποὺ τοῦ φαίνονται ἀπραγματοποίητα· καὶ ἐκεῖνος δὲ ποὺ ὀργίζεται, ἐπιθυμεῖ πράγματα ποὺ ἠμπορεῖ νὰ τὰ ἐπιτύχῃ. Καὶ γι' αὐτὸ ὀρθῶς ἐλέχθη περὶ τοῦ θυμοῦ

Ἡ χολή...
Ποὺ μὲς στὰ στήθη χύνεται γλυκειὰ καὶ μελωμένη [1]

Συνοδεύεται δὲ ἀπὸ ἡδονὴν ἡ ὀργὴ ὄχι μόνον διὰ τὸν ἀνωτέρω λόγον ἀλλὰ καὶ διότι ὁ θυμωμένος ἀναπαριστᾶ μέσα στὸ μυαλό του τὴν ἐκδίκησιν. Αὐτὸ δὲ ποὺ φαντάζεται τότε δημιουργεῖ κάποιο εἶδος ἡδονῆς ἀνάλογον μὲ ἐκεῖνο ποὺ μᾶς προκαλοῦν τὰ ὄνειρα.

Ἡ δὲ περιφρόνησις εἶναι τὸ ἀποτέλεσμα μιᾶς γνώμης ποὺ τείνει νὰ θεωρήσῃ ὅτι τὸ ἀντικείμενόν της δὲν ἔχει καμμίαν ἀξίαν. Διότι καὶ εἰς τὰ καλὰ καὶ εἰς τὰ κακὰ καὶ εἰς ὅσα σχετίζονται πρὸς αὐτά, ἀποδίδομεν πάντοτε κάποιαν σημασίαν. Δὲν θεωροῦμεν δὲ ἀξιόλογα μόνον ἐκεῖνα ποὺ εἶναι τιποτένια ἢ ἀσήμαντα. Ὑπάρχουν δὲ τρία εἴδη περιφρονήσεως, ἡ καταφρόνησις, ἡ ἀντίδρασις καὶ ἡ προσβολή. Πράγματι ἐκεῖνος ποὺ καταφρονεῖ ἀδιαφορεῖ, διότι κατα-

ἄξια, τούτων καταφρονοῦσιν, τῶν δὲ μηδενὸς ἀξίων ὀλιγωροῦσιν) καὶ ὁ ἐπηρεάζων [φαίνεται καταφρονεῖν·] ἔστιν γὰρ ὁ ἐπηρεασμὸς ἐμποδισμὸς ταῖς βουλήσεσιν μὴ ἵνα τι αὐτῷ ἀλλ' ἵνα μὴ ἐκείνῳ. Ἐπεὶ οὖν οὐχ ἵνα αὐτῷ τι, ὀλιγωρεῖ· δῆλον γὰρ ὅτι οὔτε βλάψειν ὑπολαμβάνει, ἐφοβεῖτο γὰρ ἂν καὶ οὐκ ὠλιγώρει, οὔτ' ὠφελῆσαι ἂν οὐδὲν ἄξιον λόγου, ἐφρόντιζε γὰρ ἂν ὥστε φίλος εἶναι. Καὶ ὁ ὑβρίζων δὲ ὀλιγωρεῖ· ἔστι γὰρ ὕβρις τὸ πράττειν καὶ λέγειν ἐφ' οἷς αἰσχύνη ἐστὶν τῷ πάσχοντι, μὴ ἵνα τι γίγνηται αὐτῷ ἄλλο ἢ ὅτι ἐγένετο, ἀλλ' ὅπως ἡσθῇ· οἱ γὰρ ἀντιποιοῦντες οὐχ ὑβρίζουσιν ἀλλὰ τιμωροῦνται. Αἴτιον δὲ τῆς ἡδονῆς τοῖς ὑβρίζουσιν, ὅτι οἴονται κακῶς δρῶντες αὐτοὺς ὑπερέχειν μᾶλλον. Διὸ οἱ νέοι καὶ οἱ πλούσιοι ὑβρισταί· ὑπερέχειν γὰρ οἴονται ὑβρίζοντες. Ὕβρεως δὲ ἀτιμία, ὁ δ' ἀτιμάζων ὀλιγωρεῖ· τὸ γὰρ μηδενὸς ἄξιον οὐδεμίαν ἔχει τιμήν, οὔτε ἀγαθοῦ οὔτε κακοῦ. Διὸ λέγει ὀργιζόμενος ὁ Ἀχιλλεὺς

> *ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς*

καὶ

> *ὡς εἴ τιν' ἀτίμητον μετανάστην,*

ὡς διὰ ταῦτα ὀργιζόμενος. Προσήκειν δὲ οἴονται πολυωρεῖσθαι ὑπὸ τῶν ἡττόνων κατὰ γένος, κατὰ δύναμιν, κατ' ἀρε-
1379a *τήν, καὶ ὅλως ἐν ᾧ ἂν ταῦτα ὑπερέχῃ πολύ, οἷον ἐν χρήμα-*

---

1. Ὁμήρου Ἰλιὰς Α (355-356 μετάφρ. Πολυλᾶ).
2. Ὁμήρου Ἰλιὰς Ι 650 (μετάφρ. Πολυλᾶ).

φρονεῖ κανεὶς ἐκεῖνα ποὺ θεωρεῖ ἀσήμαντα καὶ αὐτὰ τὰ ἴδια προκαλοῦν καὶ τὴν ἀδιαφορίαν του. Καὶ ἐκεῖνος πάλι ποὺ ἀντιδρᾷ ἐκδηλώνει περιφρόνησιν, διότι ἀντίδρασις εἶναι τὸ νὰ ἐμποδίζωμεν τὴν πραγματοποίησιν τῆς θελήσεως ἑνὸς ἄλλου, ὄχι διὰ νὰ ὠφεληθοῦμε ἡμεῖς, ἀλλὰ διὰ νὰ μὴ ὠφεληθῇ ὁ ἄλλος. Ἀφοῦ λοιπὸν ἡ ἀντίδρασις δὲν προέρχεται ἀπὸ ἐπιθυμίαν ἰδίας ὠφελείας σημαίνει περιφρόνησιν πρὸς ἐκεῖνον ἐναντίον τοῦ ὁποίου στρέφεται. Πράγματι εἶναι φανερὸν ὅτι δὲν τὸν θεωρεῖ οὔτε κἂν ἱκανὸν νὰ τὸν βλάψῃ· διότι τότε θὰ τὸν ἐφοβεῖτο καὶ δὲν θὰ τὸν περιφρονοῦσε. Καὶ πάλιν δὲν τὸν θεωρεῖ οὔτε ἱκανὸν νὰ τοῦ παράσχῃ ἀξίαν λόγου ὠφέλειαν, διότι τότε θὰ ἐφρόντιζε ὥστε νὰ τὰ ἔχῃ καλὰ μαζί του. Περιφρόνησιν ἐπίσης δείχνει καὶ ἐκεῖνος ποὺ προσβάλλει. Πράγματι ὕβρις εἶναι τὸ νὰ χρησιμοποιῇ κανεὶς πράξεις καὶ λόγους ποὺ ντροπιάζουν ἐκεῖνον, ἐναντίον τοῦ ὁποίου στρέφονται καὶ τοῦτο ὄχι χάριν κάποιου ἄλλου σκοποῦ, ἀλλὰ μόνον χάριν τῆς ἡδονῆς ποὺ ἡ προσβολὴ προξενεῖ εἰς ἐκεῖνον ποὺ τὴν διαπράττει. Διότι ἐκεῖνοι ποὺ ἁπλῶς προβαίνουν εἰς ἀντίποινα δὲν διαπράττουν προσβολὴν ἀλλὰ μόνον ἐκδίκησιν. Αἴτιον δὲ τῆς ἡδονῆς ποὺ αἰσθάνονται ὅσοι προσβάλλουν εἶναι ὅτι μὲ τὸ νὰ κακομεταχειρίζωνται τοὺς ἄλλους νομίζουν ὅτι ὑπερέχουν αὐτῶν. Ἰδοὺ γιατί οἱ νέοι καὶ οἱ πλούσιοι κάμνουν πολλὰς προσβολάς. Νομίζουν ὅτι ἡ ὑβριστική των διαγωγὴ τοὺς παρέχει κάποιαν ὑπεροχήν. Ἐκεῖνος ποὺ προσβάλλεται ἀτιμάζεται, ἀλλὰ τότε τὸ νὰ προσβάλωμεν κάποιον ἀποτελεῖ καὶ αὐτὸ περιφρόνησιν. Διότι δὲν μπορεῖ νὰ ἐκτιμηθῇ οὔτε ὡς καλὸν οὔτε ὡς κακὸν μόνον ἐκεῖνο ποὺ δὲν εἶναι ἄξιον λόγου. Καὶ γι' αὐτὸ ὁ Ἀχιλλεὺς στὸ θυμό του λέγει

Ἰδοὺ τώρα μ' ἀτίμασεν ὁ μέγας Ἀγαμέμνων
Ὅτι μοῦ ἅρπαξεν αὐτὸς τὸ δῶρο μου καὶ τὄχει [1]

Καὶ πάλιν

Ὡς ξένον ὅπ' οἱ ἐγκάτοικοι πολίταις ἀτιμάζουν [2].

διότι τάχα αὐταὶ αἱ πράξεις ἐπροκάλεσαν τὸν θυμόν του.

Οἱ ἄνθρωποι νομίζουν ὅτι πρέπει νὰ ἐκτιμῶνται ἀπὸ ἐκείνους ποὺ εἶναι κατώτεροι εἴτε κατὰ τὴν καταγωγὴν εἴτε κατὰ τὴν δύναμιν εἴτε κατὰ τὴν ἀρετὴν εἴτε γενικὰ κατὰ τὸ σημεῖον ἐκεῖνο ὅπου ἡ ὑπεροχή των ἀπὸ τοὺς ἄλλους εἶναι μεγάλη. Ἔτσι ὁ πλούσιος ὑπερέχει ἀπὸ τὸν πτωχὸν ὡς

σιν ὁ πλούσιος πένητος καὶ ἐν τῷ λέγειν ῥητορικὸς ἀδυνάτου εἰπεῖν καὶ ἄρχων ἀρχομένου καὶ ἄρχειν ἄξιος οἰόμενος τοῦ ἄρχεσθαι ἀξίου. Διὸ εἴρηται

> θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων

καὶ

> ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον·

ἀγανακτοῦσι γὰρ διὰ τὴν ὑπεροχήν. Ἔτι ὑφ᾽ ὧν τις οἴεται εὖ πάσχειν δεῖν· οὗτοι δ᾽ εἰσὶν οὓς εὖ πεποίηκεν ἢ ποιεῖ, αὐτὸς ἢ δι᾽ αὐτόν τις ἢ τῶν αὐτοῦ τις, ἢ βούλεται ἢ ἐβουλήθη.

Φανερὸν οὖν ἐκ τούτων ἤδη πῶς τε ἔχοντες ὀργίζονται αὐτοὶ καὶ τίσιν καὶ διὰ ποῖα. Αὐτοὶ μὲν γάρ, ὅταν λυπῶνται· ἐφίεται γάρ τινος ὁ λυπούμενος· ἐάν τε οὖν κατ᾽ εὐθυωρίαν ὁτιοῦν ἀντικρούσῃ τις, οἷον τῷ διψῶντι πρὸς τὸ πιεῖν, ἐάν τε μή, ὁμοίως ταὐτὸ φαίνεται ποιεῖν· καὶ ἐάν τε ἀντιπράττῃ τις ἐάν τε μὴ συμπράττῃ ἐάν τε ἄλλο τι ἐνοχλῇ οὕτως ἔχοντα, πᾶσιν ὀργίζεται. Διὸ κάμνοντες, πενόμενοι <πολεμοῦντες>, ἐρῶντες, διψῶντες, ὅλως ἐπιθυμοῦντές τι καὶ μὴ κατορθοῦντες ὀργίλοι εἰσὶ καὶ εὐπαρόρμητοι, μάλιστα μὲν πρὸς τοὺς τοῦ παρόντος ὀλιγωροῦντας, οἷον κάμνων μὲν τοῖς πρὸς τὴν νόσον, πενόμενος δὲ τοῖς πρὸς τὴν πενίαν, πολεμῶν δὲ τοῖς πρὸς τὸν πόλεμον, ἐρῶν δὲ τοῖς πρὸς τὸν ἔρωτα, ὁμοίως δὲ καὶ τοῖς ἄλλοις, <εἰ δὲ μή, κἂν ὁτιοῦν ἄλλο ὀλιγωρῇ τις>· προωδοποίηται γὰρ ἕκαστος πρὸς τὴν

---

1. Ὁμήρου Ἰλιὰς Β 197.
2. Ὁμήρου Ἰλιὰς Α 84.

πρὸς τὰ χρήματα καὶ ὁ καλὸς ρήτωρ ὑπερέχει ὡς πρὸς τοὺς λόγους ἀπὸ ἐκεῖνον ποὺ δὲν μπορεῖ νὰ μιλήσῃ δημοσίᾳ, καὶ ὁ ἄρχων ἀπὸ τὸν ὑπήκοον καὶ ἐκεῖνος ποὺ νομίζει ὅτι εἶναι ἱκανὸς νὰ κυβερνᾷ ἀπὸ ἐκεῖνον ποὺ δὲν εἶναι ἄξιος παρὰ μόνον νὰ κυβερνᾶται. Καὶ γι' αὐτὸ ἐγράφη ὁ στίχος

Καὶ τῶν θεογέννητων βασιλιάδων ὁ θυμὸς εἶναι φοβερὸς [1]

καὶ ὁ ἄλλος

Μὰ καὶ ἀργότερα τὸ θυμᾶται καὶ μνησικακεῖ [2].

Εἰς τὰς περιπτώσεις αὐτὰς ἡ ὑπεροχὴ εἶναι αἰτία τῆς μεγάλης ἀγανακτήσεως. Νομίζουν ἀκόμη ὅτι πρέπει νὰ τιμῶνται ἀπὸ ἐκείνους ἀπὸ τοὺς ὁποίους πιστεύουν ὅτι πρέπει νὰ περιμένουν καλόν· δηλαδὴ ἀπὸ ἐκείνους ποὺ εἴτε εἰς τὸ παρελθὸν εἴτε εἰς τὸ παρὸν ἔχουν εὐεργετηθῇ εἴτε ἀπ' αὐτὸν τὸν ἴδιον εἴτε ἀπὸ κάποιον ἄλλον πρὸς χάριν του εἴτε ἀπὸ κάποιον δικόν του ἄνθρωπον εἴτε ἁπλῶς θέλει ἢ ἠθέλησε εἰς τὸ παρελθὸν νὰ τοὺς εὐεργετήσῃ.

Ἀπὸ ὅσα ἐξεθέσαμεν ἕως τώρα εἶναι φανερὸν ποιοὶ θυμώνουν, ἐναντίον τίνων καὶ γιὰ ποιοὺς λόγους. Ὁ δεῖνα θυμώνει ὅταν εἶναι στενοχωρημένος. Διότι ἐκεῖνος ποὺ στενοχωρεῖται ἐπιθυμεῖ κάτι ποὺ τοῦ λείπει, καὶ τότε εἴτε ἀπ' εὐθείας τὸν ἐμποδίσει κανεὶς νὰ πραγματοποιήσῃ τὸν σκοπόν του, λόγου χάριν ἂν ἐμποδίσῃ τὸν διψασμένον νὰ πιῇ νερό, εἴτε ἐμμέσως ἀντιδράσῃ πρὸς αὐτόν, τοῦ φαίνεται ὅτι τὸ ἴδιο πρᾶγμα εἶναι. Ἔτσι εἴτε ἀντιδρᾷ κανείς, εἴτε ἁπλῶς δὲν συμπράττει, εἴτε τὸν ἐνοχλεῖ καθ' οἱονδήποτε ἄλλον τρόπον ὅταν εὑρίσκεται εἰς αὐτὴν τὴν κατάστασιν, προκαλεῖ τὴν ὀργήν του. Ἰδοὺ γιατί οἱ ἄρρωστοι, οἱ πτωχοί, ἐκεῖνοι ποὺ διεξάγουν πόλεμον, οἱ ἐρωτευμένοι, οἱ διψασμένοι καὶ γενικὰ ὅσοι ἐπιθυμοῦν κάτι τι ποὺ δὲν τὸ ἐπιτυγχάνουν θυμώνουν καὶ παραφέρονται εὔκολα, καὶ κυρίως ἐναντίον ἐκείνων ποὺ ἀδιαφοροῦν διὰ τὸ κακὸ ποὺ κατ' ἐκείνην τὴν στιγμὴν πάσχουν. Ἔτσι ὁ ἄρρωστος θυμώνει εὔκολα μὲ ἐκείνους ποὺ ἀδιαφοροῦν γιὰ τὴν ἀρρώστια του, ὁ πτωχὸς μὲ ἐκείνους ποὺ τὸν ἐξευτελίζουν γιὰ τὴν φτώχεια του, ἐκεῖνος ποὺ πολεμεῖ μὲ ἐκείνους ποὺ τοῦ φέρουν δυσκολίας εἰς τὸν πόλεμον, ὁ ἐρωτευμένος μὲ ἐκείνους ποὺ τοῦ ἐμποδίζουν τοὺς ἐρωτικούς του σκοποὺς καὶ οὕτω καθ' ἑξῆς. Φυσικὰ ἡ ὀργὴ προκαλεῖται καὶ ἀπὸ οἱανδήποτε ἄλλην ἀδιαφορίαν. Πράγματι

ἑκάστου ὀργὴν ὑπὸ τοῦ ὑπάρχοντος πάθους· ἔτι δ' ἐὰν τἀναντία τύχῃ προσδεχόμενος· λυπεῖ γὰρ μᾶλλον τὸ πολὺ παρὰ δόξαν, ὥσπερ καὶ τέρπει τὸ πολὺ παρὰ δόξαν, ἐὰν γένηται ὃ βούλεται. Διὸ καὶ ὧραι καὶ χρόνοι καὶ διαθέσεις καὶ ἡλικίαι ἐκ τούτων φανεραί, ποῖαι εὐκίνητοι πρὸς ὀργὴν καὶ ποῦ καὶ πότε, καὶ ὅτε μᾶλλον ἐν τούτοις εἰσί, μᾶλλον καὶ εὐκίνητοι.

Αὐτοὶ μὲν οὖν οὕτως ἔχοντες εὐκίνητοι πρὸς ὀργήν, ὀργίζονται δὲ τοῖς τε καταγελῶσι καὶ χλευάζουσιν καὶ σκώπτουσιν· ὑβρίζουσι γάρ. Καὶ τοῖς τὰ τοιαῦτα βλάπτουσιν ὅσα ὕβρεως σημεῖα. Ἀνάγκη δὲ τοιαῦτα εἶναι ἃ μήτε ἀντί τινος μήτ' ὠφέλιμα τοῖς ποιοῦσιν· ἤδη γὰρ δοκεῖ δι' ὕβριν. Καὶ τοῖς κακῶς λέγουσι καὶ καταφρονοῦσι περὶ ὧν αὐτοὶ μάλιστα σπουδάζουσιν, οἷον οἱ ἐπὶ φιλοσοφίᾳ φιλοτιμούμενοι ἐάν τις εἰς τὴν φιλοσοφίαν, οἱ δ' ἐπὶ τῇ ἰδέᾳ ἐάν τις εἰς τὴν ἰδέαν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Ταῦτα δὲ πολλῷ μᾶλλον, ἐὰν ὑποπτεύσωσι μὴ ὑπάρχειν αὐτοῖς, ἢ ὅλως ἢ μὴ 1379b ἰσχυρῶς, ἢ μὴ δοκεῖν· ἐπειδὰν γὰρ σφόδρα οἴωνται ὑπερέχειν ἐν τούτοις, ἐν οἷς σκώπτονται, οὐ φροντίζουσιν. Καὶ τοῖς φίλοις μᾶλλον ἢ τοῖς μὴ φίλοις· οἴονται γὰρ προσήκειν μᾶλλον πάσχειν εὖ ὑπ' αὐτῶν ἢ μή. Καὶ τοῖς εἰθισμένοις τιμᾶν ἢ φροντίζειν, ἐὰν πάλιν μὴ οὕτως ὁμιλῶσιν· καὶ γὰρ ὑπὸ τούτων οἴονται καταφρονεῖσθαι· ταὐτὰ γὰρ ἂν ποιεῖν. Καὶ τοῖς μὴ ἀντιποιοῦσιν εὖ μηδὲ τὴν ἴσην ἀντα-

ὁ καθένας ὀργίζεται ἀπὸ ἰδιαίτερα αἴτια, προδιατεθειμένος πρὸς τοῦτο ἀπὸ τὸ πάθος ποὺ ἑκάστοτε τὸν κατέχει.

Ὀργίζεται κανεὶς ἐπίσης καὶ ὅταν ἡ τύχη φέρῃ τὸ ἀντίθετον ἀπὸ ἐκεῖνο ποὺ ἐπερίμενε. Πράγματι ἐκεῖνο ποὺ ἀπομακρύνεται πολὺ ἀπὸ τὰς προσδοκίας μας προξενεῖ μεγάλην λύπην, ὅπως, ἐξ ἄλλου, καὶ ἡ ἀπροσδόκητος ἐκπλήρωσις τῶν ἐπιθυμιῶν μας προξενεῖ μεγάλην χαράν. Καὶ γι' αὐτὸ μπορεῖ κανεὶς νὰ διακρίνῃ σαφῶς ἀπὸ ὅσα ἐλέχθησαν μέχρι τοῦδε ποῖαι στιγμαί, περιστάσεις, ψυχικὴ διάθεσις ἢ ἡλικία εὐνοοῦν τὴν ὀργὴν καὶ ποῦ καὶ πότε. Ἐπίσης γίνεται φανερὸν ὅτι ἐκεῖνος ποὺ διατελεῖ ὑπ' αὐτὰς τὰς συνθήκας ὀργίζεται εὐκολώτερον.

Αὐταὶ εἶναι αἱ συνθῆκαι ὑπὸ τὰς ὁποίας μπορεῖ κανεὶς εὔκολα νὰ θυμώσῃ, θυμώνει δὲ μὲ ἐκείνους ποὺ τὸν περιγελοῦν, ποὺ τὸν κοροϊδεύουν ἢ τὸν γελοιοποιοῦν. Διότι καὶ αὐτοὶ τὸν προσβάλλουν. Ἐπίσης θυμώνει μὲ ἐκείνους ποὺ τοῦ προξενοῦν βλάβας, ποὺ περιέχουν καὶ προσβολήν. Βλάβαι δὲ αὐτοῦ τοῦ εἴδους εἶναι ἐκεῖναι ποὺ προξενοῦνται χωρὶς ὁ δράστης των νὰ ἔχῃ ἀνταμοιβὴν ἢ ἄλλο ὄφελος. Διότι τότε προδήλως δὲν μπορεῖ νὰ ἔχουν ἄλλην αἰτίαν παρὰ τὴν πρόθεσιν τῆς προσβολῆς. Ἐπίσης θυμώνει κανεὶς μὲ ἐκείνους ποὺ κακολογοῦν καὶ περιφρονοῦν τὰ πράγματα εἰς τὰ ὁποῖα αὐτὸς ἀποδίδει μεγάλην σπουδαιότητα, ὅπως ἐκεῖνοι ποὺ ἐνδιαφέρονται γιὰ τὴν φιλοσοφίαν θυμώνουν μὲ τοὺς ἀνθρώπους ποὺ τὴν προσβάλλουν· καὶ ἐκεῖνοι ποὺ ἐνδιαφέρονται διὰ τὴν ὡραιότητα, θυμώνουν μὲ ἐκείνους ποὺ τὴν περιφρονοῦν καὶ οὕτω καθ' ἑξῆς. Ὁ δὲ θυμός τους εἶναι μεγαλύτερος ἂν καὶ αὐτοὶ οἱ ἴδιοι ὑποπτεύονται ὅτι αἱ γνῶμαι των δὲν εἶναι ἢ δὲν θεωροῦνται ἐν ὅλῳ ἢ ἐν μέρει ὀρθαί. Διότι ὅταν πιστεύουν εἰς τὴν μεγάλην ὑπεροχὴν τοῦ πράγματος ποὺ προκαλεῖ τὰ σκώμματα τῶν ἄλλων, τότε δὲν θυμώνουν ἀλλὰ ἀδιαφοροῦν. Θυμώνει ἐπίσης κανεὶς περισσότερον μὲ τοὺς φίλους του παρὰ μὲ ἐκείνους ποὺ δὲν εἶναι φίλοι, διότι νομίζει ὅτι ἀπ' αὐτοὺς μᾶλλον πρέπει νὰ περιμένῃ καλὸ παρὰ κακό. Ἀκόμη θυμώνει καὶ μὲ ἐκείνους ποὺ συνήθως τοῦ ἀπονέμουν τιμὰς ἢ τὸν περιβάλλουν μὲ φροντίδας ἂν κάποτε ἀλλάξουν συμπεριφοράν, διότι τότε πιστεύει ὅτι αὐτοὶ ἀρχίζουν νὰ τὸν περιφρονοῦν, ἄλλως θὰ ἐξακολουθοῦσαν νὰ συμπεριφέρωνται κατὰ τὸν ἴδιον τρόπον. Τὴν ὀργὴν προκαλοῦν ἐπίσης ἐκεῖνοι ποὺ δὲν ἀνταποδίδουν καλὸν ἀντὶ καλοῦ, οὔτε δείχνουν εὐγνωμοσύνην ἀνάλογον πρὸς τὰς ὑπηρεσίας ποὺ

ποδιδοῦσιν. Καὶ τοῖς τἀναντία ποιοῦσιν αὐτοῖς, ἐὰν ἥττους ὦσιν· καταφρονεῖν γὰρ πάντες οἱ τοιοῦτοι φαίνονται, καὶ οἱ μὲν ὡς ἡττόνων οἱ δ' ὡς παρὰ ἡττόνων. Καὶ τοῖς ἐν μηδενὶ λόγῳ οὖσιν, ἄν τι ὀλιγωρῶσι, μᾶλλον· ὑπόκειται γὰρ ἡ ὀργὴ τῆς ὀλιγωρίας πρὸς τοὺς μὴ προσήκοντας, προσήκει δὲ τοῖς ἥττοσι μὴ ὀλιγωρεῖν· τοῖς δὲ φίλοις, ἐάν τε μὴ εὖ λέγωσιν ἢ ποιῶσιν, καὶ ἔτι μᾶλλον ἐὰν τἀναντία, καὶ ἐὰν μὴ αἰσθάνωνται δεομένων, ὥσπερ ὁ Ἀντιφῶντος Πλήξιππος τῷ Μελεάγρῳ· ὀλιγωρίας γὰρ τὸ μὴ αἰσθάνεσθαι σημεῖον· ὧν γὰρ φροντίζομεν, οὐ λανθάνει. Καὶ τοῖς ἐπιχαίρουσι ταῖς ἀτυχίαις καὶ ὅλως εὐθυμουμένοις ἐν ταῖς αὐτῶν ἀτυχίαις· ἢ γὰρ ἐχθροῦ ἢ ὀλιγωροῦντος σημεῖον. Καὶ τοῖς μὴ φροντίζουσιν ἐὰν λυπήσωσιν· διὸ καὶ τοῖς κακὰ ἀγγέλλουσιν ὀργίζονται. Καὶ τοῖς ἢ ἀκούουσι περὶ αὐτῶν ἢ θεωμένοις τὰ αὐτῶν φαῦλα· ὅμοιοι γάρ εἰσιν ἢ ὀλιγωροῦσιν ἢ ἐχθροῖς· οἱ γὰρ φίλοι συναλγοῦσιν, θεώμενοι δὲ τὰ οἰκεῖα φαῦλα πάντες ἀλγοῦσιν. Ἔτι τοῖς ὀλιγωροῦσι πρὸς πέντε, πρὸς οὓς φιλοτιμοῦνται, [πρὸς] οὓς θαυμάζουσιν, ὑφ' ὧν βούλονται θαυμάζεσθαι, ἢ οὓς αἰσχύνονται, ἢ ἐν τοῖς αἰσχυνομένοις αὐτούς· ἄν τις ἐν τούτοις ὀλιγωρῇ, ὀργίζονται μᾶλλον. Καὶ τοῖς εἰς τὰ τοιαῦτα ὀλιγωροῦσιν ὑπὲρ ὧν αὐτοῖς αἰσχρὸν μὴ βοηθεῖν, οἷον γονεῖς, τέκνα, γυναῖκας, ἀρχομένους. Καὶ τοῖς χάριν μὴ ἀπο-

---

1. Ὁ Πλήξιππος ἦτο ἕνας ἀπὸ τοὺς δύο θείους τοῦ Μελεάγρου ποὺ ἐσκοτώθηκαν ἀπ' αὐτόν, διότι τοῦ διεξεδίκουν τὸν ἀγριόχοιρον ποὺ εἶχε σκοτώσει· ἡ διαγωγὴ αὐτὴ προσέβαλε τὸν Μελέαγρον ποὺ ἐπερίμενε ἀπ' τοὺς θείους του νὰ καταλάβουν τὴν ἐπιθυμίαν του καὶ νὰ μὴ τοῦ ἐναντιωθοῦν.

τοὺς παρέχονται. Ἐπίσης ἐναντίον ἐκείνων ποὺ ἀντιδροῦν εἰς τὰς ἐνεργείας μας καὶ μάλιστα ὅταν εἶναι κατώτεροί μας. Ὅλοι αὐτοὶ ἐκδηλώνουν περιφρόνησιν· οἱ μὲν τελευταῖοι φέρονται πρὸς ἡμᾶς ὡσὰν νὰ εἴμεθα κατώτεροί των, οἱ δὲ πρῶτοι ὡσὰν νὰ ἐδέχοντο εὐεργεσίας καὶ περιποιήσεις ἀπὸ κατωτέρους των.

Θυμώνει κανεὶς ἀκόμη περισσότερον ὅταν ἄνθρωποι τελείως ἀνάξιοι λόγου τοῦ φέρωνται περιφρονητικά Διότι ὁ θυμὸς προέρχεται ἀπὸ τὴν ἀπρεπῆ περιφρόνησιν. Οἱ δὲ ἀσήμαντοι ἄνθρωποι πρέπον εἶναι νὰ μὴ περιφρονοῦν τοὺς ἄλλους. Μὲ τοὺς φίλους του θυμώνει κανεὶς καὶ ἐὰν αὐτοὶ δὲν λέγουν ἢ δὲν κάμνουν τίποτε καλὸν πρὸς χάριν του, ἀκόμη δὲ περισσότερον ἂν λέγουν ἢ κάμνουν κακόν· ἐπίσης δὲ ἂν δὲν ἀντιλαμβάνωνται τί περιμένει ἀπ᾽ αὐτούς, ὅπως συνέβη μεταξὺ τοῦ Μελεάγρου καὶ τοῦ Πληξίππου υἱοῦ τοῦ Ἀντιφῶντος[1] Διότι σημαίνει πὼς ἐκεῖνος ποὺ δὲν ἀντιλαμβάνεται αὐτὸ τὸ πρᾶγμα δὲν ἐνδιαφέρεται διὰ τὸν φίλον του· πράγματι ὅταν ἐνδιαφερώμεθα γιὰ κάποιον, δὲν μᾶς διαφεύγουν αἱ ἐπιθυμίαι του. Θυμώνει κανεὶς ἐπίσης μὲ ἐκείνους ποὺ χαίρονται διὰ τὰς ἀτυχίας του καὶ γενικώτερα μὲ ἐκείνους ποὺ διατηροῦν τὸ κέφι των ὅταν ὁ ἴδιος ἀτυχεῖ· διότι τοῦτο εἶναι ἔνδειξις ἔχθρας ἢ περιφρονήσεως. Ἐπίσης μὲ ἐκείνους ποὺ ἀδιαφοροῦν ἐὰν θὰ προξενήσουν λύπην εἰς αὐτόν. Καὶ γι᾽ αὐτὸ θυμώνουν καὶ μὲ ὅσους φέρνουν κακὲς εἰδήσεις. Ἀκόμη θυμώνει κανεὶς μὲ ὅσους ἀκούουν τὰς κακάς του πράξεις ἢ τὰς ἔχουν ἰδεῖ. Διότι αὐτοὶ ὁμοιάζουν κατὰ τοῦτο μὲ ἐχθροὺς ἢ μὲ ἀνθρώπους ποὺ μᾶς περιφρονοῦν, ἐνῶ οἱ φίλοι συμμετέχουν εἰς τὴν θλῖψιν μας καὶ ὑποφέρουν καὶ αὐτοὶ οἱ ἴδιοι βλέποντες τὰ ἐλαττώματά μας. Ἐπίσης θυμώνει κανεὶς μὲ ἐκείνους ποὺ τοῦ φέρονται περιφρονητικὰ ἐμπρὸς σὲ πέντε εἴδη προσώπων· δηλ. ἐμπρὸς εἰς τοὺς ἀντιπάλους του, ἐμπρὸς εἰς τοὺς ἀνθρώπους ποὺ θαυμάζει, ἐμπρὸς εἰς ἐκείνους ποὺ θέλει νὰ τὸν θαυμάζουν, ἐμπρὸς εἰς ὅσους σέβεται ἢ τέλος ἐμπρὸς εἰς τοὺς ἀνθρώπους ποὺ τὸν σέβονται Ὅταν λοιπὸν φέρεται κανεὶς περιφρονητικὰ πρὸς κάποιον ποὺ εὑρίσκεται ὑπ᾽ αὐτὰς τὰς συνθήκας προκαλεῖ τὴν μεγαλυτέραν ὀργήν του. Θυμώνει κανεὶς ἐπίσης μὲ ὅσους περιφρονοῦν ἐκεῖνα τὰ πρόσωπα ποὺ θὰ ἦτο ντροπὴ γι᾽ αὐτὸν νὰ μὴ τὰ ὑποστηρίξῃ, λόγου χάριν τοὺς γονεῖς του, τὰ παιδιά του, τὴν γυναῖκα του ἢ τὰ πρόσωπα ποὺ ἔχει ὑπὸ τὴν ἐξουσίαν του. Ἀκόμη δὲ καὶ μὲ

διδοῦσιν· παρὰ τὸ προσῆκον γὰρ ἡ ὀλιγωρία. Καὶ τοῖς εἰρωνευομένοις πρὸς σπουδάζοντας· καταφρονητικὸν γὰρ ἡ εἰρωνεία. Καὶ τοῖς τῶν ἄλλων εὐποιητικοῖς. Ἐὰν μὴ καὶ αὐτῶν· καὶ γὰρ τοῦτο καταφρονητικόν, τὸ μὴ ἀξιοῦν ὧν πάντας καὶ αὐτόν. Ποιητικὸν δ' ὀργῆς καὶ ἡ λήθη, οἷον καὶ ἡ τῶν ὀνομάτων οὕτως οὖσα περὶ μικρόν· ὀλιγωρίας γὰρ δοκεῖ καὶ ἡ λήθη σημεῖον εἶναι· δι' ἀμέλειαν μὲν γὰρ ἡ λήθη γίγνεται, ἡ δ' ἀμέλεα ὀλιγωρία τίς ἐστιν. Οἷς μὲν οὖν ὀρ-
1380a *γίζονται καὶ ὡς ἔχοντες καὶ διὰ ποῖα, ἅμα εἴρηται· δῆλον δ' ὅτι δέοι ἂν κατασκευάζειν τῷ λόγῳ τοιούτους οἷοι ὄντες ὀργίλως ἔχουσιν, καὶ τοὺς ἐναντίους τούτοις ἐνόχους ὄντας ἐφ' οἷς ὀργίζονται, καὶ τοιούτους οἵοις ὀργίζονται.*

3. *Ἐπεὶ δὲ τῷ ὀργίζεσθαι ἐναντίον τὸ πραΰνεσθαι καὶ ὀργὴ πραότητι, ληπτέον πῶς ἔχοντες πρᾶοί εἰσι καὶ πρὸς τίνας πράως ἔχουσι καὶ διὰ τίνων πραΰνονται. Ἔστω δὴ πράυνσις κατάστασις καὶ ἠρέμησις ὀργῆς. Εἰ οὖν ὀργίζονται τοῖς ὀλιγωροῦσιν, ὀλιγωρία δ' ἑκούσιον, φανερὸν ὅτι καὶ τοῖς μηδὲν τούτων ποιοῦσιν ἢ ἀκουσίως ποιοῦσιν ἢ φαινομένοις τοιούτοις πρᾶοι εἰσίν. Καὶ τοῖς τἀναντία ὧν ἐποίησαν βουλομένοις. Καὶ ὅσοι καὶ αὐτοὶ εἰς αὑτοὺς τοιοῦτοι·*

ἐκείνους ποὺ δὲν ἀποδίδουν τὴν χάριν ποὺ τοὺς ἔκαμε· διότι τότε δὲν ὑπάρχει μόνον περιφρόνησις ἀλλὰ καὶ ἀπρέπεια. Ἐπίσης καὶ μὲ ἐκείνους ποὺ εἰρωνεύονται ὅταν αὐτὸς σοβαρολογῇ· διότι ἡ εἰρωνεία εἶναι εἶδος περιφρονήσεως· καθὼς καὶ μὲ ἐκείνους ποὺ κάμνουν καλὸ εἰς τοὺς ἄλλους ἂν δὲν εὐεργετοῦν καὶ αὐτὸν τὸν ἴδιον· διότι καὶ τοῦτο, τὸ νὰ μὴ μᾶς κρίνουν ἀξίους τῶν εὐεργεσιῶν ποὺ παρέχουν εἰς ὅλους τοὺς ἄλλους. εἶναι εἶδος περιφρονήσεως. Ἕνα πρᾶγμα ποὺ ἰδιαιτέρως προκαλεῖ τὴν ὀργὴν εἶναι καὶ ἡ λήθη καὶ ἔτσι θυμώνει κανεὶς καὶ ὅταν ἀκόμη ξεχνοῦν τὸ ὄνομά του, πρᾶγμα ποὺ εἶναι ἐν τούτοις ἀσήμαντον. Πράγματι ἡ λήθη θεωρεῖται ὅτι εἶναι εἶδος περιφρονήσεως, διότι προέρχεται ἀπὸ ἀδιαφορίαν καὶ αὐτὴ εἶναι εἶδος περιφρονήσεως. Ἐξεθέσαμεν λοιπὸν εἰς ποίαν ψυχικὴν κατάστασιν εὑρίσκονται ἐκεῖνοι ποὺ θυμώνουν, μὲ ποίους θυμώνουν καὶ γιὰ ποιοὺς λόγους. Εἶναι δὲ φανερὸν ὅτι ὁ ρήτωρ ὅταν θέλῃ νὰ προκαλέσῃ ὀργὴν πρέπει μὲ τὸν λόγον του νὰ φέρῃ τὸ ἀκροατήριόν του εἰς ἐκείνην τὴν ψυχικὴν κατάστασιν ποὺ ἔχουν οἱ θυμωμένοι ἄνθρωποι καὶ νὰ παρουσιάζῃ τοὺς ἀντιπάλους του ὅτι εἶναι πρόσωπα ὡσὰν ἐκεῖνα ποὺ συνήθως προκαλοῦν τὴν ὀργὴν καὶ ἔνοχοι πράξεων ποὺ ἐπίσης προκαλοῦν τὴν ὀργήν.

3. ΠΕΡΙ ΠΡΑΟΤΗΤΟΣ

Ἐπειδὴ δὲ τὸ νὰ εἶναι κανεὶς θυμωμένος εἶναι τὸ ἀντίθετον τοῦ νὰ εἶναι ἤρεμος καὶ ἡ ὀργὴ εἶναι τὸ ἀντίθετον τῆς πραότητος, πρέπει νὰ ἐξετάσωμεν εἰς ποίαν ψυχικὴν κατάστασιν εὑρίσκονται ἐκεῖνοι ποὺ εἶναι πρᾶοι καὶ πρὸς ποίους φέρονται μὲ πραότητα καὶ μὲ ποῖα μέσα καταπραΰνονται. Ἂς δεχθῶμεν ὅτι πραότης εἶναι ἡ ἐπάνοδος τῆς ψυχῆς εἰς τὴν φυσικήν της κατάστασιν καὶ ἡ κατάπαυσις τῆς ὀργῆς. Λοιπὸν ἂν οἱ ἄνθρωποι θυμώνουν μὲ ἐκείνους ποὺ τοὺς περιφρονοῦν, ἡ δὲ περιφρόνησις εἶναι κάτι τὸ ἑκούσιον, εἶναι φανερὸν ὅτι θὰ φέρωνται μὲ πραότητα ἢ πρὸς ἐκείνους ποὺ δὲν τὸ κάμνουν αὐτό, ἢ πρὸς ἐκείνους ποὺ τὸ κάμνουν χωρὶς νὰ τὸ θέλουν ἢ τοὐλάχιστον πρὸς ἐκείνους ποὺ φαίνονται ὅτι δὲν περιφρονοῦν ἢ χωρὶς νὰ τὸ θέλουν ἐξετέλεσαν πρᾶξιν περιφρονητικήν. Ἐπίσης πρὸς ἐκείνους ποὺ ἔκαμαν κάτι (κακὸν) ἐνῶ ἤθελαν ἀκριβῶς τὸ ἀντίθετο· καθὼς καὶ πρὸς ἐκείνους ποὺ φέρονται καὶ πρὸς τὸν ἑαυτόν των ὅπως ἐφέρ-

οὐδεὶς γὰρ αὐτὸς αὑτοῦ δοκεῖ ὀλιγωρεῖν καὶ τοῖς ὁμολογοῦσι καὶ μεταμελομένοις· ὡς γὰρ ἔχοντες δίκην τὸ λυπεῖσθαι ἐπὶ τοῖς πεποιημένοις παύονται τῆς ὀργῆς. Σημεῖον δὲ ἐπὶ τῆς τῶν οἰκετῶν κολάσεως· τοὺς μὲν γὰρ ἀντιλέγοντας καὶ ἀρνουμένους μᾶλλον κολάζομεν, πρὸς δὲ τοὺς ὁμολογοῦντας δικαίως κολάζεσθαι πανόμεθα θυμούμενοι. Αἴτιον δ' ὅτι ἀναισχυντία τὸ τὰ φανερὰ ἀρνεῖσθαι, ἡ δ' ἀναισχυντία ὀλιγωρία καὶ καταφρόνησις· ὧν γοῦν πολὺ καταφρονοῦμεν, οὐκ αἰσχυνόμεθα. Καὶ τοῖς ταπεινουμένοις πρὸς αὐτοὺς καὶ μὴ ἀντιλέγουσιν· φαίνονται γὰρ ὁμολογεῖν ἥττους εἶναι, οἱ δ' ἥττους φοβοῦνται, φοβούμενος δὲ οὐδεὶς ὀλιγωρεῖ. Ὅτι δὲ πρὸς τοὺς ταπεινουμένους παύεται ἡ ὀργή, καὶ οἱ κύνες δηλοῦσιν οὐ δάκνοντες τοὺς καθίζοντας. Καὶ τοῖς σπουδάζουσι πρὸς τοὺς σπουδάζοντας· δοκεῖ γὰρ σπουδάζεσθαι ἀλλ' οὐ καταφρονεῖσθαι. Καὶ τοῖς μείζω κεχαρισμένοις. Καὶ τοῖς δεομένοις καὶ παραιτουμένοις· ταπεινότεροι γάρ· καὶ τοῖς μὴ ὑβρισταῖς μηδὲ χλευασταῖς μηδ' ὀλιγώροις εἰς μηδένα ἢ μὴ εἰς χρηστοὺς μηδ' εἰς τοιούτους οἷοί περ αὐτοί. Ὅλως δ' ἐκ τῶν ἐναντίων δεῖ σκοπεῖν τὰ πραΰνοντα. Καὶ οὓς φοβοῦνται ἢ αἰσχύνονται, ἕως ἂν οὕτως ἔχωσιν, οὐκ ὀργίζονται· ἀδύνατον γὰρ ἅμα φοβεῖσθαι καὶ ὀργίζεσθαι. Καὶ τοῖς δι' ὀργὴν ποιήσασιν ἢ οὐκ ὀργίζονται ἢ ἧττον ὀργίζονται· οὐ γὰρ δι' ὀλιγωρίαν φαίνονται πρᾶξαι·

θηκαν πρὸς τοὺς ἄλλους· διότι κανεὶς δὲν θεωρεῖται ὅτι περιφρονεῖ τὸν ἑαυτόν του. Ἐπίσης φέρονται μὲ πραότητα πρὸς ἐκείνους ποὺ ὁμολογοῦν τὸ σφάλμα των καὶ μετανοοῦν. Διότι ἡ λύπη ποὺ δοκιμάζουν δι' ἐκεῖνα ποὺ ἔκαναν εἶναι μία ἐκδίκησις τοῦ παθόντος καὶ καταπαύει τὴν ὀργήν του. Ἀπόδειξις δὲ τούτου εἶναι αἱ τιμωρίαι ποὺ ἐπιβάλλομεν εἰς τοὺς δούλους· πράγματι τιμωροῦμεν πολὺ αὐστηρότερα ἐκείνους ποὺ μᾶς ἀντιμιλοῦν καὶ ἀρνοῦνται τὴν ἐνοχήν των, ἐνῶ παύομεν νὰ εἴμεθα θυμωμένοι μὲ ὅσους ἀναγνωρίζουν ὅτι δικαίως τιμωροῦνται. Αἰτία δὲ τούτου εἶναι ὅτι ἀδιαντροπιὰ εἶναι τὸ νὰ ἀρνῆται κανεὶς τὰ φανερὰ πράγματα ἡ δὲ ἀδιαντροπιὰ εἶναι εἶδος ἀδιαφορίας καὶ περιφρονήσεως. Διότι βέβαια δὲν ντρεπόμεθα ἐκείνους τοὺς ὁποίους πολὺ περιφρονοῦμεν. Ἐπίσης φέρεται κανεὶς μὲ πραότητα καὶ πρὸς ἐκείνους ποὺ ταπεινώνονται μπροστά του καὶ δὲν τοῦ ἀντιμιλοῦν· διότι ἔτσι φανερὰ ἀναγνωρίζουν ὅτι εἶναι κατώτεροι, οἱ δὲ κατώτεροι φοβοῦνται τοὺς ἀνωτέρους των καὶ φυσικὰ ἐκεῖνος ποὺ φοβεῖται δὲν περιφρονεῖ. Ὅτι δὲ παύει ἡ ὀργὴ ἐναντίον ἐκείνων ποὺ ταπεινώνονται, ἀποδεικνύεται καὶ ἀπὸ τοὺς σκύλους, ποὺ δὲν δαγκάνουν ποτὲ ἐκείνους ποὺ κάθονται. Ἐπίσης φέρεται κανεὶς μὲ πραότητα πρὸς ἐκείνους ποὺ συμπεριφέρονται σοβαρὰ ὅταν καὶ αὐτὸς ὁ ἴδιος σοβαρολογῇ· διότι τότε θεωρεῖ ὅτι τὸν λαμβάνουν ὑπ' ὄψιν καὶ δὲν τὸν περιφρονοῦν· ἀκόμη δὲ καὶ εἰς ἐκείνους ποὺ τοῦ ἔχουν προσφέρει μεγαλυτέρας ὑπηρεσίας (ἀπὸ ὅσας αὐτὸς τοὺς προσέφερε)· καθὼς καὶ εἰς ἐκείνους ποὺ ἔχουν τὴν ἀνάγκην του καὶ ζητοῦν τὴν βοήθειάν του, διότι αὐτοὶ εὑρίσκονται εἰς κατωτέραν ἀπὸ ἐκεῖνον θέσιν.

Φερόμεθα ἐπίσης μὲ πραότητα πρὸς ὅσους δὲν προσβάλλουν οὔτε χοροϊδεύουν οὔτε περιφρονοῦν κανένα ἢ τοὐλάχιστον δὲν φέρονται ἔτσι πρὸς τοὺς καλοὺς ἀνθρώπους ἢ πρὸς τοὺς ὁμοίους μας. Γενικὰ δὲ ἠμποροῦμε νὰ εὕρωμεν ποῖα πράγματα καταπραΰνουν ἐξετάζοντες τὰ ἀντίθετα (δηλ. ἐκεῖνα ποὺ ἐξοργίζουν καὶ ἐξετέθησαν εἰς τὸ προηγούμενον κεφάλαιον). Ἐπίσης δὲν θυμώνομε καὶ μὲ ἐκείνους ποὺ φοβούμεθα ἢ σεβόμεθα, ὅσον καιρὸ εὑρισκόμεθα εἰς αὐτὴν τὴν διάθεσιν ἀπέναντί των. Διότι δὲν εἶναι δυνατὸν συγχρόνως καὶ νὰ φοβῆται κανεὶς κάποιον καὶ νὰ εἶναι θυμωμένος μαζί του. Ἀκόμη μὲ ἐκείνους ποὺ ἔκαμαν κάτι τι ἐπάνω στὸ θυμό των ἢ δὲν θυμώνομεν καθόλου ἢ θυμώνομεν ὀλιγώτερον (παρὰ ἐὰν εἶχαν ἐνεργήσει μὲ ψυχραιμίαν). Διότι τότε εἶναι

οὐδεὶς γὰρ ὀργιζόμενος ὀλιγωρεῖ· ἡ μὲν γὰρ ὀλιγωρία ἄλυ-
1380b *πον, ἡ δ' ὀργὴ μετὰ λύπης. Καὶ τοῖς αἰσχυνομένοις αὐτούς.*

Καὶ ἔχοντες δὲ ἐναντίως τῷ ὀργίζεσθαι δῆλον ὅτι πρᾶοι εἰσίν, οἷον ἐν παιδιᾷ, ἐν γέλωτι, ἐν ἑορτῇ, ἐν εὐημερίᾳ, ἐν κατορθώσει, ἐν πληρώσει, ὅλως ἐν ἀλυπίᾳ καὶ ἡδονῇ μὴ ὑβριστικῇ καὶ ἐν ἐλπίδι ἐπιεικεῖ. Ἔτι κεχρονικότες καὶ μὴ ὑπόγυιοι τῇ ὀργῇ ὄντες· παύει γὰρ ὀργὴν ὁ χρόνος. Παύει δὲ καὶ ἑτέρου ὀργὴν μείζω ἡ παρ' ἄλλου ληφθεῖσα τιμωρία πρότερον· διὸ εὖ Φιλοκράτης, εἰπόντος τινὸς ὀργιζομένου τοῦ δήμου τί οὐκ ἀπολογεῖ; «Οὔπω γε», ἔφη, «Ἀλλὰ πότε,» «Ὅταν ἴδω ἄλλον διαβεβλημένον»· πρᾶοι γὰρ γίγνονται ὅταν εἰς ἄλλον τὴν ὀργὴν ἀναλώσωσιν, ὃ συνέβη ἐπὶ Ἐργοφίλου· μᾶλλον γὰρ χαλεπαίνοντες ἢ Καλλισθένει ἀφεῖσαν διὰ τὸ Καλλισθένους τῇ προτεραίᾳ καταγνῶναι θάνατον. Καὶ ἐὰν ἕλωσιν. Καὶ ἐὰν μεῖζον κακὸν πεπονθότες ὦσιν ἢ οἱ ὀργιζόμενοι ἂν ἔδρασαν· ὥσπερ εἰληφέναι γὰρ οἴονται τιμωρίαν. Καὶ ἐὰν ἀδικεῖν οἴωνται αὐτοὶ καὶ δικαίως πάσχειν· [οὐ γίγνεται ἡ ὀργὴ πρὸς τὸ δίκαιον·] οὐ γὰρ ἔτι παρὰ τὸ προσῆκον νομίζουσι πάσχειν, ἡ δ' ὀργὴ τοῦτο ἦν. Διὸ δεῖ τῷ λόγῳ προκολάζειν· ἀγανακτοῦσιν γὰρ ἧττον κολαζόμενοι καὶ οἱ δοῦλοι. Καὶ ἐὰν μὴ αἰσθήσεσθαι οἴωνται

---

1. Βλέπε ὁρισμὸν τῆς ὀργῆς βιβλίον Β' κεφ. 2.

2. Ἀρχηγὸς πρεσβείας τῶν Ἀθηναίων πρὸς τὸν Φίλιππον, ἡ ὁποία συνῆψε τὴν εἰρήνην τὴν λεγομένην τοῦ Φιλοκράτους. Περὶ αὐτοῦ γίνεται ἐν ἐκτάσει μνεία εἰς τοὺς λόγους τοῦ Δημοσθένους καὶ τοῦ Αἰσχίνου περὶ τῆς παραπρεσβείας.

3. Ὁ Ἐργόφιλος καὶ ὁ Καλλισθένης ἦσαν Ἀθηναῖοι στρατηγοὶ ποὺ εἶχαν κατηγορηθῆ ὡς προδόται.

4. Βλέπε βιβλίον Α κεφ. 2 Ὁρισμὸς τῆς ὀργῆς—τὸ νὰ παθαίνωμεν κάτι χωρὶς νὰ πρέπῃ.

φανερὸν ὅτι αὐτὸ ποὺ ἔκαμαν δὲν τὸ ἔκαμαν ἀπὸ περιφρόνησιν. Καὶ πράγματι ἐκεῖνος ποὺ θυμώνει δὲν περιφρονεῖ. Διότι ἐκεῖνος ποὺ περιφρονεῖ δὲν αἰσθάνεται καμμίαν λύπην, ἐνῶ ἐκεῖνος ποὺ θυμώνει λυπεῖται. Φερόμεθα ἀκόμη μὲ πραότητα καὶ πρὸς ἐκείνους ποὺ μᾶς σέβονται.

Εἶναι φανερὸν ὅτι καὶ ἐκεῖνοι ποὺ εὑρίσκονται ὑπὸ συνθήκας ποὺ ἀποκλείουν τὴν ὀργήν· εἶναι πρᾶοι, ὅπως λόγου χάριν ἐπάνω στὸ παιγνίδι, στὸ γέλιο, στὸ πανηγύρι, σὲ μιὰ ἡμέρα εὐτυχίας, πάνω στὴν στιγμὴν τῆς ἐπιτυχίας καὶ τῆς ἐκπληρώσεως τῶν ἐπιθυμιῶν των καὶ γενικὰ ὅταν δὲν εἶναι στενοχωρημένοι καὶ ἔχουν τὰς ἀπολαύσεις των ποὺ δὲν πειράζουν κανένα ἢ τρέφουν ἐλπίδας λογικάς. Ἐπίσης ἐκεῖνοι ποὺ ἄφησαν νὰ περάσῃ καιρὸς καὶ δὲν παρεσύρθησαν ἀμέσως ἀπὸ τὸν θυμόν των, διότι ὁ καιρὸς τὸν μαλακώνει! Ἡ ἐκδίκησις ποὺ προηγουμένως ἐπήραμε ἀπὸ κάποιον ἄλλον μαλακώνει ἐπίσης τὸν θυμόν μας ἐναντίον ἑνὸς τρίτου, ἔστω κι' ἂν ἔχωμεν εἰς βάρος του μεγαλυτέρας ἀφορμάς. Καὶ γι' αὐτὸ πολὺ σωστὰ ὁ Φιλοκράτης², ὅταν κάποιος τοῦ ἔλεγε γιατὶ δὲν ἀπολογεῖται εἰς τὴν συνέλευσιν τοῦ λαοῦ ποὺ εἶναι τόσον ἀγανακτημένη μαζί του «Ὄχι ἀκόμη, δὲν εἶναι καιρός», ἀπήντησε· «Ἀλλὰ πότε;» «Ὅταν ἰδῶ νὰ κατηγοροῦν καὶ κάποιον ἄλλον». Ἀλήθεια καταπραΰνεται κανεὶς ἀπέναντι ὡρισμένου προσώπου ὅταν ἐξαντλήσῃ τὴν ὀργήν του ἐναντίον ἑνὸς ἄλλου. Τοῦτο ἀποδεικνύεται καὶ μὲ ἐκεῖνο ποὺ συνέβη εἰς τὸν Ἐργόφιλον. Ἐνῶ δηλαδὴ ἦσαν ἐναντίον του θυμωμένοι περισσότερον παρὰ ἐναντίον τοῦ Καλλισθένους, τὸν ἀθώωσαν ἐπειδὴ τὴν προηγουμένην ἡμέραν εἶχαν καταδικάσει τὸν Καλλισθένην εἰς θάνατον³. Καταπραϋνόμεθα ἐπίσης ἂν ἐκεῖνοι ποὺ μᾶς ἔβλαψαν κατεδικάσθησαν καθὼς καὶ ἂν ἔπαθαν μεγαλύτερο κακὸ παρὰ ἐκεῖνο ποὺ μὲ ὅλο τὸν θυμό μας θὰ τοὺς ἐκάμναμε. Διότι τότε νομίζομεν ὅτι εἶναι σὰν νὰ ἐπήραμεν ἐκδίκησιν. Εἴμεθα πρᾶοι ἀκόμη ὅταν πιστεύωμεν ὅτι εὑρισκόμεθα ἐν ἀδίκῳ καὶ εἴμεθα ἄξιοι τοῦ κακοῦ ποὺ ὑφιστάμεθα· διότι δὲν θυμώνει κανεὶς μὲ ἐκεῖνο ποὺ εἶναι δίκαιον. Καὶ πράγματι εἰς τὴν περίπτωσιν ἐκείνην δὲν νομίζομεν ὅτι παθαίνομεν κάτι ποὺ δὲν πρέπει, ἐνῶ καθὼς εἴπομεν αὐτὴ ἡ ἰδέα εἶναι ποὺ μᾶς ἐξοργίζει⁴. Καὶ γι' αὐτὸ πρέπει κανεὶς νὰ λέγῃ ἐκ τῶν προτέρων πῶς θὰ τιμωρήσῃ μίαν πρᾶξιν ἐὰν τυχὸν ἐκτελεσθῇ εἰς τὸ μέλλον. Ὅταν τοῦτο συμβαίνῃ καὶ οἱ δοῦλοι ἀκόμη δὲν ἀγανακτοῦν διὰ τὰς τιμωρίας ποὺ ὑφίστανται. Δὲν θυμώνομεν ἐπίσης μὲ

ὅτι δι' αὐτοὺς καὶ ἀνθ' ὧν ἔπαθον· ἡ γὰρ ὀργὴ πρὸς τὸν καθ' ἕκαστον ἐστίν. Δῆλον δ' ἐκ τοῦ ὁρισμοῦ. Διὸ ὀρθῶς πεποίηται

φάσθαι 'Οδυσσῆα πτολιπόρθιον

ὡς οὐ τετιμωρημένος εἰ μὴ ᾔσθετο καὶ ὑφ' ὅτου καὶ ἀνθ' ὅτου. Ὥστε οὔτε τοῖς ἄλλοις ὅσοι μὴ αἰσθάνονται ὀργίζονται, οὔτε τοῖς τεθνεῶσιν ἔτι, ὡς πεπονθόσι τε τὸ ἔσχατον καὶ οὐκ ἀλγήσουσιν οὐδ' αἰσθησομένοις, οὗ οἱ ὀργιζόμενοι ἐφίενται. Διὸ εὖ περὶ τοῦ Ἕκτορος ὁ ποιητής, παῦσαι βουλόμενος τὸν Ἀχιλλέα τῆς ὀργῆς τεθνεῶτος,

κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.

δῆλον οὖν ὅτι τοῖς καταπραΰνειν βουλομένοις ἐκ τούτων τῶν τόπων λεκτέον, αὐτοὺς μὲν παρασκευάζουσι τοιούτους, οἷς δ' ὀργίζονται, ἢ φοβεροὺς ἢ αἰσχύνης ἀξίους ἢ κεχαρισμένους ἢ ἄκοντας ἢ ὑπεραλγοῦντας τοῖς πεποιημένοις.

4. Τίνας δὲ φιλοῦσι καὶ μισοῦσι, καὶ διὰ τί, . . . τὴν φιλίαν καὶ τὸ φιλεῖν ὁρισάμενοι λέγωμεν. Ἔστω δὴ τὸ φιλεῖν τὸ βούλεσθαί τινι ἃ οἴεται ἀγαθά, ἐκείνου ἕνεκα ἀλ-
1381a λὰ μὴ αὐτοῦ, καὶ τὸ κατὰ δύναμιν πρακτικὸν εἶναι τούτων. Φίλος δέ ἐστιν ὁ φιλῶν καὶ ἀντιφιλούμενος. Οἴονται δὲ φίλοι εἶναι οἱ οὕτως ἔχειν οἰόμενοι πρὸς ἀλλήλους. Τούτων

---

1. Ὁμήρου Ὀδύσσεια Ι 504.
2. Ὁμήρου Ἰλιὰς Ω 54 (μετάφρ. Πολυλᾶ).

ἐκείνους ποὺ πιστεύομεν ὅτι δὲν εἶναι δυνατὸν νὰ μάθουν ὅτι ἡμεῖς εἴμεθα οἱ δρᾶσται τῆς τιμωρίας των οὔτε νὰ καταλάβουν γιὰ ποιὰ αἰτία τοὺς ἐπιβάλλεται αὐτή Πράγματι ὁ θυμὸς στρέφεται ἐναντίον ἑνὸς ὡρισμένου προσώπου. Τοῦτο προκύπτει ἀπ' αὐτὸν τὸν ὁρισμὸν ποὺ ἐδώσαμεν περὶ τῆς ὀργῆς. Ἔτσι εἶναι πολὺ σωστὸς ὁ στίχος τοῦ ποιητοῦ.

Εἰπέ τους ὅτι ὁ πορθητὴς σ' ἐτύφλωσε Ὀδυσσέας [1].

Διότι ὁ Ὀδυσσεὺς ἐπίστευε ὅτι δὲν θὰ εἶχε ἐκδικηθῆ πλήρως τὸν Πολύφημον ἂν δὲν τοῦ ἔδιδε νὰ καταλάβῃ ἀπὸ ποῖον ἐτυφλώθηκε καὶ γιὰ ποιὰν αἰτία. Ἑπομένως γενικὰ δὲν θυμώνομε μὲ ἐκείνους ποὺ δὲν μποροῦν νὰ ἀντιληφθοῦν τὰς ἐνεργείας μας, πολὺ δὲ περισσότερον μὲ τοὺς μικρούς, διότι αὐτοὶ ἔχουν πάθει τὸ μεγαλύτερο κακὸ καὶ ἐξ ἄλλου οὔτε εἶναι δυνατὸ νὰ ὑποφέρουν οὔτε νὰ αἰσθανθοῦν, ἐνῶ αὐτὸ τὸ πρᾶγμα τὸ ἐπιδιώκουν ὅσοι εἶνα. θυμωμένοι. Καὶ γι' αὐτὸ πολὺ σωστὰ ὁ ποιητὴς θέλων νὰ σταματήσῃ ὁ θυμὸς τοῦ Ἀχιλλέως ἐναντίον τοῦ Ἕκτορος ποὺ ἐφονεύθη ἤδη, βάζει εἰς τὸ στόμα τοῦ Ἀπόλλωνος τὸν ἑξῆς στίχον

Ἀφοῦ γῆν ἄλαλην αὐτὸς κακοποιεῖ μὲ λύσσαν [2].

Εἶναι λοιπὸν φανερὸν ὅτι ὁ ρήτωρ ποὺ θέλει νὰ ἐμπνεύσῃ μετριοπάθειαν, πρέπει ἀπ' αὐτοὺς τοὺς κοινοὺς τόπους ποὺ ἐξεθέσαμεν νὰ συγκροτῇ τὸν λόγον του καὶ τοὺς μὲν ἀκροατάς του νὰ τοὺς φέρῃ εἰς κατάστασιν πραότητος, ἐκείνους δὲ ἐναντίον τῶν ὁποίων ἦσαν ἐξωργισμένοι, νὰ τοὺς ἐμφανίζῃ ἢ ὡς ἐπιφόβους ἢ ὡς ἀξίους σεβασμοῦ ἢ ὅτι προηγουμένως τοὺς εἶχαν κάμει καλό, ἢ ὅτι ἔβλαψαν χωρὶς νὰ τὸ θέλουν ἢ τέλος ὅτι εἶναι καταστενοχωρημένοι γι' αὐτὸ ποὺ ἔγινε.

4. ΠΕΡΙ ΑΓΑΠΗΣ ΚΑΙ ΜΙΣΟΥΣ

Καὶ τώρα ἂς ἐξετάσωμεν ποίους ἀγαποῦν καὶ ποίους μισοῦν οἱ ἄνθρωποι καὶ ποία εἶναι ἡ αἰτία τῶν αἰσθημάτων αὐτῶν, ἀφοῦ πρῶτα δώσωμεν τὸν ὁρισμὸν τῆς ἀγάπης

Ἂς δεχθῶμεν ὅτι ἀγάπη εἶναι τὸ νὰ θέλωμεν νὰ ἀποκτήσῃ ἕνας ἄλλος ἐκεῖνα τὰ καλὰ ποὺ ἐπιθυμεῖ, τοῦτο δὲ πρὸς χάριν αὐτοῦ τοῦ ἰδίου καὶ ὄχι διότι ἀποβλέπομεν εἰς τὸ συμφέρον μας, καὶ τὸ νὰ τοῦ προξενοῦμεν ἡμεῖς οἱ ἴδιοι ὅσα καλὰ μποροῦμεν ἀπ' αὐτά. Φίλος δὲ εἶναι ἐκεῖνος ποὺ ἀγαπᾶ καὶ ἀνταγαπᾶται. Πιστεύουν δὲ ὅτι εἶναι φίλοι ἐκεῖνοι ποὺ νομίζουν ὅτι ἔχουν ἀπέναντι ἀλλήλων αὐτὰ τὰ αἰ-

δὲ ὑποκειμένων ἀνάγκη φίλον εἶναι τὸν συνηδόμενον τοῖς ἀγαθοῖς καὶ συναλγοῦντα τοῖς λυπηροῖς μὴ διά τι ἕτερον ἀλλὰ δι' ἐκεῖνον. Γιγνομένων γὰρ ὧν βούλονται χαίρουσιν πάντες, τῶν ἐναντίων δὲ λυποῦνται, ὥστε τῆς βουλήσεως σημεῖον αἱ λῦπαι καὶ αἱ ἡδοναί. Καὶ οἷς δὴ ταὐτὰ ἀγαθὰ καὶ κακά, καὶ οἱ τοῖς αὐτοῖς φίλοι καὶ οἱ τοῖς αὐτοῖς ἐχθροί· ταὐτὰ γὰρ τούτοις βούλεσθαι ἀνάγκη, ὥστε ἅ περ αὑτῷ καὶ ἄλλῳ βουλόμενος, τούτῳ φαίνεται φίλος εἶναι. Καὶ τοὺς πεποιηκότας εὖ φιλοῦσιν ἢ αὐτοὺς ἢ ὧν κήδονται· ἢ εἰ μεγάλα, ἢ εἰ προθύμως, ἢ εἰ ἐν τοιούτοις καιροῖς, καὶ αὐτῶν ἕνεκα, ἢ οὓς ἂν οἴωνται βούλεσθαι ποιεῖν εὖ. Καὶ τοὺς τῶν φίλων φίλους καὶ φιλοῦντας οὓς αὐτοὶ φιλοῦσιν. Καὶ τοὺς φιλουμένους ὑπὸ τῶν φιλουμένων αὐτοῖς. Καὶ τοὺς τοῖς αὐτοῖς ἐχθροὺς καὶ μισοῦντας οὓς αὐτοὶ μισοῦσιν, καὶ τοὺς μισουμένους ὑπὸ τῶν αὐτοῖς μισουμένων· πᾶσιν γὰρ τούτοις τὰ αὐτὰ ἀγαθὰ φαίνεται εἶναι καὶ αὐτοῖς, ὥστε βούλεσθαι τὰ αὐτοῖς ἀγαθά, ὅ περ ἦν τοῦ φίλου. Ἔτι τοὺς εὐποιητικοὺς εἰς χρήματα καὶ εἰς σωτηρίαν· διὸ τοὺς ἐλευθερίους καὶ ἀνδρείους τιμῶσι καὶ τοὺς δικαίους. Τοιούτους δ' ὑπολαμβάνουσι τοὺς μὴ ἀφ' ἑτέρων ζῶντας· τοιοῦτοι δ' οἱ ἀπὸ τοῦ ἐργάζεσθαι, καὶ τούτων οἱ ἀπὸ γεωργίας καὶ τῶν ἄλλων οἱ αὐτουργοὶ μάλιστα. Καὶ τοὺς σώφρονας, ὅτι οὐκ ἄδικοι. Καὶ τοὺς ἀπράγμονας διὰ τὸ αὐτό. Καὶ οἷς βουλόμεθα φίλοι εἶναι, ἂν φαίνωνται βουλόμενοι· εἰσὶ δὲ

σθήματα. Ἂν ὅμως ἔτσι ἔχουν τὰ πράγματα, τότε ἀναγκαστικὰ φίλος εἶναι ἐκεῖνος ποὺ εὐχαριστεῖται γιὰ κάθε καλὸ καὶ πονεῖ γιὰ κάθε λυπηρὸν πρᾶγμα ποὺ συμβαίνει εἰς τὸν φίλον του, ὄχι διὰ καμμίαν ἄλλην ἀφορμήν, ἀλλὰ μόνον χάριν ἐκείνου. Διότι πράγματι ὅλοι χαίρονται ὅταν πραγματοποιοῦνται αἱ ἐπιθυμίαι των, λυποῦνται δὲ ὅταν συμβαίνῃ τὸ ἀντίθετον, ὥστε ἡ χαρὰ καὶ ἡ λύπη ἀποδεικνύουν τί ἐπιθυμοῦμεν ἑκάστοτε. Ὑπάρχει ἐπίσης φιλία μεταξὺ ἐκείνων ποὺ ἔχουν κοινὰ ἀγαθὰ καὶ κοινὰς συμφοράς, ὅπως καὶ μεταξὺ ἐκείνων ποὺ ἔχουν τοὺς ἰδίους φίλους καὶ τοὺς ἰδίους ἐχθρούς. Διότι αὐτοὶ κατ' ἀνάγκην ἔχουν τὰς ἰδίας ἐπιθυμίας ἀπέναντι τῶν κοινῶν φίλων ἢ ἐχθρῶν των καὶ ἐπομένως συμπίπτουν αἱ ἐπιθυμίαι των καὶ φαίνονται φίλοι μεταξύ των. Ἀγαποῦμε ἐπίσης ἐκείνους ποὺ ἔκαμαν καλὸ ἢ εἰς ἡμᾶς ἢ εἰς τὰ πρόσωπα γιὰ τὰ ὁποῖα ἐνδιαφερόμεθα, εἴτε ἂν τὸ καλὸ ποὺ μᾶς ἔκαναν εἶναι μεγάλο εἴτε ἂν τὸ ἔκαμαν μὲ προθυμίαν ἢ ἂν τὸ ἔκαμαν ὑπὸ ὡρισμένας εἰδικὰς περιστάσεις καὶ χάριν ἡμῶν τῶν ἰδίων· ἐπίσης δὲ καὶ ἐκείνους ποὺ νομίζομεν ὅτι ἔχουν τὴν διάθεσιν νὰ μᾶς κάμουν καλό. Ἐπίσης τοὺς φίλους τῶν φίλων μας, καὶ ἐκείνους ποὺ ἀγαποῦν τὰ πρόσωπα ποὺ καὶ ἡμεῖς ἀγαποῦμε καθὼς καὶ ἐκείνους ποὺ ἀγαπῶνται ἀπὸ τὰ πρόσωπα ποὺ ἀγαποῦμε. Ἀκόμη ἐκείνους ποὺ ἔχουν τοὺς ἰδίους ἐχθροὺς μὲ ἡμᾶς καὶ ποὺ μισοῦν ἐκείνους ποὺ καὶ ἡμεῖς οἱ ἴδιοι μισοῦμε καθὼς καὶ ἐκείνους ποὺ μισοῦνται ἀπὸ τὰ πρόσωπα ποὺ μισοῦμε. Πράγματι ὅλα αὐτὰ τὰ πρόσωπα φαίνονται νὰ ἔχουν τὰς ἰδίας ἐπιθυμίας μὲ ἡμᾶς. Καὶ ἐπομένως ἐπιθυμοῦν ἐκεῖνο ποὺ νομίζομεν ὅτι μᾶς εἶναι καλόν, ἀλλά, καθὼς πρὸ ὀλίγου εἴπαμεν, αὐτὸ εἶναι τὸ χαρακτηριστικὸν τοῦ φίλου. Ἐπίσης ἀγαποῦμε ἐκείνους ποὺ ἔχουν τὴν διάθεσιν νὰ παράσχουν ὑπηρεσίας εἴτε εἰς χρηματικὰ ζητήματα εἴτε διὰ τὴν σωτηρίαν κάποιου προσώπου. Γι' αὐτὸ ἐκτιμῶνται οἱ γενναιόδωροι καὶ οἱ ἀνδρεῖοι καθὼς καὶ οἱ δίκαιοι. Θεωροῦμεν δὲ δικαίους ἐκείνους ποὺ δὲν ζοῦν εἰς βάρος τῶν ἄλλων. Εἶναι δὲ οὗτοι ἐκεῖνοι ποὺ ζοῦν ἀπὸ τὴν ἐργασίαν των καὶ ἰδιαιτέρως ὅσοι ζοῦν ἀπὸ τὴν καλλιέργειαν τῆς γῆς, ἀπὸ δὲ τοὺς ἄλλους κυρίως ὅσοι ἔχουν χειρωνακτικὸν ἐπάγγελμα. Ἐπίσης δὲ καὶ οἱ ἐγκρατεῖς διότι αὐτοὶ δὲν εἶναι ἄδικοι, διὰ τὸν ἴδιον δὲ λόγον καὶ ἐκεῖνοι οἱ ὁποῖοι ἀποφεύγουν τὰς δικαστικὰς διενέξεις.

Ἐκτιμῶμεν ἐπίσης ἐκείνους μὲ τοὺς ὁποίους θέλομεν νὰ γίνωμεν φίλοι ἂν καὶ αὐτοὶ δείχνουν τὴν ἰδίαν διάθεσιν, θέ-

τοιοῦτοι οἵ τ' ἀγαθοὶ κατ' ἀρετὴν καὶ οἱ εὐδόκιμοι ἢ ἐν ἅπασιν ἢ ἐν τοῖς βελτίστοις ἢ ἐν τοῖς θαυμαζομένοις ὑφ' αὑτῶν ἢ ἐν τοῖς θαυμάζουσιν αὐτούς. Ἔτι τοὺς ἡδεῖς συνδιαγαγεῖν καὶ συνδιημερεῦσαι· τοιοῦτοι δ' οἱ εὔκολοι καὶ μὴ ἐλεγκτικοὶ τῶν ἁμαρτανομένων καὶ μὴ φιλόνεικοι μηδὲ δυσέριδες· πάντες γὰρ οἱ τοιοῦτοι μαχητικοί, οἱ δὲ μαχόμενοι τἀναντία φαίνονται βούλεσθαι. Καὶ οἱ ἐπιδέξιοι καὶ τῷ παῖσαι καὶ τῷ ὑπομεῖναι· ἐπὶ ταὐτὸ γὰρ ἀμφότεροι σπεύδουσι τῷ πλησίον, δυνάμενοί τε σκώπτεσθαι καὶ ἐμμελῶς σκώπτοντες. Καὶ τοὺς ἐπαινοῦντας τὰ ὑπάρχοντα ἀγαθά,
1381b *καὶ τούτων ἃ μάλιστα φοβοῦνται μὴ ὑπάρχειν αὐτοῖς. Καὶ τοὺς καθαρίους περὶ ὄψιν, περὶ ἀμπεχόνην, περὶ ὅλον τὸν βίον. Καὶ τοὺς μὴ ὀνειδιστὰς μήτε τῶν ἁμαρτημάτων μήτε τῶν εὐεργετημάτων· ἀμφότεροι γὰρ ἐλεγκτικοί. Καὶ τοὺς μὴ μνησικακοῦντας, μηδὲ φυλακτικοὺς τῶν ἐγκλημάτων, ἀλλ' εὐκαταλλάκτους· οἵους γὰρ ἂν ὑπολαμβάνωσιν εἶναι πρὸς τοὺς ἄλλους, καὶ πρὸς αὑτοὺς οἴονται. Καὶ τοὺς μὴ κακολόγους μηδὲ εἰδότας μήτε τὰ τῶν πλησίον κακὰ μήτε τὰ αὑτῶν, ἀλλὰ τἀγαθά· ὁ γὰρ ἀγαθὸς ταῦτα δρᾷ. Καὶ τοὺς μὴ ἀντιτείνοντας τοῖς ὀργιζομένοις ἢ σπουδάζουσιν· μαχητικοὶ γὰρ οἱ τοιοῦτοι. Καὶ τοὺς πρὸς αὑτοὺς σπουδαίως πως ἔχοντας, οἷον θαυμάζοντας αὐτοὺς καὶ σπουδαίους ὑπολαμβάνοντας καὶ χαίροντας αὐτοῖς, καὶ ταῦτα μάλιστα πεπονθότας, περὶ ἃ μάλιστα βούλονται αὐτοὶ ἢ θαυμάζεσθαι ἢ σπουδαῖοι δοκεῖν εἶναι ἢ ἡδεῖς. Καὶ τοὺς ὁμοίους καὶ ταὐτὰ*

λομεν δὲ νὰ κάμωμεν φίλους τοὺς ἐναρέτους ἀνθρώπους ἢ ἐκείνους ποὺ ἐκτιμῶνται εἴτε γενικὰ ἀπὸ ὅλους εἴτε ἀπὸ τοὺς ἐκλεκτοὺς εἴτε ἀπὸ τοὺς ἀνθρώπους ποὺ θαυμάζομεν ἢ τέλος ἀπὸ τοὺς ἀνθρώπους ποὺ μᾶς θαυμάζουν. Ἀκόμη δὲ ἐκείνους ποὺ εἶναι εὐχάριστον νὰ τοὺς συναναστρεφώμεθα καὶ νὰ τοὺς ἔχωμεν παρέα. Μεταξὺ αὐτῶν δὲ εἶναι οἱ εὔκολοι ἄνθρωποι, ἐκεῖνοι ποὺ δὲν ζητοῦν νὰ μᾶς ἀνακαλύψουν ἐλαττώματα, καὶ δὲν τοὺς ἀρέσουν αἱ φιλονικίαι καὶ αἱ συζητήσεις, διότι ἄλλως θὰ εἶναι μαχητικοῦ χαρακτῆρος, ἐκεῖνοι δὲ ποὺ ἀσκοῦν πολεμικὴν φαίνονται ὅτι ἐπιθυμοῦν τὰ ἀντίθετα ἀπὸ ὅσα ἡμεῖς ἐπιθυμοῦμεν. Θέλομεν ἐπίσης νὰ κάμωμεν φίλους ἐκείνους ποὺ ξέρουν νὰ πειράζουν καὶ συγχρόνως δέχονται πειράγματα· διότι τότε καὶ τὰ δύο μέρη πλησιάζονται μὲ τὸν ἴδιον σκοπόν, δηλ. εἶναι σὲ θέσιν νὰ ὑπομείνουν ἕνα πείραγμα καὶ συγχρόνως πειράζουν καὶ αὐτοὶ εὐστόχως. Ἀγαποῦμε ἐπίσης ἐκείνους ποὺ μᾶς ἐπαινοῦν διὰ τὰ προτερήματά μας καὶ ἰδίως δι' ἐκεῖνα τὰ προτερήματα ποὺ φοβούμεθα ὅτι δὲν τὰ ἔχομεν, καθὼς καὶ τοὺς καθαροὺς εἰς τὸ πρόσωπον καὶ εἰς τὰ φορέματα καὶ εἰς ὅλην τὴν ἐμφάνισίν των. Ἀκόμη δὲ καὶ ἐκείνους ποὺ δὲν μᾶς χτυποῦν οὔτε τὰ ἐλαττώματά μας οὔτε τὰ καλὰ ποὺ μᾶς ἔκαμαν. Διότι καὶ τὰ δύο αὐτὰ εἶναι πράγματα ποὺ ἐνοχλοῦν. Ἐπίσης ἐκείνους ποὺ δὲν εἶναι μνησίκακοι οὔτε κρατοῦν μέσα τους τὸ κακὸ ποὺ τοὺς ἔχει γίνει, ἀλλὰ συμφιλιώνονται εὔκολα. Διότι βλέποντας νὰ συμπεριφέρωνται ἔτσι πρὸς τοὺς ἄλλους, πιστεύομεν ὅτι καὶ ἀπέναντί μας θὰ δείξουν τὴν ἰδίαν διαγωγήν. Ἀκόμη δὲ καὶ ἐκείνους ποὺ δὲν κακολογοῦν οὔτε θέλουν νὰ ξέρουν τὰ ἐλαττώματα οὔτε τῶν ἄλλων οὔτε τὰ ἰδικά μας, ἀλλὰ προσέχουν μόνον τὰ προτερήματα· διότι ἔτσι φέρονται οἱ καλοὶ ἄνθρωποι. Ἐπίσης δὲ καὶ ἐκείνους ποὺ δὲν μᾶς ἀντιμιλοῦν ὅταν εἴμεθα θυμωμένοι ἢ ὅταν σοβαρολογοῦμε, διότι τὸ νὰ ἀντιλέγουν δείχνει μαχητικὸν χαρακτῆρα. Ἀκόμη δὲ ἀγαποῦμε ἐκείνους ποὺ κατὰ τὸν ἕνα ἢ τὸν ἄλλον τρόπον ἀπασχολοῦνται μὲ ἡμᾶς, δηλαδὴ μᾶς θαυμάζουν εἴτε εἶναι πρόθυμοι ἀπέναντί μας ἢ δείχνουν εὐχαρίστησιν ὅταν συναναστρέφωνται μαζί μας· καὶ μάλιστα ὅταν προβαίνουν εἰς αὐτὰς τὰς ἐκδηλώσεις δι' ἐκείνας κυρίως ἀπὸ τὰς ἰδιότητάς μας ποὺ ἐπιθυμοῦμεν νὰ προκαλοῦν τὸν θαυμασμὸν ἢ τὴν προθυμίαν ἢ τὴν εὐχαρίστησιν τῶν ἄλλων. Ἀγαποῦμε ἀκόμη καὶ ἐκείνους ποὺ μᾶς ὁμοιά-

ἐπιτηδεύοντας, ἐὰν μὴ παρενοχλῶσι μηδ᾽ ἀπὸ ταὐτοῦ ᾖ ὁ βίος γίγνεται γὰρ οὕτω

καὶ κεραμεὺς κεραμεῖ.

Καὶ τοὺς τῶν αὐτῶν ἐπιθυμοῦντας, ὧν ἐνδέχεται ἅμα μετέχειν αὐτούς· εἰ δὲ μή, ταὐτὸ καὶ οὕτω συμβαίνει. Καὶ πρὸς οὓς οὕτως ἔχουσιν ὥστε μὴ αἰσχύνεσθαι τὰ πρὸς δόξαν, μὴ καταφρονοῦντες. Καὶ πρὸς οὓς αἰσχύνονται τὰ πρὸς ἀλήθειαν. Καὶ πρὸς οὓς φιλοτιμοῦνται, ἢ ὑφ᾽ ὧν ζηλοῦσθαι βούλονται καὶ μὴ φθονεῖσθαι, τούτους ἢ φιλοῦσιν ἢ βούλονται φίλοι εἶναι. Καὶ οἷς ἂν τἀγαθὰ συμπράττωσιν, ἐὰν μὴ μέλλῃ αὐτοῖς ἔσεσθαι μείζω κακά. Καὶ τοῖς ὁμοίως καὶ τοὺς ἀπόντας καὶ τοὺς παρόντας φιλοῦσιν· διὸ καὶ τοὺς περὶ τοὺς τεθνεῶτας τοιούτους πάντες φιλοῦσιν. Καὶ ὅλως τοὺς σφόδρα φιλοφίλους καὶ μὴ ἐγκαταλείποντας· μάλιστα γὰρ φιλοῦσι τῶν ἀγαθῶν τοὺς φιλεῖν ἀγαθούς. Καὶ τοὺς μὴ πλαττομένους πρὸς αὐτούς· τοιοῦτοι δὲ οἵ καὶ τὰ φαῦλα τὰ ἑαυτῶν λέγοντες. Εἴρηται γὰρ ὅτι πρὸς τοὺς φίλους τὰ πρὸς δόξαν οὐκ αἰσχυνόμεθα· εἰ οὖν ὁ αἰσχυνόμενος μὴ φιλεῖ, ὁ μὴ αἰσχυνόμενος φιλοῦντι ἔοικεν. Καὶ τοὺς μὴ φοβερούς, καὶ οὓς θαρροῦμεν· οὐδεὶς γὰρ ὃν φοβεῖται φιλεῖ. Εἴδη δὲ φιλίας ἑταιρεία οἰκειότης συγγένεια καὶ ὅσα τοιαῦτα.

Ποιητικὰ δὲ φιλίας χάρις, καὶ τὸ μὴ δεηθέντος ποιῆ-

---

1. Ἡσιόδου «Ἔργα καὶ Ἡμέραι» στ. 15.

ζουν καὶ ἐπιδίδονται εἰς τὰς ἰδίας ἀσχολίας μὲ ἡμᾶς. ἐκτὸς βέβαια ἂν μ' αὐτὸ μᾶς ἐνοχλοῦν καὶ βλάπτουν τὰ οἰκονομικά μας συμφέροντα· διότι τότε ἰσχύει τὸ

κι' ὁ κεραμιδᾶς δὲν χωνεύει τὸν κεραμιδᾶ [1].

Ἀκόμη δὲ καὶ ἐκείνους ποὺ ἔχουν τὰς ἰδίας μὲ ἡμᾶς ἐπιθυμίας, ἐφ' ὅσον εἶναι δυνατὸν νὰ τὰς ἱκανοποιήσωμεν καὶ οἱ δύο χωρὶς νὰ παρενοχλῆται ὁ ἕνας ἀπὸ τὸν ἄλλον· ἄλλως συμβαίνει ἐκεῖνο ποὺ εἴπαμεν ἀνωτέρω. Ἐπίσης ἐκείνους πρὸς τοὺς ὁποίους διατελοῦμεν ὑπὸ τοιαύτας σχέσεις, ὥστε χωρὶς νὰ τοὺς περιφρονοῦμεν, δὲν ἐντρεπόμεθα διὰ τὴν γνώμην ποὺ ἔχουν ἐναντίον μας, καθὼς καὶ ἐκείνους ποὺ ἐντρεπόμεθα διότι πραγματικὰ ὑπάρχει κάτι εἰς βάρος μας. Ἐπίσης ἐκείνους τοὺς ὁποίους φιλοτιμούμεθα νὰ φθάσωμεν ἢ θέλωμεν νὰ μᾶς ζηλεύουν χωρὶς νὰ μᾶς φθονοῦν· ὅλους αὐτοὺς ἢ τοὺς ἔχομεν ἢ θέλομεν νὰ τοὺς κάμωμεν φίλους. Τὸ ἴδιο συμβαίνει μὲ ἐκείνους μὲ τοὺς ὁποίους συνεργαζόμεθα εἰς μίαν καλὴν πρᾶξιν, ἐφ' ὅσον φυσικὰ δὲν πρόκειται νὰ προκύψουν εἰς βάρος μας μεγαλύτερα κακά. Ἀκόμη δὲ καὶ ἐκείνους ποὺ δείχνουν ὅτι ὅποιον ἀγαποῦν τὸν ἀγαποῦν ἐξ ἴσου εἴτε εἶναι παρὼν εἴτε λείπει. Ἰδοὺ γιατί ὅλοι ἀγαποῦν ἐξαιρετικὰ ἐκείνους ποὺ εἶναι πιστοὶ εἰς τὴν μνήμην τῶν πεθαμένων φίλων των καὶ γενικὰ ὅλους ὅσοι ἀγαποῦν ὑπερβολικὰ τοὺς φίλους των καὶ δὲν τοὺς ἐγκαταλείπουν. Διότι ὅλαι αἱ καλαὶ ἰδιότητες φυσικὰ προκαλοῦν τὴν ἀγάπην, ἰδιαιτέρως ὅμως ἡ ἰδιότης τοῦ νὰ εἶναι κανεὶς καλὸς φίλος. Ἐπίσης δὲ ἐκείνους ποὺ δὲν προσποιοῦνται ἀπέναντί μας. Ἔτσι εἶναι ἐκεῖνοι ποὺ μᾶς ἀποκαλύπτουν καὶ τὰ ἐλαττώματά των ἀκόμη. Πράγματι ἔχομεν εἰπεῖ ὅτι ἐμπρὸς στοὺς φίλους μας δὲν ντρεπόμεθα καὶ γιὰ κεῖνα ποὺ φαίνονται ὅτι εἶναι εἰς βάρος μας. Ἂν λοιπὸν ἐκεῖνος ποὺ μᾶς ντρέπεται δὲν εἶναι φίλος μας, ἐκεῖνος ποὺ δὲν ντρέπεται νὰ μᾶς φανερώσῃ τὰ μειονεκτήματά του θὰ εἶναι φυσικὰ φίλος. Τὸ ἴδιο συμβαίνει καὶ μὲ ἐκείνους ποὺ δὲν μᾶς ἐμπνέουν φόβον ἀλλὰ θάρρος. Διότι κανεὶς δὲν ἀγαπᾶ ἐκεῖνον τὸν ὁποῖον φοβεῖται. Ὑπάρχουν διάφορα εἴδη ἀγάπης : ἡ φιλία, ἡ οἰκειότης, ἡ συγγένεια καὶ ἄλλα ἀνάλογα.

Ἡ ἀγάπη προέρχεται ἀπὸ εὐγνωμοσύνην ἢ διότι μᾶς ἔκαμαν ἕνα καλὸ χωρὶς νὰ τὸ ζητήσωμεν, ἢ διότι ἐκεῖνος ποὺ μᾶς ἔκαμε καλὸ δὲν τὸ διελάλησε. Διότι τότε ἀποδει-

σαι, καὶ τὸ ποιήσαντα μὴ δηλῶσαι· αὐτοῦ γὰρ οὕτως ἕνεκα φαίνεται καὶ οὐ διά τι ἕτερον.

1382a *Περὶ δ' ἔχθρας καὶ τοῦ μισεῖν φανερὸν ὡς ἐκ τῶν ἐναντίων ἐστὶ θεωρεῖν. Ποιητικὰ δὲ ἔχθρας ὀργή, ἐπηρεασμός, διαβολή. Ὀργὴ μὲν οὖν ἐστιν ἐκ τῶν πρὸς αὑτόν, ἔχθρα δὲ καὶ ἄνευ τοῦ πρὸς αὑτόν· ἂν γὰρ ὑπολαμβάνωμεν εἶναι τοιόνδε, μισοῦμεν. Καὶ ἡ μὲν ὀργὴ ἀεὶ περὶ τὰ καθ' ἕκαστα, οἷον Καλλίαν ἢ Σωκράτην, τὸ δὲ μῖσος καὶ πρὸς τὰ γένη· τὸν γὰρ κλέπτην μισεῖ καὶ τὸν συκοφάντην ἅπας. Καὶ τὸ μὲν ἰατὸν χρόνῳ, τὸ δ' ἀνίατον. Καὶ τὸ μὲν λύπης ἔφεσις, τὸ δὲ κακοῦ· αἰσθέσθαι γὰρ βούλεται ὁ ὀργιζόμενος, τῷ δ' οὐδὲν διαφέρει. Ἔστι δὲ τὰ μὲν λυπηρὰ αἰσθητὰ πάντα, τὰ δὲ μάλιστα κακὰ ἥκιστα αἰσθητά, ἀδικία καὶ ἀφροσύνη· οὐδὲν γὰρ λυπεῖ ἡ παρουσία τῆς κακίας. Καὶ τὸ μὲν μετὰ λύπης, τὸ δ' οὐ μετὰ λύπης· ὁ μὲν γὰρ ὀργιζόμενος λυπεῖται, ὁ δὲ μισῶν οὔ. Καὶ ὁ μὲν πολλῶν ἂν γενομένων ἐλεήσειεν, ὁ δ' οὐδενός· ὁ μὲν γὰρ ἀντιπαθεῖν βούλεται ᾧ ὀργίζεται, ὁ δὲ μὴ εἶναι.*

. . . Φανερὸν οὖν ἐκ τούτων ὅτι ἐνδέχεται ἐχθροὺς καὶ φίλους καὶ ὄντας ἀποδεικνύναι καὶ μὴ ὄντας ποιεῖν καὶ φάσκοντας διαλύειν, καὶ δι' ὀργὴν ἢ δι' ἔχθραν ἀμφισβητοῦντας ἐφ' ὁπότερ' ἂν προαιρῆταί τις ἄγειν.

---

1. Δηλαδὴ ἀρκεῖται νὰ κάμη κακὸ εἰς τὸν ἐχθρόν του χωρὶς νὰ ἐνδιαφέρεται ἂν αὐτὸς θὰ ἀντιληφθῇ ὅτι τὸ κακὸ προέρχεται ἐκ μέρους του.

κνύεται ὅτι ἐνήργησε ἔτσι πρὸς χάριν ἡμῶν τῶν ἰδίων καὶ ὄχ. γιὰ κανένα ἄλλον σκοπόν.

Αὐτὰ καὶ τὰ ἀνάλογα προκαλοῦν τὸν οἶκτον. Αἰσθανόμεθα δὲ οἶκτον καὶ πρὸς τοὺς γνωστούς μας, ἐκτὸς ἐὰν πρόκειται περὶ προσώπων τελείως οἰκείων μας, διότι τότε αἰσθανόμεθα τὴν ἰδίαν λύπην ὡσὰν νὰ τὰ ἐπάθαμεν ἐμεῖς οἱ ἴδιοι. Καὶ γι' αὐτὸ λέγουν ὅτι ὁ Ἄμασις ἐνῷ δὲν ἔκλαιε ὅταν παρακολουθοῦσε τὸ παιδί του ποὺ τὸ πήγαιναν νὰ τὸ σκοτώσουν, ἐδάκρυσε τότε ποὺ εἶδε ὅτι ἕνας φίλος του κατήντησε νὰ ζητιανεύῃ. Διότι αὐτὸ μὲν ἦτο ξένη συμφορά, ποὺ προκαλεῖ τὸν οἶκτον, ἐνῷ ὁ θάνατος τοῦ υἱοῦ του ἦτο δεινὸν ποὺ τὸν εἶχε πλήξει προσωπικά. Διαφέρει δὲ τὸ προσωπικὸν δεινὸν ἀπὸ τὸ πρᾶγμα ποὺ προκαλεῖ οἶκτον, καὶ μάλιστα συχνὰ τὸν ἀποκλείει καὶ δημιουργεῖ ἀντίθετα συναισθήματα. Πράγματι ἐκεῖνος ποὺ μόλις πρὸ ὀλίγου ὑπέστη μίαν προσωπικὴν συμφορὰν δὲν αἰσθάνεται οἶκτον διὰ τοὺς ἄλλους. Αἰσθανόμεθα ἐπίσης οἶκτον διὰ τὰ πρόσωπα ποὺ εὑρίσκονται εἰς τὴν ἰδίαν μὲ ἡμᾶς κατάστασιν ὡς πρὸς τὴν ἡλικίαν, τὸν χαρακτῆρα, τὰς ἀσχολίας, τὰ φρονήματα ἢ τὴν οἰκογένειαν. Διότι ὅ τι συμβαίνει εἰς ἀνθρώπους αὐτοῦ τοῦ εἴδους μᾶς φαίνεται πιθανόν, ὅτι μπορεῖ καὶ νὰ συμβῇ καὶ εἰς ἡμᾶς. Καὶ γενικὰ αὐτὸ πρέπει νὰ ἔχωμεν ὑπ' ὄψιν ἐν σχέσει μὲ τὸ θέμα τοῦτο, ὅτι δηλαδή, ἐκεῖνα ποὺ φοβεῖται κανεὶς ὅτι εἶναι ἐνδεχόμενον νὰ πάθῃ, ὅταν τὰ πάθουν ἄλλοι προκαλοῦν τὸν οἶκτον. Ἐπειδὴ δὲ οἶκτον προκαλοῦν μόνον τὰ παθήματα ποὺ εὑρίσκονται κοντά μας τοπικῶς ἢ χρονικῶς, ἐνῷ ἐκεῖνα ποὺ συνέβησαν πρὶν δέκα χιλιάδες χρόνια ἢ πρόκειται νὰ συμβοῦν μετ' ἄλλον τόσον καιρόν, οὔτε τὰ ἐνθυμούμεθα οὔτε τὰ ἀντιλαμβανόμεθα καὶ ἑπομένως δὲν προκαλοῦν τὸν οἶκτον μας, ἢ τοὐλάχιστον δὲν μᾶς προκαλοῦν μεγάλον οἶκτον, κατ' ἀνάγκην ἕπεται ὅτι ἐκεῖνοι ποὺ μὲ τὴν περιβολήν των ἢ μὲ τὸν τρόπον τῆς ὁμιλίας των ἢ γενικὰ μὲ κάποιαν ἠθοποιΐαν μᾶς ἀναπαριστάνουν τὰς μακρινὰς συμφοράς, προκαλοῦν περισσότερον τὸν οἶκτον μας Διότι φέρνουν ἐμπρὸς στὰ μάτια μας τὸ κακόν, ποὺ συνέβη εἰς τὸ παρελθὸν ἢ πρόκειται νὰ συμβῇ εἰς τὸ μέλλον καὶ ἔτσι μᾶς πλησιάζουν πρὸς αὐτό. Ἐπίσης μεγαλύτερον οἶκτον προκαλοῦν ἐκεῖνα ποὺ προσφάτως ἔγιναν ἢ ταχύτατα πρόκειται νὰ γίνουν.

Καὶ γι' αὐτὸ τὰ σημάδια, λόγου χάριν τὰ ροῦχα τῶν ἀνθρώπων ποὺ ἔχουν πάθει τὸ κακὸν καὶ ἄλλα ἀνάλογα πράγματα, ὅπως καὶ αἱ πράξεις καὶ τὰ λόγια, ποὺ εἶπαν τὸν καιρὸν ποὺ ὑφίσταντο μιὰ συμφορά, λόγου χάριν τὰ τελευταῖα λόγια ἑνὸς ἀνθρώπου, ποὺ πέθανε, ἰδίως δὲ ἂν ἡ δια-

σπουδαίους εἶναι ἐν τοῖς τοιούτοις καιροῖς ὄντας ἐλεεινόν· ἅπαντα γὰρ ταῦτα διὰ τὸ ἐγγὺς φαίνεσθαι μᾶλλον ποιεῖ τὸν ἔλεον, καὶ ὡς ἀναξίου ὄντος καὶ ἐν ὀφθαλμοῖς φαινομένου τοῦ πάθους.

9. Ἀντίκειται δὲ τῷ ἐλεεῖν μάλιστα μὲν ὃ καλοῦσι νεμεσᾶν· τῷ γὰρ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις κακοπραγίαις ἀντικείμενόν ἐστι τρόπον τινὰ καὶ ἀπὸ τοῦ αὐτοῦ ἤθους τὸ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις εὐπραγίαις. Καὶ ἄμφω τὰ πάθη ἤθους χρηστοῦ· δεῖ γὰρ ἐπὶ μὲν τοῖς ἀναξίως πράττουσι κακῶς συνάχθεσθαι καὶ ἐλεεῖν, τοῖς δὲ εὖ νεμεσᾶν· ἄδικον γὰρ τὸ παρὰ τὴν ἀξίαν γιγνόμενον, διὸ καὶ τοῖς θεοῖς ἀποδίδομεν τὸ νεμεσᾶν· δόξειε δ' ἂν καὶ ὁ φθόνος τῷ ἐλεεῖν τὸν αὐτὸν ἀντικεῖσθαι τρόπον ὡς σύνεγγυς ὢν καὶ ταὐτὸν τῷ νεμεσᾶν, ἔστι δ' ἕτερον· λύπη μὲν γὰρ ταραχώδης καὶ ὁ φθόνος ἐστὶν καὶ ἐπὶ εὐπραγίᾳ, ἀλλ' οὐ τοῦ ἀναξίου ἀλλὰ τοῦ ἴσου καὶ ὁμοίου. Τὸ δὲ μὴ ὅτι αὐτῷ τι συμβήσεται ἕτερον, ἀλλὰ δι' αὐτὸν τὸν πλησίον, ἅπασιν ὁμοίως δεῖ ὑπάρχειν· οὐ γὰρ ἔτι ἔσται τὸ μὲν φθόνος, τὸ δὲ νέμεσις, ἀλλὰ φόβος, ἐὰν διὰ τοῦτο ἡ λύπη ὑπάρχῃ καὶ ἡ ταραχή, ὅτι αὐτῷ τι ἔσται φαῦλον ἀπὸ τῆς ἐκείνου εὐπραξίας. Φανερὸν δ' ὅτι ἀκολουθήσει καὶ τὰ ἐναντία πάθη τούτοις· ὁ μὲν γὰρ λυπούμενος ἐπὶ τοῖς ἀναξίως κακοπραγοῦσιν ἡσθή-

1. Ἡ θεὰ Νέμεσις ἦτο ἡ προσωποποίησις τῆς ἀγανακτήσεως, τοῦ νεμεσᾶν.

γωγή των τὸν καιρὸ ποὺ ὑφίσταντο κάτι ἦτο ἀξιοπρεπής, ὅλα αὐτὰ προκαλοῦν μεγάλον οἶκτον. Διότι ὅλα μᾶς φαίνονται ὅτι εἶναι πλησίον μας καὶ δείχνουν ὅτι ἐκεῖνος ποὺ ἔπαθε δὲν ἦτο ἄξιος τῆς συμφορᾶς του, ἐπίσης δὲ καὶ διότι νομίζομεν ὅτι ὅλα αὐτὰ τὰ βλέπομε μπρὸς στὰ μάτια μας. Δι' αὐτὸ καὶ προκαλοῦν οἶκτον.

9. ΠΕΡΙ ΑΓΑΝΑΚΤΗΣΕΩΣ

Τὸ ἀντίθετον τοῦ οἴκτου κυρίως εἶναι ἡ ἀγανάκτησις. Πράγματι ἡ λύπη διὰ τὰ παθήματα ποὺ ὑφίστανται ἄλλοι χωρὶς νὰ τὸ ἀξίζουν ἔχει ὡς ἀντίστοιχόν της τὴν λύπην διὰ τὸ καλὸ ποὺ συμβαίνει εἰς τρίτους χωρὶς νὰ εἶναι ἄξιοι. Καὶ τὰ δύο αὐτὰ συναισθήματα πηγάζουν ἀπὸ τὴν ἰδίαν ἠθικὴν κατάστασιν. Εἶναι δὲ καὶ τὰ δύο αὐτὰ ὀρθὰ αἰσθήματα. Πράγματι πρέπει κανεὶς καὶ νὰ λυπῆται γιὰ κείνους ποὺ δεινοπαθοῦν παρὰ τὴν ἀξίαν των καὶ νὰ αἰσθάνεται οἶκτον γι' αὐτούς, ἐξ ἴσου ὅμως νὰ λυπῆται καὶ γιὰ ὅσους παρ' ἀξίαν ἐπιτυγχάνουν. Διότι ὅ,τι πρᾶγμα γίνεται παρ' ἀξίαν εἶναι ἄδικον. Καὶ γι' αὐτὸ καὶ εἰς τοὺς θεοὺς ἀκόμη ἀποδίδομεν τὸ συναίσθημα τῆς ἀγανακτήσεως [1]. Θὰ ἠμποροῦσε νὰ θεωρηθῇ, ὅτι καὶ ὁ φθόνος ἐπίσης κατὰ τὸν ἴδιον τρόπον εἶναι ἀντίθετος πρὸς τὸν οἶκτον καὶ ὅτι προσεγγίζει πρὸς τὴν ἀγανάκτησιν καὶ μάλιστα ταυτίζεται πρὸς αὐτήν. Ἐν τούτοις ὑπάρχει ἡ διαφορὰ μεταξύ των. Διότι ναὶ μὲν καὶ ὁ φθόνος εἶναι κάποια λύπη καὶ ταραχὴ διὰ τὴν ἐπιτυχίαν τοῦ ἄλλου, δὲν ὀφείλεται ὅμως εἰς τὸ ὅτι αὐτὸς εἶναι ἀνάξιος τῆς ἐπιτυχίας του, ἀλλ' εἰς τὸ ὅτι εἶναι ἴσος καὶ ὅμοιός μας (καὶ ἐν τούτοις ἐπέτυχε ὅ,τι ἡμεῖς δὲν ἐπετύχαμεν). Φυσικὰ καὶ εἰς τὸν φθόνον καὶ εἰς τὴν ἀγανάκτησιν ἡ λύπη προέρχεται ἀπὸ τὴν ἐπιτυχίαν τοῦ ἄλλου καὶ μόνον, ὄχι δὲ ἀπὸ τὴν σκέψιν ὅτι τυχὸν ἡ ἐπιτυχία αὐτὴ θὰ γίνῃ ἀφορμὴ βλάβης μας. Διότι τότε δὲν θὰ ἐπρόκειτο οὔτε περὶ φθόνου, οὔτε περὶ ἀγανακτήσεως, ἀλλὰ περὶ φόβου, ἂν ἡ λύπη καὶ ἡ ταραχή μας ὀφείλονται εἰς τὸ ὅτι ἡ ἐπιτυχία τοῦ ἄλλου θὰ μᾶς ἐγίνετο πρόξενος κακοῦ.

Εἶναι φανερόν, ὅτι ἐκεῖνος ποὺ αἰσθάνεται ἀγανάκτησιν ὑπὸ ἀντιθέτους περιστάσεις θὰ δοκιμάσῃ τὰ ἀντίθετα συναισθήματα. Δηλαδή, ἐκεῖνος ποὺ λυπεῖται διότι κάποιος παρὰ τὴν ἀξίαν του πάσχει, θὰ χαρῇ ἢ τοὐλάχιστον δὲν θὰ λυπη-

σεται ἢ ἄλυπος ἔσται ἐπὶ τοῖς ἐναντίως κακοπραγοῦσιν, οἷον τοὺς πατραλοίας καὶ μιαιφόνους, ὅταν τύχωσι τιμωρίας, οὐδεὶς ἂν λυπηθείη χρηστός· δεῖ γὰρ χαίρειν ἐπὶ τοῖς τοιούτοις, ὡς δ' αὔτως καὶ ἐπὶ τοῖς εὖ πράττουσι κατ' ἀξίαν· ἄμφω γὰρ δίκαια, καὶ ποιεῖ χαίρειν τὸν ἐπιεικῆ· ἀνάγκη γὰρ ἐλπίζειν ὑπάρξαι ἂν ἅπερ τῷ ὁμοίῳ καὶ αὐτῷ. Καὶ ἔστιν τοῦ αὐτοῦ ἤθους ἅπαντα ταῦτα, τὰ δ' ἐναντία τοῦ ἐναντίου· ὁ γὰρ αὐτός ἐστιν ἐπιχαιρέκακος καὶ φθονερός· 1387a ἐφ' ᾧ γάρ τις λυπεῖται γιγνομένῳ καὶ ὑπάρχοντι, ἀναγκαῖον τοῦτον ἐπὶ τῇ στερήσει καὶ τῇ φθορᾷ τῇ τούτου χαίρειν. Διὸ κωλυτικὰ μὲν ἐλέου πάντα ταῦτ' ἐστί, διαφέρει δὲ διὰ τὰς εἰρημένας αἰτίας, ὥστε πρὸς τὸ μὴ ἐλεεινὰ ποιεῖν ἅπαντα ὁμοίως χρήσιμα.

Πρῶτον μὲν οὖν περὶ τοῦ νεμεσᾶν λέγωμεν, τίσιν τε νεμεσῶσι καὶ ἐπὶ τίσι καὶ πῶς ἔχοντες αὐτοί, εἶτα μετὰ ταῦτα περὶ τῶν ἄλλων. Φανερὸν δ' ἐκ τῶν εἰρημένων· εἰ γάρ ἐστι τὸ νεμεσᾶν λυπεῖσθαι ἐπὶ τῷ φαινομένῳ ἀναξίως εὐπραγεῖν, πρῶτον μὲν δῆλον ὅτι οὐχ οἷόν τ' ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς νεμεσᾶν· οὐ γὰρ εἰ δίκαιος ἢ ἀνδρεῖος, ἢ εἰ ἀρετὴν λήψεται, νεμεσήσει τούτῳ (οὐδὲν γὰρ ἔλεοι ἐπὶ τοῖς ἐναντίοις τούτων εἰσίν), ἀλλὰ ἐπὶ πλούτῳ καὶ δυνάμει καὶ τοῖς τοιούτοις, ὅσων ὡς ἁπλῶς εἰπεῖν ἄξιοί εἰσιν οἱ ἀγαθοὶ καὶ οἱ τὰ φύσει ἔχοντες ἀγαθά, οἷον εὐγένειαν καὶ κάλλος καὶ ὅσα τοιαῦτα. Ἐπεὶ δὲ τὸ ἀρχαῖον ἐγγύς τι φαίνεται τοῦ φύσει, ἀνάγκη τοῖς ταὐτὸ ἔχουσιν ἀγαθόν, ἐὰν νεωστὶ ἔχοντες τυγχάνωσι καὶ διὰ τοῦτο εὐπραγῶσι, μᾶλλον νεμεσᾶν· μᾶλλον γὰρ λυποῦσιν οἱ νεωστὶ πλουτοῦντες τῶν πάλαι καὶ διὰ γένος· ὁμοίως δὲ καὶ ἄρχοντες καὶ δυνάμενοι καὶ πο-

θῇ ἂν πάθῃ κανείς, ἐκεῖνο ποὺ τοῦ ἀξίζει. Ἔτσι κανεὶς ἔντιμος ἄνθρωπος δὲν λυπεῖται τοὺς πατροκτόνους ἢ τοὺς δολοφόνους ὅταν τιμωροῦνται. Πράγματι πρέπει κανεὶς νὰ χαίρεται ὅταν συμβαίνουν αὐτὰ τὰ πράγματα, ἐπίσης καὶ ὅταν ἐπαξίως ἐπιτυγχάνῃ κάποιος. Διότι καὶ τὰ δύο εἶναι δίκαια καὶ προκαλοῦν τὴν χαρὰν τῶν καλῶν ἀνθρώπων. Πράγματι αὐτοὶ κατ' ἀνάγκην ἐλπίζουν ὅτι καὶ εἰς τοὺς ἰδίους εἶναι δυνατὸν νὰ συμβοῦν αὐτὰ ποὺ συμβαίνουν εἰς τοὺς ὁμοίους των. Ὅλα αὐτὰ τὰ συναισθήματα προέρχονται ἀπὸ τὴν ἰδίαν καλὴν ἠθικὴν διάθεσιν, ἀπὸ τὴν ἀντίθετον δὲ ὅλα τὰ ἀντίθεται συναισθήματα. Διότι ἐκεῖνος ποὺ εἶναι χαιρέκακος εἶναι συγχρόνως καὶ φθονερός. Καὶ πράγματι ἐκεῖνος ποὺ λυπεῖται διότι κάποιος ἀπέκτησε καὶ ἔχει ἕνα ἀγαθὸν (ἐπαξίως), κατ' ἀνάγκην χαίρεται, ὅταν τοῦτο χαθῇ καὶ καταστραφῇ. Τὰ αἰσθήματα αὐτὰ ἐμποδίζουν τὴν δημιουργίαν οἴκτου καὶ συντελοῦν εἰς τὸ νὰ μὴ τὸν αἰσθανώμεθα, ἐνῷ ὑπάρχει διαφορὰ μεταξύ των διὰ τοὺς λόγους ποὺ ἐξεθέσαμεν.

Ἂς ἐξετάσωμεν λοιπὸν πρῶτον τὴν ἀγανάκτησιν, δηλ. ἐναντίον τίνων καὶ διὰ ποίας ἀφορμὰς ἀγανακτοῦμεν καὶ εἰς ποίαν ψυχικὴν κατάστασιν εὑρισκόμεθα ὅταν τοῦτο συμβαίνῃ. Ὅλα αὐτὰ εἶναι προφανῆ κατόπιν τῶν ὅσων ἐξεθέσαμεν. Πράγματι, ἂν ἀγανάκτησις εἶναι ἡ λύπη ποὺ αἰσθανόμεθα ὅταν βλέπωμεν ἄλλους νὰ ἐπιτυγχάνουν κάτι παρὰ τὴν ἀξίαν των, πρῶτα πρῶτα καθίσταται φανερὸν ὅτι δὲν εἶναι δυνατὸν νὰ ἀγανακτῶμεν γιὰ κάθε καλὸ ποὺ συμβαίνει. Διότι φυσικὰ δὲν θὰ ἀγανακτήσωμεν μὲ τὰς ἐπιτυχίας τῶν δικαίων καὶ τῶν ἀνδρείων καὶ τῶν ἐναρέτων, ὅπως ἀκριβῶς δὲν αἰσθανόμεθα οἶκτον διὰ τὰ παθήματα τῶν ἀντιθέτων των. Τὴν ἀγανάκτησιν ὅμως ἠμποροῦν νὰ προκαλέσουν ὁ πλοῦτος, ἡ δύναμις καὶ ἄλλα παρόμοια πλεονεκτήματα, τὰ ὁποῖα μόνον οἱ καλοὶ ἄνθρωποι καὶ οἱ προικισμένοι μὲ προτερήματα θὰ ἔπρεπε νὰ ἔχουν. Τὸ ἴδιο συμβαίνει μὲ τὴν εὐγένειαν καταγωγῆς, τὴν ὀμορφιὰ καὶ ἄλλα ἀνάλογα πλεονεκτήματα. Ἐπειδὴ δὲ ὅ,τι εἶναι παλαιὸν μᾶς φαίνεται σὰν φυσικόν, κατ' ἀνάγκην μεταξὺ δύο ἀνθρώπων ποὺ κατέχουν τὸ ἴδιο καλὸ περισσότερον θὰ ἀγανακτήσωμεν μὲ ἐκεῖνον ποὺ προσφάτως τὸ ἀπέκτησεν. Ἔτσι οἱ νεόπλουτοι προκαλοῦν περισσότερον τὴν ἀγανάκτησίν μας παρὰ ἐκεῖνοι ποὺ ἀπὸ πολὺν καιρὸν ἢ λόγῳ τῆς καταγωγῆς των εἶναι πλούσιοι. Τὸ ἴδιο συμβαίνει καὶ διὰ τοὺς ἀνθρώπους ποὺ κρατοῦν στὰ χέρια των τὴν ἐξουσίαν καθὼς καὶ διὰ τοὺς δυνατοὺς ἢ ἐκείνους

λύφιλοι· καὶ εὔτεκνοι καὶ ὁτιοῦν τῶν τοιούτων. Καὶ ἂν διὰ ταῦτα ἄλλο τι ἀγαθὸν γίγνηται αὐτοῖς, ὡσαύτως· καὶ γὰρ ἐνταῦθα μᾶλλον λυποῦσιν οἱ νεόπλουτοι ἄρχοντες διὰ τὸν πλοῦτον ἢ οἱ ἀρχαιόπλουτοι. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Αἴτιον δ' ὅτι οἱ μὲν δοκοῦσι τὰ αὑτῶν ἔχειν οἱ δ' οὔ· τὸ γὰρ ἀεὶ οὕτω φαινόμενον ἔχειν ἀληθὲς δοκεῖ, ὥστε οἱ ἕτεροι οὐ τὰ αὑτῶν ἔχειν. Καὶ ἐπεὶ ἕκαστον τῶν ἀγαθῶν οὐ τοῦ τυχόντος ἄξιον, ἀλλά τις ἔστιν ἀναλογία καὶ τὸ ἁρμόττον, οἷον ὅπλων κάλλος οὐ τῷ δικαίῳ ἁρμόττει ἀλλὰ τῷ ἀνδρείῳ, καὶ γάμοι διαφέροντες οὐ τοῖς νεωστὶ πλουσίοις ἀλλὰ τοῖς εὐγενέσιν ἂν οὖν ἀγαθὸς. ὢν μὴ τοῦ ἁρμόττοντος τυγχάνῃ, νεμεσητόν. Καὶ τὸν ἥττω τῷ κρείττονι ἀμφισβητεῖν, μάλιστα μὲν οὖν τοὺς ἐν τῷ αὐτῷ, ὅθεν καὶ τοῦτ' εἴρηται

Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο·
Ζεὺς γάρ οἱ νεμέσασχ', ὅτ' ἀμείνονι φωτὶ μάχοιτο.

1387b εἰ δὲ μή, κἂν ὁπωσοῦν ὁ ἥττων τῷ κρείττονι, οἷον εἰ ὁ μουσικὸς τῷ δικαίῳ· βέλτιον γὰρ ἡ δικαιοσύνη τῆς μουσικῆς.

Οἷς μὲν οὖν νεμεσῶσι καὶ διὰ τί, ἐκ τούτων δῆλον· ταῦτα γὰρ καὶ τὰ τοιαῦτά ἐστιν. Αὐτοὶ δὲ νεμεσητικοί εἰσιν, ἐὰν ἄξιοι τυγχάνωσιν ὄντες τῶν μεγίστων ἀγαθῶν καὶ ταῦτα κεκτημένοι· τὸ γὰρ τῶν ὁμοίων ἠξιῶσθαι τοὺς μὴ ὁμοίους οὐ δίκαιον. Δεύτερον δέ ἂν ὄντες ἀγαθοὶ καὶ σπουδαῖοι

---

1. Ἰλιάδος Λ 542 (μετάφρασις Πάλλη). Ὁ δεύτερος στίχος δὲν ὑπάρχει εἰς τὸ διασωθὲν μέχρι τῶν ἡμερῶν μας ὁμηρικὸν κείμενον, διασώζεται ὅμως ἐλαφρῶς παρηλλαγμένος καὶ εἰς τὸν βίον τοῦ Ὁμήρου τοῦ Ψευδοπλουτάρχου.

πού ἔχουν πολλούς φίλους ἢ καλὰ παιδιὰ καὶ ἄλλα ἀνάλογα πλεονεκτήματα. Ἐπίσης δὲ ἂν ἐξ αἰτίας ἐκείνων πού ἔχουν ἀποκτήσουν καὶ καινούργια ἀγαθά. Ἔτσι ἐξηγεῖται γιατὶ αἰσθανόμεθα μεγαλυτέραν ἀγανάκτησιν ἐναντίον ἐκείνων τῶν νεοπλούτων, οἱ ὁποῖοι χάρις στὸν πλοῦτον των ἀναλαμβάνουν τὴν ἐξουσίαν, παρὰ ἐναντίον τῶν παλαιῶν πλουσίων· ὑπάρχουν δὲ καὶ ἄλλαι ἀνάλογοι περιπτώσεις. Αὐτὸ δὲ συμβαίνει, διότι οἱ μὲν φαίνονται ὅτι ἔχουν ἐκεῖνο πού τοὺς ἀνήκει, ὄχι ὅμως καὶ οἱ ἄλλοι. Πράγματι ὅ,τι φαίνεται πὼς ὑπῆρχεν ἀνέκαθεν, θεωρεῖται ὡς σωστό, οἱ ἄλλοι ὅμως (ἐκεῖνοι δηλαδὴ πού προσφάτως ἀπέκτησαν κάτι) πιστεύεται ὅτι ἀπέκτησαν κάτι πού δὲν τοὺς ἀνῆκεν. Ἐπειδὴ ἐξ ἄλλου τὸ κάθε πλεονέκτημα δὲν ταιριάζει εἰς οἱονδήποτε ἄνθρωπον, ἀλλὰ πρέπει νὰ ὑπάρχῃ κάποια ἀναλογία μεταξὺ τῶν ἰδιοτήτων ἑνὸς ἀνθρώπου καὶ τῶν πλεονεκτημάτων πού ἀποκτᾷ (λ. χ. τὰ ὡραῖα ὅπλα δὲν ταιριάζουν εἰς τὸν δίκαιον ἀλλ' εἰς τὸν γενναῖον· ἐπίσης ἕνας καλὸς γάμος δὲν ἁρμόζει εἰς τὸν νεόπλουτον ἀλλ' εἰς ἐκεῖνον πού εἶναι εὐγενοῦς καταγωγῆς), δι' αὐτὸν τὸν λόγον εἶναι δυνατὸν νὰ ἀγανακτήσωμεν καὶ ὅταν ἕνας καλὸς πράγματι ἄνθρωπος ἀποκτήσῃ κάποιο πλεονέκτημα, ἐφ' ὅσον τὸ πλεονέκτημα τοῦτο δὲν ταιριάζει εἰς τὸν χαρακτῆρα του. Ἐπίσης τὴν ἀγανάκτησιν προκαλεῖ τὸ νὰ τὰ βάζῃ κάποιος μὲ τὸν ἀνώτερόν του καὶ μάλιστα εἰς πράγματα ἐπὶ τῶν ὁποίων ἀκριβῶς ὁ δεύτερος ὑπερέχει τοῦ πρώτου. Γι' αὐτὸν τὸν λόγον ὁ ποιητὴς εἶπε

> Καὶ μόνο μὲ τὸν Αἴαντα τὸν Τελαμωνιάδην
> Ἀπόφευγε ν' ἀγωνισθῇ, διότι, ἂν πολεμοῦσε
> μ' ἄνδρα ἀπ' αὐτὸν καλύτερον, τοῦ ἀγανακτοῦσε ὁ Δίας [1].

Καὶ ὅταν ὅμως δὲν πρόκειται περὶ τούτου, πάντοτε τὸ νὰ τὰ βάζῃ κανεὶς μὲ τὸν ἀνώτερόν του, λ. χ. ὁ μουσικὸς μὲ τὸν δίκαιον, προκαλεῖ ἀγανάκτησιν, διότι ἡ δικαιοσύνη εἶναι ἀνωτέρα τῆς μουσικῆς.

Ἀπὸ ὅσα ἐξεθέσαμεν, καθίσταται φανερὸν ἐναντίον τίνων καὶ διὰ ποίους λόγους προκαλεῖται ἡ ἀγανάκτησις. Ἀγανακτοῦν δὲ κυρίως ἐκεῖνοι πού εἶναι ἄξιοι νὰ ἐπιτύχουν τὰ μεγαλύτερα ἀγαθὰ καὶ πράγματι τὰ κατέχουν, διότι τὸ νὰ ἔχουν καὶ ἄλλοι τὴν ἀξίωσιν νὰ ἀποκτήσουν τὰ ἴδια ἐνῶ δὲν εἶναι ὅμοιοί των, δὲν εἶναι δίκαιον. Δεύτερον ἐκεῖνοι πού εἶναι καλοὶ καὶ συγχρόνως σπουδαῖοι ἄνθρωποι. Διότι

τυγχάνωσιν· κρίνουσί τε γὰρ εὖ, καὶ τὰ ἄδικα μισοῦσι. Καὶ ἐὰν φιλότιμοι καὶ ὀρεγόμενοι τινῶν πραγμάτων, καὶ μάλιστα περὶ ταῦτα φιλότιμοι ὦσιν ὧν ἕτεροι ἀνάξιοι ὄντες τυγχάνουσιν. Καὶ ὅλως οἱ ἀξιοῦντες αὐτοὶ αὑτοὺς ὧν ἑτέρους μὴ ἀξιοῦσι, νεμεσητικοὶ τούτοις καὶ τούτων. Διὸ καὶ οἱ ἀνδραποδώδεις καὶ φαῦλοι καὶ ἀφιλότιμοι οὐ νεμεσητικοί· οὐδὲν γάρ ἐστιν οὗ ἑαυτοὺς οἴονται ἀξίους εἶναι.

Φανερὸν δ' ἐκ τούτων ἐπὶ ποίοις ἀτυχοῦσι καὶ κακοπραγοῦσιν ἢ μὴ τυγχάνουσι χαίρειν ἢ ἀλύπως ἔχειν δεῖ· ἐκ γὰρ τῶν εἰρημένων τὰ ἀντικείμενά ἐστιν δῆλα, ὥστ' ἐὰν τούς τε κριτὰς τοιούτους παρασκευάσῃ ὁ λόγος, καὶ τοὺς ἀξιοῦντας ἐλεεῖσθαι, καὶ ἐφ' οἷς ἐλεεῖσθαι, δείξῃ ἀναξίους ὄντας τυγχάνειν ἀξίους δὲ μὴ τυγχάνειν, ἀδύνατον ἐλεεῖν.

10. Δῆλον δὲ καὶ ἐπὶ τίσι φθονοῦσι καὶ τίσι καὶ πῶς ἔχοντες, εἴπερ ἐστὶν ὁ φθόνος λύπη τις ἐπὶ εὐπραγίᾳ φαινομένῃ τῶν εἰρημένων ἀγαθῶν περὶ τοὺς ὁμοίους, μὴ ἵνα τι αὑτῷ, ἀλλὰ δι' ἐκείνους· φθονήσουσι μὲν γὰρ οἱ τοιοῦτοι οἷς εἰσί τινες ὅμοιοι ἢ φαίνονται. Ὁμοίους δὲ λέγω κατὰ γένος, κατὰ συγγένειαν, καθ' ἡλικίας, κατὰ ἕξεις, κατὰ δόξαν, κατὰ τὰ ὑπάρχοντα. Καὶ οἷς μικροῦ ἐλλείπει τὸ μὴ πάντα ὑπάρχειν· (διὸ οἱ μεγάλα πράττοντες καὶ οἱ εὐτυχοῦντες φθονεροί εἰσιν)· πάντας γὰρ οἴονται τὰ αὑτῶν φέρειν. Καὶ οἱ τιμώμενοι ἐπί τινι διαφερόντως, καὶ μάλιστα ἐπὶ σοφίᾳ ἢ εὐδαιμονίᾳ. Καὶ οἱ φιλότιμοι φθονερώτεροι τῶν ἀφιλοτίμων. Καὶ οἱ δοξόσοφοι· φιλότιμοι γὰρ ἐπὶ

αὐτοὶ καὶ ὀρθὴν κρίσιν ἔχουν καὶ μισοῦν τὴν ἀδικίαν. Ἐπίσης ὅσοι φιλοδοξοῦν καὶ ζωηρῶς ἐπιθυμοῦν κάποια πράγματα καὶ μάλιστα τὰ πράγματα ἐκεῖνα ποὺ ἄλλοι τὰ ἐπιτυγχάνουν ἐνῶ δὲν εἶναι ἄξιοι. Καὶ γενικὰ ὅλοι ὅσοι πιστεύουν ὅτι εἶναι ἄξιοι γιὰ κάτι, ἐνῶ κρίνουν ὅτι οἱ ἄλλοι δὲν τὸ ἀξίζουν, ἀγανακτοῦν ἐναντίον τῶν τελευταίων τούτων, δι' αὐτὸν ἀκριβῶς τὸν λόγον. Καὶ γι' αὐτὸ οἱ δουλοπρεπεῖς καὶ οἱ τιποτένιοι καὶ οἱ ἄνθρωποι χωρὶς καμμίαν φιλοδοξίαν δὲν αἰσθάνονται ποτὲ τὴν ἀγανάκτησιν. Διότι ὅλοι αὐτοὶ δὲν νομίζουν ὅτι εἶναι οἱ ἴδιοι ἄξιοι γιὰ τίποτε.

Κατόπιν τῶν ἀνωτέρω εἶναι φανερὸν εἰς ποίας περιπτώσεις ἡ ἀτυχία καὶ ἡ κακοδαιμονία καὶ αἱ ἀποτυχίαι τῶν ἄλλων πρέπει νὰ μᾶς προξενοῦν χαρὰν ἢ τουλάχιστον νὰ μὴ μᾶς προξενοῦν λύπην. Πράγματι ἀπὸ ὅσα ἐξεθέσαμεν εὐκόλως ἠμποροῦν νὰ κατανοηθοῦν καὶ τὰ ἀντίθετά των. Ἑπομένως ἐὰν ὁ ρήτωρ προκαλέσῃ ἀνάλογον ψυχικὴν διάθεσιν εἰς τοὺς δικαστὰς καὶ ἀποδείξῃ ὅτι τὰ πρόσωπα ποὺ ζητοῦν οἶκτον δι' ὡρισμένους λόγους εἶναι ἀνάξια οἴκτου, ἄξια δὲ τοῦ ἐναντίου τότε δὲν εἶναι δυνατὸν οἱ δικασταὶ νὰ τοὺς λυπηθοῦν.

10. ΠΕΡΙ ΦΘΟΝΟΥ

Εἶναι φανερὸν τίνας φθονοῦμεν καὶ διὰ ποίους λόγους καθὼς καὶ εἰς ποίαν ψυχικὴν κατάστασιν εὑρίσκονται οἱ φθονεροί, ἀφοῦ φθόνος εἶναι ἡ λύπη ποὺ αἰσθανόμεθα βλέποντες τοὺς ὁμοίους μας νὰ ἐπιτυγχάνουν ἐκεῖνα ποὺ καθὼς εἴπαμε θεωροῦνται πλεονεκτήματα. ὅταν ἡ λύπη αὐτὴ προέρχεται ὄχι διότι ἡμεῖς βλαπτόμεθα, ἀλλ' ἁπλῶς καὶ μόνον διότι οἱ ἄλλοι ἐπιτυγχάνουν. Διότι πράγματι φθονεῖ κανεὶς τοὺς ὁμοίους του ἢ ἐκείνους ποὺ θεωρεῖ ὁμοίους του. Λέγων δὲ ὁμοίους ἐννοῶ τοὺς ἀνθρώπους ποὺ εὑρίσκονται εἰς τὴν ἰδίαν κατάστασιν ἀπὸ ἔποψιν καταγωγῆς, συγγενείας, ἡλικίας, ἀσχολίας, ὑπολήψεως ἢ ὡς πρὸς τὰ οἰκονομικά. Φθονοῦν ἐπίσης ἐκεῖνοι ποὺ σχεδὸν τὰ ἔχουν ὅλα καὶ γι' αὐτὸ φθονεροὶ εἶναι ὅσοι ἀσχολοῦνται μὲ μεγάλας ἐπιχειρήσεις καὶ ὅσοι εὐδαιμονοῦν. Διότι ὅ,τι ἀποκτοῦν οἱ ἄλλοι νομίζουν ὅτι ἀνῆκε δικαιωματικῶς εἰς αὐτοὺς τοὺς ἰδίους καὶ τοὺς τὸ παίρνουν. Ἐπίσης δὲ καὶ ὅσοι ἐκτιμῶνται ἐξαιρετικὰ γιὰ κάτι καὶ μάλιστα γιὰ τὴν φρόνησιν ἢ γιὰ τὴν εὐτυχίαν των. Καὶ οἱ φιλόδοξοι εἶναι περισσότερον φθονεροὶ παρὰ ὅσοι στεροῦνται φιλοδοξίας, ἐπίσης δὲ καὶ ἐκεῖνοι ποὺ νομίζουν ὅτι εἶναι

σοφίᾳ. Καὶ ὅλως οἱ φιλόδοξοι περί τι φθονεροὶ περὶ τοῦτο. Καὶ οἱ μικρόψυχοι· πάντα γὰρ μεγάλα δοκεῖ αὐτοῖς εἶναι. Ἐφ' οἷς δὲ φθονοῦσι, τὰ μὲν ἀγαθὰ εἴρηται· ἐφ' οἷς γὰρ φιλοδοξοῦσι καὶ φιλοτιμοῦνται ἔργοις ἢ κτήμασι καὶ ὀρέγονται δόξης, καὶ ὅσα εὐτυχήματά ἐστιν, σχεδὸν περὶ πάντα
1388a *φθόνος ἐστί, καὶ μάλιστα ὧν αὐτοὶ ἢ ὀρέγονται ἢ οἴονται δεῖν αὐτοὺς ἔχειν, ἢ ὧν τῇ κτήσει μικρῷ ὑπερέχουσιν ἢ μικρῷ ἐλλείπουσιν. Φανερὸν δὲ καὶ οἷς φθονοῦσιν· ἅμα γὰρ εἴρηται· τοῖς γὰρ ἐγγὺς καὶ χρόνῳ καὶ τόπῳ καὶ ἡλικίᾳ καὶ δόξῃ ⟨καὶ γένει⟩ φθονοῦσιν. Ὅθεν εἴρηται*

τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίσταται.

Καὶ πρὸς οὓς φιλοτιμοῦνται· φιλοτιμοῦνται γὰρ πρὸς τοὺς εἰρημένους, πρὸς δὲ τοὺς μυριοστὸν ἔτος ὄντας ἢ πρὸς τοὺς ἐσομένους ἢ τεθνεῶτας οὐδείς, οὐδὲ πρὸς τοὺς ἐφ' Ἡρακλείαις στήλαις. Οὐδ' ὧν πολὺ οἴονται παρ' αὐτοῖς ἢ παρὰ τοῖς ἄλλοις λείπεσθαι, οὐδ' ὧν πολὺ ὑπερέχειν, ὡσαύτως καὶ πρὸς τοὺς περὶ τὰ τοιαῦτα. Ἐπεὶ δὲ πρὸς τοὺς ἀνταγωνιστὰς καὶ ἀντεραστὰς καὶ ὅλως τοὺς τῶν αὐτῶν ἐφιεμένους φιλοτιμοῦνται, ἀνάγκη μάλιστα τούτοις φθονεῖν, διόπερ εἴρηται.

καὶ κεραμεὺς κεραμεῖ.

Καὶ ὧν ἢ κεκτημένων ἢ κατορθούντων ὄνειδος αὐτοῖς· εἰσὶν δὲ καὶ οὗτοι ⟨οἱ⟩ ἐγγὺς καὶ ὅμοιοι· δῆλον γὰρ ὅτι παρ'

---

1. Ὁ ἀνώνυμος σχολιαστὴς ἀποδίδει τὸν στίχον αὐτὸν εἰς τὸν Αἰσχύλον (Ἀπόσπ. 305 N²).
2. Ἡσιόδου «Ἔργα καὶ Ἡμέραι» στίχ. 15.

σοφοί. Διότι γι' αὐτοὺς φιλοδοξία εἶναι ἡ σοφία. Καὶ γενικὰ φθονεῖ κανεὶς ἐκεῖνα τὰ πράγματα τὰ ὁποῖα φιλοδοξεῖ νὰ ἐπιτύχῃ. Φθονεροὶ ἀκόμη εἶναι ὅσοι ἔχουν μικρότητα χαρακτῆρος, διότι αὐτοὶ θεωροῦν σπουδαῖα ὅλα τὰ πράγματα (ποὺ ἐπιτυγχάνουν οἱ ἄλλοι). Ὁ δὲ φθόνος προκαλεῖται ἀφ' ἑνὸς μὲν ἀπὸ τὰ καλὰ ποὺ ἐπιτυγχάνουν οἱ ἄλλοι, καθὼς εἴπαμεν ἤδη. Πράγματι φθονεῖ κανεὶς γιὰ ὅλα ἐκεῖνα, ὅσα ἐπιδιώκει καὶ φιλοδοξεῖ εἴτε ἔργα εἶναι ταῦτα εἴτε ὑλικὰ ἀποκτήματα, καθὼς καὶ ἐκεῖνα τὰ ὁποῖα ἐπιθυμεῖ γιὰ νὰ ἀποκτήσῃ δόξαν καὶ ἐν γένει κάθε ἐπιτυχίαν. Κυρίως δὲ ἀπ' αὐτὰ προκαλοῦν τὸν φθόνον ὅσα ἐπιθυμεῖ κανεὶς νὰ τὰ ἀποκτήσῃ αὐτὸς ὁ ἴδιος ἢ νομίζει ὅτι ἔπρεπε αὐτὸς νὰ τὰ κατεῖχε ἢ τέλος ὅσα καὶ αὐτὸς ὁ ἴδιος κατέχει εἰς κάπως μεγαλύτερον ἢ μικρότερον βαθμόν. Ἀπὸ ὅσα εἴπαμεν προκύπτει συγχρόνως καὶ ποίους ἀνθρώπους φθονοῦν συνήθως. Πράγματι φθονοῦμεν ἐκείνους ποὺ πλησιάζουν εἰς τὴν κατάστασίν μας εἴτε ὑπὸ ἔποψιν χρόνου εἴτε ἡλικίας εἴτε ὑπολήψεως εἴτε οἰκογενείας. Καὶ γι' αὐτὸ ἐγράφη καὶ ὁ στίχος

Ὁ ὅμοιος φθονεῖ τὸν ὅμοιό του [1].

Φθονοῦμεν ἐπίσης ἐκείνους τοὺς ὁποίους ἀνταγωνιζόμεθα, διότι ἀκριβῶς μὲ τὰ πρόσωπα τὰ εὑρισκόμενα ὑπὸ τὰς συνθήκας ποὺ πρὸ ὀλίγου ἐξετέθησαν, μπορεῖ κανεὶς νὰ εὑρίσκεται εἰς ἀνταγωνισμόν, ἐνῷ κανεὶς δὲν ἀνταγωνίζεται μὲ τοὺς ἀνθρώπους ποὺ ὑπῆρξαν πρὶν δέκα χιλιάδες χρόνια ἢ ποὺ δὲν ἐγεννήθησαν ἀκόμη ἢ πρὸς τοὺς πεθαμένους καθὼς ἐπίσης καὶ πρὸς ἐκείνους ποὺ ζοῦν πολὺ μακρυά εἰς τὰς Ἡρακλείους στήλας λ. χ. Ἐπίσης κανεὶς δὲν ἀνταγωνίζεται μὲ πρόσωπα ποὺ πιστεύει ὅτι εἶναι πολὺ κατώτερά του ἢ πολὺ ἀνώτερα, καὶ τὸ ἴδιο συμβαίνει εἰς ὅλας τὰς ἀναλόγους περιπτώσεις. Ἐπειδὴ δὲ συνήθως ἀνταγωνίζεται κανεὶς μὲ τοὺς ἀνθρώπους ποὺ ἀσκοῦν τὸ ἴδιο ἐπάγγελμα ἢ ποὺ εἶναι ἐρωτευμένοι μὲ τὸ ἴδιο πρόσωπο καὶ γενικὰ μὲ ὅσους ἔχουν τὰς ἰδίας πρὸς αὐτὸν ἐπιθυμίας, ἀναγκαστικὰ αὐτοὺς τοὺς ἀνθρώπους κυρίως φθονεῖ καὶ γι' αὐτὸ ἐγράφη ὁ στίχος

κι ὁ κεραμιδᾶς δὲν χωνεύει τὸν κεραμιδᾶ [2].

Φθονοῦμεν ἐπίσης ἐκείνους ποὺ ἂν ἀποκτήσουν ἢ ἐπιτύχουν κάτι, τοῦτο θὰ γίνῃ ἀφορμὴ νὰ μᾶς κατηγορῇ ὁ κόσμος. Αὐτὸ συμβαίνει ὅταν ἄνθρωποι ποὺ εἶναι εἰς τὰς

αὐτοὺς οὐ τυγχάνουσι τοῦ ἀγαθοῦ, ὥστε τοῦτο λυποῦν ποιεῖ τὸν φθόνον. Καὶ τοῖς ἢ ἔχουσι ταῦτα ἢ κεκτημένοις· ὅσα αὐτοῖς προσῆκεν ἢ κέκτηντο ποτέ· διὸ πρεσβύτεροί τε νεωτέροις, καὶ οἱ πολλὰ δαπανήσαντες εἰς ταὐτὸ τοῖς ὀλίγα φθονοῦσιν. Καὶ τοῖς ταχὺ οἱ μήπω τυχόντες ἢ μὴ τυχόντες φθονοῦσιν. Δῆλον δὲ καὶ ἐφ' οἷς χαίρουσιν οἱ τοιοῦτοι καὶ ἐπὶ τίσι καὶ πῶς ἔχοντες· ὡς γὰρ ἔχοντες λυποῦνται, οὕτως ἔχοντες ἐπὶ τοῖς ἐναντίοις ἡσθήσονται, ὥστε ἂν αὐτοὶ μὲν παρασκευασθῶσιν οὕτως ἔχειν, οἱ δ' ἐλεεῖσθαι ἢ τυγχάνειν τινὸς ἀγαθοῦ ἀξιούμενοι ὦσιν οἷοι οἱ εἰρημένοι, δῆλον ὡς οὐ τεύξονται ἐλέου παρὰ τῶν κυρίων.

11. *Πῶς δὲ ἔχοντες ζηλοῦσι καὶ τὰ ποῖα καὶ ἐπὶ τίσιν, ἐνθένδ' ἐστὶ δῆλον· εἰ γάρ ἐστιν ζῆλος λύπη τις ἐπὶ φαινομένῃ παρουσίᾳ ἀγαθῶν ἐντίμων καὶ ἐνδεχομένων αὐτῷ λαβεῖν περὶ τοὺς ὁμοίους τῇ φύσει, οὐχ ὅτι ἄλλῳ ἀλλ' ὅτι οὐχὶ καὶ αὐτῷ ἐστιν, (διὸ καὶ ἐπιεικής ἐστιν ὁ ζῆλος καὶ ἐπιεικῶν, τὸ δὲ φθονεῖν φαῦλον καὶ φαύλων· ὁ μὲν γὰρ αὑτὸν παρασκευάζει διὰ τὸν ζῆλον τυγχάνειν τῶν ἀγαθῶν, ὁ δὲ τὸν πλησίον μὴ ἔχειν διὰ τὸν φθόνον), ἀνάγκη δὴ ζηλωτι-*
1388b *κοὺς μὲν εἶναι τοὺς ἀξιοῦντας αὑτοὺς ἀγαθῶν ὧν μὴ ἔχου-*

ἰδίας μὲ ἡμᾶς συνθήκας καὶ ὅμοιοί μας ἔχουν ἐπιτυχίας, διότι τότε ὅλοι ἐννοοῦν ὅτι ἀπὸ σφάλμα μας δὲν ἠμποροῦμεν καὶ ἡμεῖς νὰ ἐπιτύχωμεν τὰ ἴδια, αὐτὸ δὲ τὸ πρᾶγμα μᾶς κάνει νὰ λυπούμεθα καὶ προκαλεῖ τὸν φθόνον μας. Φθονοῦμεν ἐπίσης ἐκείνους ποὺ κατέχουν ἢ ἀποκτοῦν ἀγαθά, τὰ ὁποῖα θὰ ἔπρεπε καὶ ἡμεῖς οἱ ἴδιοι νὰ εἴχαμεν ἢ τὰ εἴχαμεν κάποτε καὶ τὰ ἐχάσαμεν. Καὶ γι' αὐτὸ οἱ γέροι πάντοτε φθονοῦν τοὺς νέους. Ἐπίσης ὅσοι γιὰ νὰ ἀποκτήσουν κάτι ὑπεβλήθησαν εἰς μεγάλας δαπάνας φθονοῦν ἐκείνους ποὺ μὲ πολὺ μικρότερα πράγματα ἐπέτυχαν τὸ ἴδιο ἀποτέλεσμα. Ἐπίσης φθονοῦν τοὺς ἀνθρώπους ποὺ εὐκόλως ἐπέτυχαν κάτι, ὅσοι μὲ δυσκολία τὸ κατώρθωσαν ἢ ὅλως διόλου ἀπέτυχαν. Ἀπὸ ὅσα ἐλέχθησαν ἠμποροῦμεν ἀντιστοίχως νὰ ἐννοήσωμεν ποῖα πρόσωπα καὶ πράγματα καὶ ποία ψυχικὴ κατάστασις δίδει χαρὰν εἰς τοὺς φθονεροὺς ἀνθρώπους. Πράγματι, ἂν ὅλα τ' ἀνωτέρω τοὺς λυποῦν, τότε φυσικὰ τὰ ἀντίθετά των τοὺς χαροποιοῦν. Ἑπομένως ἂν ὁ ῥήτωρ προδιαθέσῃ κατ' αὐτὸν τὸν τρόπον τὸ ἀκροατήριόν του, ἐκεῖνοι δὲ ποὺ ζητοῦν οἶκτον ἀνήκουν εἰς μίαν ἀπὸ τὰς κατηγορίας ποὺ ἐξεθέσαμεν πρὸ ὀλίγου, εἶναι φανερὸν ὅτι δὲν θὰ ἐπιτύχουν τὸν οἶκτον αὐτῶν τῶν ἀνθρώπων ἀπὸ τοὺς ὁποίους ἐξαρτᾶται ἡ τύχη των.

11 ΠΕΡΙ ΑΜΙΛΛΗΣ

Ἀπὸ τὰ ἀκόλουθα θὰ καταστῇ φανερὸν εἰς ποίαν ψυχικὴν κατάστασιν εὑρίσκονται ἐκεῖνοι ποὺ αἰσθάνονται ἅμιλλαν, πρὸς ποίους ἁμιλλῶνται καὶ διὰ ποίους λόγους. Πράγματι ἂν ἅμιλλα εἶναι ἡ λύπη ποὺ αἰσθανόμεθα διότι βλέπομεν ὅτι ἄλλοι ἄνθρωποι, ποὺ ἐκ φύσεως εἶναι ὅμοιοί μας, ἔχουν ἀποκτήσει ἔντιμα ἀγαθά, τὰ ὁποῖα εἶναι δυνατὸν καὶ ἡμεῖς νὰ ἀποκτήσωμεν, τὴν δὲ λύπην αὐτὴν δὲν τὴν αἰσθανόμεθα ἐπειδὴ οἱ ἄλλοι τὰ ἀπέκτησαν, ἀλλὰ διότι δὲν τὰ ἀπεκτήσαμεν ἡμεῖς (καὶ γι' αὐτὸ ἡ μὲν ἅμιλλα εἶναι εὐγενικὸ συναίσθημα καὶ συναντᾶται εἰς τοὺς καλοὺς ἀνθρώπους, ἐνῷ ὁ φθόνος εἶναι κακὸν καὶ συναντᾶται εἰς τοὺς μοχθηρούς· διότι ὁ μὲν καλὸς ἄνθρωπος μὲ τὴν ἅμιλλαν προσπαθεῖ νὰ ἐπιτύχῃ ἐκεῖνα ποὺ ἐπιδιώκει, ὁ δὲ κακὸς μὲ τὸν φθόνον ἐπιθυμεῖ νὰ τὰ χάσῃ καὶ ἐκεῖνος ποὺ τὰ ἀπέκτησεν), ἀναγκαῖον συμπέρασμα εἶναι ὅτι αἰσθάνονται ἅμιλλαν ἐκεῖνοι ποὺ κρίνουν τὸν ἑαυτόν των ἄξιον μερικῶν πρα-

σιν· . . . οὐδεὶς γὰρ ἀξιοῖ τὰ φαινόμενα ἀδύνατα. Διὸ οἱ νέοι καὶ οἱ μεγαλόψυχοι τοιοῦτοι. Καὶ οἷς ὑπάρχει τοιαῦτα ἀγαθὰ ἃ τῶν ἐντίμων ἄξιά ἐστιν ἀνδρῶν· ἔστι δὲ ταῦτα πλοῦτος καὶ πολυφιλία καὶ ἀρχαὶ καὶ ὅσα τοιαῦτα· ὡς γὰρ προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι, ὅτι προσῆκε τοῖς ἀγαθῶς ἔχουσι, ζηλοῦσι τὰ τοιαῦτα τῶν ἀγαθῶν. Καὶ οὓς οἱ ἄλλοι ἀξιοῦσιν. Καὶ ὧν πρόγονοι ἢ συγγενεῖς ἢ οἰκεῖοι ἢ τὸ ἔθνος ἢ ἡ πόλις ἔντιμοι, ζηλωτικοὶ περὶ ταῦτα· οἰκεῖα γὰρ οἴονται αὐτοῖς εἶναι, καὶ ἄξιοι τούτων. Εἰ δ' ἐστὶν ζηλωτὰ τὰ ἔντιμα ἀγαθά, ἀνάγκη τάς τε ἀρετὰς εἶναι τοιαύτας, καὶ ὅσα τοῖς ἄλλοις ὠφέλιμα καὶ εὐεργετικά· τιμῶσι γὰρ τοὺς εὐεργετοῦντας καὶ τοὺς ἀγαθούς· καὶ ὅσων ἀγαθῶν ἀπόλαυσις τοῖς πλησίον ἐστίν, οἷον πλοῦτος καὶ κάλλος μᾶλλον ὑγιείας. Φανερὸν δὲ καὶ οἱ ζηλωτοὶ τίνες· οἱ γὰρ ταῦτα καὶ τὰ τοιαῦτα κεκτημένοι ζηλωτοί. Ἔστι δὲ ταῦτα τὰ εἰρημένα, οἷον ἀνδρία σοφία ἀρχή· οἱ γὰρ ἄρχοντες πολλοὺς δύνανται εὖ ποιεῖν, στρατηγοί, ῥήτορες, πάντες οἱ τὰ τοιαῦτα δυνάμενοι. Καὶ οἷς πολλοὶ ὅμοιοι βούλονται εἶναι, ἢ πολλοὶ γνώριμοι, ἢ φίλοι πολλοί. Ἢ οὓς πολλοὶ θαυμάζουσιν, ἢ οὓς αὐτοὶ θαυμάζουσιν. Καὶ ὧν ἔπαινοι καὶ ἐγκώμια λέγονται ἢ ὑπὸ ποιητῶν ἢ λογογράφων. Καταφρονοῦσιν δὲ τῶν ἐναντίων· ἐναντίον γὰρ ζήλῳ καταφρόνησίς ἐστι, καὶ τὸ ζηλοῦν τῷ καταφρονεῖν. Ἀνάγκη δὲ τοὺς οὕτως ἔχοντας ὥστε ζηλῶ-

---

1. Εἰς τὸ σημεῖον αὐτὸ ἀσφαλῶς ὑπάρχει κάποιο κενὸν καὶ πολλοὶ κριτικοὶ ἐξέφεραν τὴν ὑπόθεσιν ὅτι λείπει ἡ φράσις *«καὶ ἐνδεχομένων αὐτοῖς λαβεῖν»*, δηλαδὴ καὶ εἶναι δυνατὸν νὰ τὰ ἀποκτήσουν.

γμάτων τὰ ὁποῖα δὲν ἔχουν.....'. Διότι κανεὶς δὲν θεωρεῖ τὸν ἑαυτόν του ἄξιον πραγμάτων, ποὺ προφανῶς εἶναι ἀδύνατον νὰ τὰ ἀποκτήσῃ. Καὶ γι' αὐτὸ ἡ ἅμιλλα εἶναι αἴσθημα ποὺ δοκιμάζουν οἱ νέοι καὶ οἱ μεγαλόψυχοι ἄνθρωποι. Ἐπίσης ἐκεῖνοι ποὺ ἔχουν ἀγαθὰ ἄξια ἐντίμων ἀνθρώπων. Τοιαῦτα δὲ ἀγαθὰ εἶναι ὁ πλοῦτος, ἡ ὕπαρξις πολλῶν φίλων, τὰ δημόσια λειτουργήματα καὶ ἄλλα ἀνάλογα. Αὐτοὶ πράγματι μὲ τὸ νὰ ἔχουν διάφορα ἀγαθὰ νομίζουν καθῆκον των νὰ εἶναι διακεκριμένοι ἄνθρωποι καὶ γι' αὐτὸ ἐπιδιώκουν τὰ ἀγαθὰ ποὺ ἀπηριθμήσαμεν. Ἀκόμη δὲ καὶ ἐκεῖνοι ποὺ ἀπὸ τοὺς ἄλλους κρίνονται ἄξιοι αὐτῶν τῶν ἀγαθῶν. Ἐπίσης ὅσων οἱ πρόγονοι, οἱ συγγενεῖς, οἱ γνώριμοι ἢ τὸ ἔθνος ἢ ἡ πόλις εἶχαν ἀπολαύσει μεγάλας τιμὰς ἁμιλλῶνται διὰ νὰ ἀποκτήσουν καὶ αὐτοὶ τὰς ἰδίας· διότι θεωροῦν ὅτι αἱ τιμαὶ αὗται τοὺς ἀνήκουν καὶ τοὺς ἀξίζουν. Ἀφοῦ δὲ τὴν ἅμιλλαν προκαλοῦν ἐκεῖνα τὰ ἀγαθὰ ποὺ προσδίδουν τιμήν, ἕπεται κατ' ἀνάγκην ὅτι τοιαῦτα εἶναι καὶ αἱ ἀρεταὶ καθὼς καὶ κάθε τι ποὺ ἠμπορεῖ νὰ εἶναι ὠφέλιμον καὶ εὐεργετικὸν διὰ τοὺς ἄλλους. Διότι οἱ εὐεργέται καὶ οἱ ἐνάρετοι ἄνθρωποι τιμῶνται. Ἐπίσης ἁμιλλᾶται κανεὶς διὰ νὰ ἀποκτήσῃ κυρίως ἐκεῖνα τὰ ἀγαθὰ ποὺ ὠφελοῦν καὶ τὸν πλησίον του· καὶ ἔτσι ὁ πλοῦτος καὶ ἡ ὀμορφιὰ προκαλοῦν τὴν ἅμιλλαν περισσότερον παρὰ ἡ ὑγεία. Εἶναι δὲ φανερὸν καὶ ποῖοι ἄνθρωποι προκαλοῦν τὴν ἅμιλλαν.

Αὐτοὶ εἶναι καὶ ὅσοι ἔχουν τὰ ἀγαθὰ ποὺ ἐξεθέσαμεν ἤδη καθὼς καὶ ἐκεῖνοι ποὺ ἔχουν παρόμοια ἀγαθά, δηλαδὴ καθὼς εἴπαμεν ἀνδρείαν, σοφίαν ἢ ἐξουσίαν. Πράγματι ἐκεῖνοι ποὺ κατέχουν τὴν ἐξουσίαν ἠμποροῦν νὰ εὐεργετήσουν πολὺν κόσμον, δηλαδὴ καὶ οἱ στρατηγοὶ καὶ οἱ πολιτικοὶ ἄνδρες καὶ ὅλοι ὅσοι ἔχουν ἀνάλογα λειτουργήματα. Τὴν ἅμιλλαν ἐπίσης προκαλοῦν ἐκεῖνοι τῶν ὁποίων πολλοὶ ἄνθρωποι θὰ ἤθελαν νὰ ἦσαν ὅμοιοι ἢ γνώριμοι ἢ φίλοι. Ἁμιλλᾶται ἐπίσης κανεὶς πρὸς ἐκείνους ποὺ θαυμάζονται ἀπὸ πολλοὺς ἢ ἀπ' αὐτὸν τὸν ἴδιον, καθὼς καὶ πρὸς ἐκείνους γιὰ τοὺς ὁποίους ἔχουν γραφῆ ἀπὸ ποιητὰς ἢ λογογράφους ἔπαινοι καὶ ἐγκώμια. Καταφρονοῦνται δὲ ὅσοι ἔχουν τὰς ἀντιθέτους ἰδιότητας. Διότι ἡ καταφρόνησις εἶναι τὸ ἀντίθετον τῆς ἁμίλλης καὶ τὸ νὰ καταφρονῇ κανεὶς ἀντίθετον πρὸς τὸ νὰ αἰσθάνεται ἅμιλλαν. Ἀναγκαστικὴ συνέπεια τῶν ἀνωτέρω εἶναι ὅτι ὅσοι αἰσθάνονται ἅμιλλαν καθὼς καὶ ἐκεῖνοι ποὺ

σαί τινας ἢ ζηλοῦσθαι, καταφρονητικοὺς εἶναι τούτων τε καὶ ἐπὶ τούτοις ὅσοι τὰ ἐναντία κακὰ ἔχουσι τῶν ἀγαθῶν τῶν ζηλωτῶν. Διὸ πολλάκις καταφρονοῦσιν τῶν εὐτυχούντων, ὅταν ἄνευ τῶν ἐντίμων ἀγαθῶν ὑπάρχῃ αὐτοῖς ἡ τύχη. Δι' ὧν μὲν οὖν τὰ πάθη ἐγγίγνεται καὶ διαλύεται, ἐξ ὧν αἱ πίστεις γίγνονται περὶ αὐτῶν, εἴρηται.

12. Τὰ δὲ ἤθη ποῖοί τινες κατὰ τὰ πάθη καὶ τὰς ἕξεις καὶ τὰς ἡλικίας καὶ τὰς τύχας, διέλθωμεν μετὰ ταῦτα. Λέγω δὲ πάθη μὲν ὀργὴν ἐπιθυμίαν καὶ τὰ τοιαῦτα, περὶ ὧν εἰρήκαμεν πρότερον, ἕξεις δὲ ἀρετὰς καὶ κακίας, εἴρηται δὲ περὶ τούτων πρότερον, καὶ ποῖα προαιροῦνται ἕκαστοι, καὶ ποίων πρακτικοί. Ἡλικίαι δέ εἰσι νεότης καὶ
1389a ἀκμὴ καὶ γῆρας. Τύχην δὲ λέγω εὐγένειαν καὶ πλοῦτον καὶ δυνάμεις καὶ τἀναντία τούτοις καὶ ὅλως εὐτυχίαν καὶ δυστυχίαν.

Οἱ μὲν οὖν νέοι τὰ ἤθη εἰσὶν ἐπιθυμητικοί, καὶ οἷοι ποιεῖν ἃ ἂν ἐπιθυμήσωσι. Καὶ τῶν περὶ τὸ σῶμα ἐπιθυμιῶν μάλιστα ἀκολουθητικοί εἰσι ταῖς περὶ τὰ ἀφροδίσια καὶ ἀκρατεῖς ταύτης. Εὐμετάβολοι δὲ καὶ ἀψίκοροι πρὸς τὰς ἐπιθυμίας, καὶ σφόδρα μὲν ἐπιθυμοῦσι ταχέως δὲ παύονται· ὀξεῖαι γὰρ αἱ βουλήσεις καὶ οὐ μεγάλαι, ὥσπερ αἱ τῶν καμνόντων δίψαι καὶ πεῖναι. Καὶ θυμικοὶ καὶ ὀξύθυμοι καὶ οἷοι ἀκολουθεῖν τῇ ὀργῇ. Καὶ ἥττους εἰσὶ τοῦ θυμοῦ· διὰ γὰρ φιλοτιμίαν οὐκ ἀνέχονται ὀλιγωρούμενοι, ἀλλ' ἀγανακτοῦσιν ἂν οἴωνται ἀδικεῖσθαι. Καὶ φιλότιμοι μέν εἰσιν, μᾶλλον δὲ φιλόνικοι· ὑπεροχῆς γὰρ ἐπιθυμεῖ ἡ νεότης, ἡ δὲ νίκη ὑπεροχή τις. Καὶ ἄμφω ταῦτα μᾶλλον ἢ φιλοχρήματοι· φιλοχρήματοι δὲ ἥκιστα διὰ τὸ μήπω ἐνδείας

τὴν ἐμπνέουν περιφρονοῦν τὰ πράγματα καὶ τὰ πρόσωπα εἰς τὰ ὁποῖα ἀνευρίσκουν τὰ ἐλαττώματα τὰ ἀντίθετα πρὸς τὰ ἀγαθὰ ποὺ προκαλοῦν τὴν ἅμιλλαν. Καὶ γι' αὐτὸ πολλάκις περιφρονοῦνται ἐκεῖνοι ποὺ εὐημεροῦν, ὅταν αὐτὸ τὸ ὀφείλουν εἰς τὴν τύχην, χωρὶς καὶ ἡ εὐημερία των νὰ συνοδεύεται καὶ ἀπὸ τὰ ἀγαθὰ ποὺ προσδίδουν τιμήν. Ἕως ἐδῶ ἐξεθέσαμεν μὲ ποῖον τρόπον εἶναι δυνατὸν νὰ προκληθοῦν ἢ νὰ κατευνασθοῦν τὰ πάθη καὶ πῶς δύναται νὰ τὰ χρησιμοποιήσῃ ὁ ρήτωρ διὰ νὰ στηρίξῃ ἐπ' αὐτῶν τὰς ἀποδείξεις του.

12. ΠΕΡΙ ΤΩΝ ΗΘΩΝ ΤΩΝ ΝΕΩΝ

Καὶ τώρα θὰ ὁμιλήσωμεν περὶ τῶν ἠθῶν καὶ ἂς ἐξετάσωμεν εἰς ποίας ψυχικὰς καταστάσεις εὑρίσκονται οἱ ἄνθρωποι ἀναλόγως πρὸς τὰ πάθη, πρὸς τὰς ἰδιότητας, πρὸς τὴν ἡλικίαν καὶ πρὸς τὴν καλὴν ἢ κακὴν τύχην. Ὀνομάζω πάθη μὲν τὴν ὀργήν, τὴν ἐπιθυμίαν καὶ τὰ παρόμοια, περὶ τῶν ὁποίων πρὸ ὀλίγου ὡμιλήσαμεν, ἰδιότητας δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας· ἠσχολήθημεν δὲ προηγουμένως καὶ μὲ αὐτὰς καὶ ἐξεθέσαμεν τί τάσεις ἔχουν καὶ τί πράξεις ἐκτελοῦν οἱ ἄνθρωποι, ἀναλόγως πρὸς τὰς ἰδιότητάς των. Ἡλικίαι δὲ εἶναι ἡ νεανική, ἡ ἀνδρικὴ καὶ ἡ γεροντική. Ὀνομάζω τέλος τύχην τὴν καταγωγήν, τὸν πλοῦτον, τὰς διαφόρους ἱκανότητας καθὼς καὶ τὰ ἀντίθετά των καὶ γενικὰ τὴν εὐτυχίαν καὶ τὴν δυστυχίαν.

Ὡς πρὸς τὰ ἤθη οἱ μὲν νέοι αἰσθάνονται σφοδρὰς ἐπιθυμίας καὶ εἶναι ἱκανοὶ νὰ ἐκπληρώσουν ἐκεῖνα ποὺ ἐπιθυμοῦν. Ἀπὸ δὲ τὰς ἐπιθυμίας ποὺ σχετίζονται μὲ τὸ σῶμα, κυρίως αἰσθάνονται τὰς ἐρωτικὰς καὶ δὲν μποροῦν νὰ κυριαρχήσουν ἐπ' αὐτῶν. Μεταβάλλονται εὐκόλως καὶ γρήγορα αἰσθάνονται κόρον δι' ἐκεῖνα ποὺ ἐπεθύμησαν καὶ δι' αὐτὸ ἐνῶ δοκιμάζουν σφοδρὰς ἐπιθυμίας ταχέως ἀδιαφοροῦν. Διότι ἡ θέλησίς των εἶναι μὲν ἔντονος, ὄχι ὅμως καὶ μεγάλη, καθὼς ἀκριβῶς ἡ δίψα καὶ ἡ πεῖνα στὸν ἄρρωστο. Ρέπουν πρὸς τὴν ὀργήν, παραφέρονται εὔκολα καὶ ἀκολουθοῦν ἐκεῖνο ποὺ ἀπεφάσισαν ἐπάνω στὸν θυμόν των χωρὶς νὰ μποροῦν νὰ τὸν συγκρατήσουν· τοῦτο δὲ διότι ἀπὸ ἐγωϊσμὸν δὲν ἀνέχονται τὴν περιφρόνησιν καὶ ἀγανακτοῦν ὅταν νομίζουν πὼς ἀδικοῦνται. Ἀγαποῦν τὰς τιμάς, ἀκόμη δὲ περισσότερον τὴν νίκην, διότι ἡ νεότης ἐπιθυμεῖ νὰ ὑπερέχῃ, ἡ δὲ νίκη εἶναι εἶδος ὑπεροχῆς. Ἀγαποῦν δὲ πολὺ περισσότερον αὐτὰ τὰ δύο παρὰ τὰ χρήματα ἢ μᾶλλον δὲν ἐνδιαφέρονται καθόλου δι' αὐτά, ἐπειδὴ δὲν ἔχουν ἀκόμη δοκιμάσει τί θὰ πῇ φτώχεια, αὐτὸ

πεπειρᾶσθαι, ὥσπερ τὸ Πιττακοῦ ἔχει ἀπόφθεγμα εἰς Ἀμφιάραον. Καὶ οὐ κακοήθεις ἀλλ' εὐήθεις διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς πονηρίας· καὶ εὔπιστοι διὰ τὸ μήπω πολλὰ ἐξηπατῆσθαι. Καὶ εὐέλπιδες· ὥσπερ γὰρ οἱ οἰνωμένοι, οὕτω διάθερμοί εἰσιν οἱ νέοι ὑπὸ τῆς φύσεως· ἅμα δὲ καὶ διὰ τὸ μὴ πολλὰ ἀποτετυχηκέναι. Καὶ ζῶσι τὰ πλεῖστα ἐλπίδι· ἡ μὲν γὰρ ἐλπὶς τοῦ μέλλοντός ἐστιν ἡ δὲ μνήμη τοῦ παροιχομένου, τοῖς δὲ νέοις τὸ μὲν μέλλον πολὺ τὸ δὲ παρεληλυθὸς βραχύ· τῇ γὰρ πρώτῃ ἡμέρᾳ μεμνῆσθαι μὲν οὐδὲν οἷόν τε, ἐλπίζειν δὲ πάντα. Καὶ εὐεξαπάτητοί εἰσι διὰ τὸ εἰρημένον· ἐλπίζουσι γὰρ ῥᾳδίως. Καὶ ἀνδρειότεροι· θυμώδεις γὰρ καὶ εὐέλπιδες, ὧν τὸ μὲν μὴ φοβεῖσθαι τὸ δὲ θαρρεῖν ποιεῖ· οὔτε γὰρ ὀργιζόμενος οὐδεὶς φοβεῖται, τό τε ἐλπίζειν ἀγαθόν τι θαρραλέον ἐστίν. Καὶ αἰσχυντηλοί· οὐ γάρ πω καλὰ ἕτερα ὑπολαμβάνουσιν, ἀλλὰ πεπαίδευνται ὑπὸ τοῦ νόμου μόνον. Καὶ μεγαλόψυχοι· οὔτε γὰρ ὑπὸ τοῦ βίου πω τεταπείνωνται, ἀλλὰ τῶν ἀναγκαίων ἄπειροί εἰσιν, καὶ τὸ ἀξιοῦν αὑτὸν μεγάλων μεγαλοψυχία· τοῦτο δ' εὐέλπιδος. Καὶ μᾶλλον αἱροῦνται πράττειν τὰ καλὰ τῶν συμφερόντων· τῷ γὰρ ἤθει ζῶσι μᾶλλον ἢ τῷ λογισμῷ, ἔστι δὲ ὁ μὲν λογισμὸς τοῦ συμφέροντος ἡ δὲ ἀρετὴ τοῦ καλοῦ. Καὶ φιλόφιλοι καὶ φιλέταιροι μᾶλλον τῶν ἄλλων
1389 b *ἡλικιῶν διὰ τὸ χαίρειν τῷ συζῆν καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν, ὥστε μηδὲ τοὺς φίλους. Καὶ ἅπαντα ἐπὶ τὸ μᾶλλον καὶ σφοδρότερον ἁμαρτάνουσι παρὰ τὸ Χιλώνειον· πάντα γὰρ ἄγαν πράττουσιν· φιλοῦσι γὰρ ἄγαν καὶ*

---

1. Ὁ Πιττακὸς ἦτο ἕνας ἀπὸ τοὺς ἑπτὰ σοφοὺς καὶ τύραννος τῆς Μυτιλήνης. Τὸ ἀπόφθεγμα αὐτὸ ἔχει ὡς ἑξῆς :

Σὺ δ' οὔπω χρυσῶν ἔρωτος ἐγεύσω
ἢ γαρ ἂν χεῖρας εἶχες ἑτοίμους λαβεῖν ;

Δηλαδὴ «Ἀλλὰ σὺ δὲν εἶχες ἀκόμη δοκιμάσει τὴν ἀγάπην πρὸς τὸ χρῆμα, πῶς λοιπὸν τὰ χέρια σου θὰ ἦσαν ἕτοιμα ν' ἁρπάξουν ;».

2. Μηδὲν ἄγαν.

δὲ τὸ ἐκφράζει τὸ γνωστὸν ἀπόφθεγμα τοῦ Πιτταχοῦ περὶ τοῦ Ἀμφιαράου [1]. Οἱ νέοι δὲν ἔχουν κακὰς διαθέσεις· εἶναι μᾶλλον καλοί, διότι δὲν εἶδαν ἀκόμη πολλὰ παραδείγματα διεφθαρμένων ἀνθρώπων. Εἶναι εὐκολόπιστοι, διότι δὲν ἔχουν ἀκόμη ἐξαπατηθῆ συχνά. Εἶναι γεμᾶτοι ἐλπίδας· αὐτὸ συμβαίνει, διότι ἡ φύσις τοὺς ἔχει προικίσει μὲ ἕνα εἶδος θέρμης ὡσὰν αὐτὴν ποὺ αἰσθάνονται ὅσοι ἤπιαν πολὺ κρασί. Ὀφείλεται ὅμως ἡ ἰδιότης των αὐτὴ καὶ εἰς τὸ ὅτι δὲν ἐδοκίμασαν ἀκόμη πολλὰς ἀποτυχίας. Ζοῦν κυρίως μὲ τὴν ἐλπίδα, διότι ἡ μὲν ἐλπὶς ἀφορᾶ τὸ μέλλον, ἡ δὲ ἀνάμνησις τὸ παρελθόν· ἀλλὰ διὰ τοὺς νέους τὸ μὲν μέλλον μεγάλο, τὸ δὲ παρελθὸν μικρό. Καὶ πράγματι εἰς τὰς πρώτας ἡμέρας τῆς ὑπάρξεως δὲν εἶναι δυνατὸν νὰ ὑπάρξῃ καμμιὰ ἀνάμνησις, ἐπιτρέπονται ὅμως ὅλαι αἱ ἐλπίδες. Διὰ τὸν λόγον δὲ αὐτὸν εὐκόλως ἐξαπατῶνται, διότι καὶ εὐκόλως σχηματίζουν ἐλπίδας. Ἐπειδὴ δὲ ἔχουν κλίσιν πρὸς τὴν ὀργὴν καὶ πρὸς τὴν ἐλπίδα εἶναι ἀνδρειότεροι, διότι ἡ μιὰ μὲν ἰδιότης συντελεῖ εἰς τὸ νὰ μὴ φοβοῦνται, ἡ δὲ ἄλλη δίδει θάρρος. Καὶ πράγματι κανεὶς δὲν φοβεῖται ὅταν εἶναι θυμωμένος, ἡ δὲ ἐλπὶς τῆς ἐπιτυχίας μᾶς κάμνει θαρραλέους. Εἶναι ντροπαλοί, διότι ξέρουν μόνον ὅσα ἐδιδάχθησαν σύμφωνα μὲ τοὺς νόμους καὶ δὲν ὑποθέτουν ὅτι ὑπάρχουν καὶ ἄλλα εὐχάριστα πράγματα. Εἶναι μεγαλόψυχοι, διότι ἀκόμη δὲν τοὺς ἐταπείνωσεν ὁ ἀγὼν τῆς ζωῆς οὔτε ἐδοκίμασαν ἀνάγκας. Ἐξ ἄλλου ὅποιος πιστεύει ὅτι εἶναι ἄξιος μεγάλων πραγμάτων εἶναι καὶ μεγαλόψυχος. Αὐτὸ ὅμως τὸ πιστεύουν ἐκεῖνοι ποὺ ἔχουν πολλὰς ἐλπίδας.

Προτιμοῦν νὰ κάμουν ἐκεῖνο ποὺ τοὺς φαίνεται ὡραῖον παρὰ ἐκεῖνο ποὺ τοὺς συμφέρει, διότι αἱ πράξεις των ὑπαγορεύονται μᾶλλον ἀπὸ τὴν καρδιὰ παρὰ ἀπὸ τὸν ὑπολογισμόν· καὶ ὁ ὑπολογισμὸς μὲν λαμβάνει ὑπ' ὄψιν του τὸ συμφέρον, ἐνῶ ἡ ἀρετὴ τὸ ὡραῖον. Οἱ νέοι ἀγαποῦν περισσότερον τοὺς φίλους καὶ τοὺς συντρόφους των παρὰ ὅσοι εὑρίσκονται εἰς ἄλλην ἡλικίαν· τοῦτο δὲ ἐπειδὴ δοκιμάζουν μεγάλην εὐχαρίστησιν εἰς τὸ νὰ ζοῦν μαζὶ μὲ τοὺς ἄλλους καὶ ἐπειδὴ ἀκόμη δὲν ἤρχισαν νὰ σχηματίζουν κρίσεις μὲ βάσιν τὸ συμφέρον των, γιὰ κανένα πρᾶγμα, ἑπομένως οὔτε καὶ γιὰ τοὺς φίλους των. Καὶ ὅλα τὰ σφάλματά των προέρχονται ἀπὸ τὴν ὑπερβολήν· διότι οἱ νέοι δὲν τηροῦν τὸ ρητὸν τοῦ Χίλωνος [2]. Πράγματι ὑπερβάλλουν εἰς ὅλα· ἀγαποῦν ὑπερβολικά, μισοῦν ὑπερβολικὰ καὶ τὸ ἴδιο συμβαίνει εἰς ὅλας τὰς

μισοῦσιν ἄγαν καὶ τἆλλα πάντα ὁμοίως. Καὶ εἰδέναι ἅπαντα οἴονται καὶ διισχυρίζονται· τοῦτο γὰρ αἴτιόν ἐστιν καὶ τοῦ πάντα ἄγαν. Καὶ τὰ ἀδικήματα ἀδικοῦσιν εἰς ὕβριν, οὐ κακουργίαν. Καὶ ἐλεητικοὶ διὰ τὸ πάντας χρηστοὺς καὶ βελτίους ὑπολαμβάνειν· τῇ γὰρ αὑτῶν ἀκακίᾳ τοὺς πέλας μετροῦσιν, ὥστε ἀνάξια πάσχειν ὑπολαμβάνουσιν αὐτούς. Καὶ φιλογέλωτες, διὸ καὶ εὐτράπελοι· ἡ γὰρ εὐτραπελία πεπαιδευμένη ὕβρις ἐστίν.

13. *Τὸ μὲν οὖν τῶν νέων τοιοῦτόν ἐστιν ἦθος, οἱ δὲ πρεσβύτεροι καὶ παρηκμακότες σχεδὸν ἐκ τῶν ἐναντίων τούτοις τὰ πλεῖστα ἔχουσιν ἤθη· διὰ γὰρ τὸ πολλὰ ἔτη βεβιωκέναι καὶ πλείω ἐξηπατῆσθαι καὶ ἐξημαρτηκέναι, καὶ τὰ πλείω φαῦλα εἶναι τῶν πραγμάτων, οὔτε διαβεβαιοῦνται οὐδέν, ἧττόν τε ἄγαν ἅπαντα ἢ δεῖ. Καὶ οἴονται, ἴσασι δ' οὐδέν, καὶ ἀμφιδοξοῦντες προστιθέασιν ἀεὶ τὸ ἴσως καὶ τάχα, καὶ πάντα λέγουσιν οὕτως, παγίως δ' οὐδέν. Καὶ κακοήθεις εἰσίν· ἔστι γὰρ κακοήθεια τὸ ἐπὶ τὸ χεῖρον ὑπολαμβάνειν πάντα. Ἔτι δὲ καχύποπτοί εἰσι διὰ τὴν ἀπιστίαν, ἄπιστοι δὲ δι' ἐμπειρίαν. Καὶ οὔτε φιλοῦσιν σφόδρα οὔτε μισοῦσι διὰ ταῦτα, ἀλλὰ κατὰ τὴν Βίαντος ὑποθήκην καὶ φιλοῦσιν ὡς μισήσοντες καὶ μισοῦσιν ὡς φιλήσοντες. Καὶ μικρόψυχοι διὰ τὸ τεταπεινῶσθαι ὑπὸ τοῦ βίου· οὐδενὸς γὰρ μεγάλου οὐδὲ περιττοῦ, ἀλλὰ τῶν πρὸς τὸν βίον ἐπιθυμοῦσι. Καὶ ἀνελεύθεροι· ἓν γάρ τι τῶν ἀναγκαίων ἡ οὐσία, ἅμα δὲ καὶ διὰ τὴν ἐμπειρίαν ἴσασιν ὡς χαλεπὸν τὸ κτήσασθαι καὶ ῥᾴδιον τὸ ἀποβαλεῖν. Καὶ δειλοὶ καὶ πάντα προφοβητικοί· ἐναντίως γὰρ διάκεινται τοῖς νέοις· κατεψυ-*

1. *Βίας ὁ Πριηνεύς*, εἷς ἐκ τῶν ἑπτὰ σοφῶν. Πρβλ. καὶ Κικέρωνος De amicitia § 16.

ἄλλας πράξεις των. Νομίζουν ὅτι τὰ ξέρουν ὅλα καὶ ἀνακατεύονται εἰς ὅλα· καὶ γι' αὐτὸν τὸν λόγον ἀκριβῶς εἶναι ὑπερβολικοί. Ἂν συμβῇ νὰ διαπράξουν κάποιο ἀδίκημα, τοῦτο ὀφείλεται εἰς τὴν αὐθάδειαν καὶ ὄχι εἰς κακίαν. Αἰσθάνονται εὔκολα οἶκτον, διότι θεωροῦν ὅλους τοὺς ἀνθρώπους καλοὺς καὶ ἐναρέτους. Πράγματι ὡς μέτρον κρίσεως γιὰ τοὺς ἄλλους χρησιμοποιοῦν τὴν ἰδικήν των ἀθωότητα καὶ γι αὐτὸ πιστεύουν ὅτι κάθε τι ποὺ παθαίνει ἕνας ἄλλος δὲν ἤξιζε νὰ τὸ πάθῃ. Ἀγαποῦν τὸ γέλιο καὶ γι' αὐτὸ τοὺς ἀρέσουν τὰ πειράγματα· διότι τὰ πειράγματα εἶναι ἕνα εἶδος εὐγενοῦς προσβολῆς.

13. ΠΕΡΙ ΤΩΝ ΗΘΩΝ ΤΗΣ ΓΕΡΟΝΤΙΚΗΣ ΗΛΙΚΙΑΣ

Αὐτὰ εἶναι τὰ ἤθη τῶν νέων· οἱ δὲ γεροντότεροι καὶ ὅσοι ἐπέρασαν πλέον τὴν ἀνδρικὴν ἡλικίαν ἔχουν σχεδὸν ἐντελῶς τὸν ἀντίθετον χαρακτῆρα. Πράγματι ἐπειδὴ ἔζησαν πολλὰ χρόνια, ἐπειδὴ ἐξηπατήθησαν πολλάκις, ἐπειδὴ ὑπέπεσαν εἰς πολλὰ σφάλματα καὶ ἐπειδὴ αἱ περισσότεραι πράξεις τῶν ἀνθρώπων εἶναι κακαί, γιὰ τίποτε δὲν εἶναι βέβαιοι, καὶ ὄχι μόνον δὲν κάμνουν ὑπερβολὰς ἀλλὰ πάντοτε ἐνεργοῦν ὀλιγώτερον ἀπὸ ὅ,τι πρέπει. Πάντοτε νομίζουν, ποτὲ δὲν λέγουν ὅτι ξαίρουν καλά. Καὶ ὅταν τὰ λεγόμενά των προκαλοῦν ἀντιρρήσεις προσθέτουν πάντοτε «ἴσως», «μπορεῖ». Γιὰ ὅλα τὰ πράγματα ἐκφράζονται κατ' αὐτὸν τὸν τρόπον καὶ γιὰ κανένα μὲ βεβαιότητα. Εἶναι κακοῦ χαρακτῆρος, διότι καὶ τὸ νὰ ὑποπτεύεται κανεὶς κακὸ γιὰ κάθε τὶ δείχνει κακὸν χαρακτῆρα. Εἶναι δὲ καχύποπτοι, διότι δὲν πιστεύουν κανένα, δὲν πιστεύουν δὲ διότι ἔχουν πεῖραν. Διὰ τὸν ἴδιον λόγον οὔτε ἀγαποῦν οὔτε μισοῦν μὲ σφοδρότητα, ἀλλὰ σύμφωνα μὲ τὸ γνωμικὸ τοῦ Βίαντος [1] ἀγαποῦν ὡσὰν νὰ ἐπρόκειτο τὴν ἄλλη μέρα νὰ μισήσουν καὶ μισοῦν ὡσὰν νὰ ἐπρόκειτο τὴν ἄλλην ἡμέραν ν' ἀγαπήσουν. Εἶναι μικρόψυχοι, ἐπειδὴ τοὺς ἔχει ταπεινώσει ὁ ἀγὼν τῆς ζωῆς, διότι πράγματι αἱ ἐπιθυμίαι των δὲν στρέφονται πλέον πρὸς τίποτε τὸ μεγάλο καὶ ἀνώτερο, ἀλλ' ἐπιδιώκουν μόνον νὰ ἔχουν τὰ ὑλικὰ μέσα τῆς συντηρήσεώς των. Εἶναι φιλοχρήματοι, διότι ἀφ' ἑνὸς μὲν τὸ χρῆμα τοὺς ἀναγκαιοῖ, ἀφ' ἑτέρου δὲ ἔχουν δοκιμάσει πόσον δύσκολον εἶναι νὰ ἀποκτήσῃ κανεὶς καὶ πόσον εὔκολον νὰ χάσῃ. Εἶναι δειλοὶ καὶ ὅλα τοὺς φοβίζουν, διότι εὑρίσκονται εἰς ψυχικὴν διάθεσιν ἐντελῶς ἀντίθετον ἀπὸ ἐκείνην ποὺ ἔχουν οἱ νέοι. Πράγματι, εἶναι ἐντελῶς ψυχροί,

γμένοι γάρ εἰσιν, οἱ δὲ θερμοί, ὥστε προωδοπεποίηκε τὸ γῆρας τῇ δειλίᾳ· καὶ γὰρ ὁ φόβος κατάψυξίς ἐστιν. Καὶ φιλόζωοι, καὶ μᾶλλον ἐπὶ τῇ τελευταίᾳ ἡμέρᾳ διὰ τὸ τοῦ ἀπόντος εἶναι τὴν ἐπιθυμίαν, καὶ οὗ δὲ ἐνδεεῖς, τούτου μάλιστα ἐπιθυμεῖν. Καὶ φίλαυτοι μᾶλλον ἢ δεῖ· μικροψυχία γάρ τις καὶ αὕτη. Καὶ πρὸς τὸ συμφέρον ζῶσιν, ἀλλ' οὐ πρὸς τὸ καλόν, μᾶλλον ἢ δεῖ διὰ τὸ φίλαυτοι εἶναι· τὸ μὲν
1390a *γὰρ συμφέρον αὐτῷ ἀγαθόν ἐστι, τὸ δὲ καλὸν ἁπλῶς. Καὶ ἀναίσχυντοι μᾶλλον ἢ αἰσχυντηλοί· διὰ γὰρ τὸ μὴ φροντίζειν ὁμοίως τοῦ καλοῦ καὶ συμφέροντος ὀλιγωροῦσι τοῦ δοκεῖν. Καὶ δυσέλπιδες διὰ τὴν ἐμπειρίαν· τὰ γὰρ πλείω τῶν γιγνομένων φαῦλά ἐστιν· ἀποβαίνει γὰρ τὰ πολλὰ ἐπὶ τὸ χεῖρον· καὶ ἔτι διὰ τὴν δειλίαν. Καὶ ζῶσι τῇ μνήμῃ μᾶλλον ἢ τῇ ἐλπίδι· τοῦ γὰρ βίου τὸ μὲν λοιπὸν ὀλίγον τὸ δὲ παρεληλυθὸς πολύ, ἔστι δὲ ἡ μὲν ἐλπὶς τοῦ μέλλοντος ἡ δὲ μνήμη τῶν παροιχομένων. Ὅ περ αἴτιον καὶ τῆς ἀδολεσχίας αὐτοῖς· διατελοῦσι γὰρ τὰ γενόμενα λέγοντες· ἀναμιμνησκόμενοι γὰρ ἥδονται. Καὶ οἱ θυμοὶ ὀξεῖς μὲν ἀσθενεῖς δέ εἰσιν, καὶ ἐπιθυμίαι αἱ μὲν ἐκλελοίπασιν αἱ δὲ ἀσθενεῖς εἰσιν, ὥστε οὔτ' ἐπιθυμητικοὶ οὔτε πρακτικοὶ κατὰ τὰς ἐπιθυμίας, ἀλλὰ κατὰ τὸ κέρδος. Διὸ σωφρονικοὶ φαίνονται οἱ τηλικοῦτοι· αἵ τε γὰρ ἐπιθυμίαι ἀνείκασι καὶ δουλεύουσι τῷ κέρδει. Καὶ μᾶλλον ζῶσι κατὰ λογισμὸν ἢ κατὰ τὸ ἦθος· ὁ μὲν γὰρ λογισμὸς τοῦ συμφέροντος τὸ δ' ἦθος τῆς ἀρετῆς ἐστιν. Καὶ τἀδικήματα ἀδικοῦσιν εἰς κακουργίαν, οὐχ ὕβριν. Ἐλεητικοὶ δὲ καὶ οἱ γέροντές εἰσιν, ἀλλ' οὐ διὰ ταὐτὰ τοῖς νέοις· οἱ μὲν γὰρ διὰ φιλανθρωπίαν, οἱ δὲ δι' ἀσθένειαν·*

ἐνῷ ἐκεῖνοι, ὅπως εἴπαμεν, εἶναι θερμοὶ καὶ γι' αὐτὸ τὸ γῆρας τοὺς προδιαθέτει πρὸς τὴν δειλίαν. Διότι καὶ ἐκεῖνος ποὺ φοβεῖται παγώνει. Ἀγαποῦν ὑπερβολικὰ τὴν ζωήν των καὶ μάλιστα ὅσο πλησιάζει τὸ τέλος των. Τοῦτο δὲ συμβαίνει, διότι ἡ ἐπιθυμία ἀφορᾶ πάντοτε κάτι ποὺ δὲν τὸ ἔχομεν. Καὶ κυρίως ἐπιθυμοῦμεν τὸ πρᾶγμα ποὺ μᾶς λείπει. Ἀγαποῦν τὸν ἑαυτόν των περισσότερον ἀπὸ ὅ,τι πρέπει, καὶ τοῦτο δὲ εἶναι κάποιο εἶδος μικροψυχίας. Ἡ ζωή των κανονίζεται σύμφωνα μὲ τὸ συμφέρον των καὶ ὄχι σύμφωνα μὲ ἐκεῖνο ποὺ εἶναι ὡραῖον· αὐτὸ δὲ συμβαίνει εἰς βαθμὸν μεγαλύτερον ἀπὸ ὅ,τι πρέπει, ἀκριβῶς ἐπειδὴ εἶναι φίλαυτοι. Πράγματι, τὸ μὲν συμφέρον εἶναι καλὸ γιὰ μᾶς τοὺς ἰδίους, ἐνῷ τὸ ὡραῖον εἶναι αὐτὸ καθ' ἑαυτὸ καλόν. Δὲν εἶναι ντροπαλοὶ ἀλλὰ μᾶλλον ἀναίσχυντοι, τοῦτο δὲ συμβαίνει ἐπειδή, ἀποβλέποντες περισσότερον πρὸς τὸ συμφέρον των παρὰ πρὸς τὸ ὡραῖον, δὲν ἐνδιαφέρονται διὰ τὴν γνώμην τῶν ἄλλων. Ἡ πεῖρα των τοὺς ἐδίδαξε νὰ μὴ τρέφουν ἐλπίδας, διότι τὰ περισσότερα πράγματα ποὺ συμβαίνουν εἰς τὸν κόσμον εἶναι δυσάρεστα καὶ ἡ ἔκβασίς των εἶναι πρὸς τὸ χειρότερον. Καὶ ἡ δειλία των ἐπίσης εἶναι ἕνας λόγος διὰ τὸν ὁποῖον δὲν τρέφουν ἐλπίδας. Ζοῦν περισσότερον μὲ τὴν ἀνάμνησιν παρὰ μὲ τὴν ἐλπίδα, διότι ἡ πολλὴ ζωή των ἐπέρασε καὶ τοὺς ἀπομένει ὀλίγη καὶ ἡ μὲν ἐλπὶς στρέφεται πρὸς τὸ μέλλον, ἡ δὲ ἀνάμνησις πρὸς τὸ παρελθόν. Αὐτὸ εἶναι καὶ ἡ αἰτία τῆς φλυαρίας των· πράγματι συνεχῶς διηγοῦνται ἐκεῖνα ποὺ τοὺς συνέβησαν, διότι εὑρίσκουν ἡδονὴν εἰς τὴν ἀνάμνησίν των. Ὁ θυμός των εἶναι ἔντονος, ὄχι ὅμως καὶ μεγάλος. Ἀπὸ τὰς ἐπιθυμίας ἄλλαι τοὺς ἐγκατέλειψαν τελείως, ἄλλαι δὲ εἶναι ἐντελῶς ἀσθενεῖς καὶ ἔτσι ἢ δὲν ἐκδηλώνουν καμμιὰν ἐπιθυμία ἢ καὶ ἐὰν ἐκδηλώνουν δὲν ἠμποροῦν νὰ τὴν πραγματοποιήσουν καὶ ἐπιδιώκουν μόνον ὅ,τι εἶναι ἐπικερδές. Καὶ γι' αὐτὸ ὅσοι ἔφθασαν εἰς αὐτὴν τὴν ἡλικίαν φαίνονται ἐγκρατεῖς. Διότι αἱ μὲν ἐπιθυμίαι τοὺς ἔχουν ἀφήσει, ὑπεδουλώθησαν δὲ εἰς τὸ κέρδος. Ἡ ζωή των ρυθμίζεται μᾶλλον ἀπὸ τὸν ὑπολογισμὸν παρὰ ἀπὸ τὸ αἴσθημα. Καὶ ὁ μὲν ὑπολογισμὸς ὁδηγεῖ εἰς τὸ συμφέρον, τὸ δὲ αἴσθημα εἰς τὴν ἀρετήν. Ἂν συμβῇ νὰ ὑποπέσουν εἰς ἀδίκημα αὐτὸ ὀφείλεται εἰς τὸν κακόν των χαρακτῆρα καὶ ὄχι εἰς αὐθάδειαν. Καὶ οἱ γέροντες ἐπίσης αἰσθάνονται οἶκτον, ὄχι ὅμως διὰ τὴν ἰδίαν αἰτίαν ποὺ τὸν αἰσθάνονται οἱ νέοι. Πράγματι οἱ νέοι δοκιμάζουν αὐτὸ τὸ αἴσθημα ἀπὸ ἀνθρωπισμόν, ἐνῶ

πάντα γὰρ οἴονται ἐγγὺς εἶναι αὐτοῖς παθεῖν, τοῦτο δ' ἦν ἐλεητικόν, ὅθεν ὀδυρτικοί εἰσι, καὶ οὐκ εὐτράπελοι οὐδὲ φιλογέλοιοι· ἐναντίον γὰρ τὸ ὀδυρτικὸν τῷ φιλογέλωτι.

Τῶν μὲν οὖν νέων καὶ τῶν πρεσβυτέρων τὰ ἤθη τοιαῦτα, ὥστ' ἐπεὶ ἀποδέχονται πάντες τοὺς τῷ σφετέρῳ ἤθει λεγομένους λόγους καὶ τοὺς ὁμοίους, οὐκ ἄδηλον πῶς χρώμενοι τοῖς λόγοις τοιοῦτοι φανοῦνται καὶ αὐτοὶ καὶ οἱ λόγοι.

14. *Οἱ δ' ἀκμάζοντες φανερὸν ὅτι μεταξὺ τούτων τὸ ἦθος ἔσονται ἑκατέρων ἀφαιροῦντες τὴν ὑπερβολήν, καὶ οὔτε σφόδρα θαρροῦντες (θρασύτης γὰρ τὸ τοιοῦτον) οὔτε λίαν φοβούμενοι, καλῶς δὲ πρὸς ἄμφω ἔχοντες, οὔτε πᾶσι πιστεύοντες οὔτε πᾶσιν ἀπιστοῦντες, ἀλλὰ κατὰ τὸ ἀληθὲς κρίνοντες μᾶλλον, καὶ οὔτε πρὸς τὸ καλὸν ζῶντες μόνον οὔτε*
1390b *πρὸς τὸ συμφέρον ἀλλὰ πρὸς ἄμφω, καὶ οὔτε πρὸς φειδὼ οὔτε πρὸς ἀσωτίαν ἀλλὰ πρὸς τὸ ἁρμόττον. Ὁμοίως δὲ καὶ πρὸς θυμὸν καὶ πρὸς ἐπιθυμίαν. Καὶ σώφρονες μετ' ἀνδρίας καὶ ἀνδρεῖοι μετὰ σωφροσύνης. Ἐν γὰρ τοῖς νέοις καὶ τοῖς γέρουσι διῄρηται ταῦτα· εἰσὶν γὰρ οἱ μὲν νέοι ἀνδρεῖοι καὶ ἀκόλαστοι, οἱ δὲ πρεσβύτεροι σώφρονες καὶ δειλοί. Ὡς δὲ καθόλου εἰπεῖν, ὅσα μὲν διῄρηται ἡ νεότης καὶ τὸ γῆρας τῶν ὠφελίμων, ταῦτα ἄμφω ἔχουσιν, ὅσα δὲ ὑπερβάλλουσιν ἢ ἐλλείπουσιν, τούτων τὸ μέτριον καὶ τὸ ἁρμόττον. Ἀκμάζει δὲ τὸ μὲν σῶμα ἀπὸ τῶν τριάκοντα ἐτῶν μέχρι τῶν πέντε καὶ τριάκοντα, ἡ δὲ ψυχὴ περὶ τὰ ἑνὸς δεῖν πεντήκοντα.*

οἱ γέροι ἐξ αἰτίας τῆς ἀδυναμίας των. Αὐτὴ πράγματι συντελεῖ εἰς τὸ νὰ νομίζουν ὅτι ἀπὸ στιγμῆς εἰς στιγμὴν πρόκειται νὰ πάθουν κάτι κακόν, ἡ δὲ ψυχικὴ αὐτὴ κατάστασις, ὅπως εἴπαμεν, εἶναι ἐκείνη ποὺ συντελεῖ εἰς τὸ νὰ δοκιμάζωμεν οἶκτον καὶ γι' αὐτὸ συνεχῶς γκρινιάζουν καὶ δὲν τοὺς ἀρέσουν οὔτε τὰ ἀστεῖα οὔτε τὸ γέλιο. Διότι ὁ γκρινιάρης εἶναι τὸ ἀντίθετον τοῦ εὐθύμου ἀνθρώπου.

Αὐτὸς εἶναι ὁ χαρακτὴρ τῶν νέων καὶ τῶν γέρων καὶ ἑπομένως ἐπειδὴ εἰς τὸν καθένα εἶναι εὐπρόσδεκτοι ἐκεῖνοι οἱ λόγοι ποὺ ταιριάζουν εἰς τὸν χαρακτῆρα του ἢ πλησιάζουν πρὸς αὐτόν, δὲν εἶναι δύσκολον νὰ ἐννοήσωμεν ποίους λόγους πρέπει νὰ χρησιμοποιοῦμεν, ὥστε καὶ ἡμεῖς καὶ ἡ ἀγόρευσίς μας νὰ φαίνεται ὅτι συμφωνεῖ μὲ τὸν χαρακτῆρα τοῦ ἀκροατηρίου μας.

14. ΠΕΡΙ ΤΩΝ ΗΘΩΝ ΤΗΣ ΑΝΔΡΙΚΗΣ ΗΛΙΚΙΑΣ

Ὅσοι εὑρίσκονται εἰς τὴν ἀκμὴν τῆς ἡλικίας των εἶναι φανερὸν ὅτι ἔχουν χαρακτῆρα διάμεσον μεταξὺ τοῦ νεανικοῦ καὶ τοῦ γεροντικοῦ καὶ ἀποφεύγουν τὰς ὑπερβολὰς καὶ τοῦ ἑνὸς καὶ τοῦ ἄλλου. Ἑπομένως δὲν εἶναι οὔτε ὑπερβολικὰ θαρραλέοι (διότι τοῦτο καταντᾶ θράσος) οὔτε πάλιν ἐξαιρετικὰ δειλοί, ἀλλὰ κρατοῦν μίαν ὀρθὴν στάσιν μεταξὺ τῶν δύο αὐτῶν αἰσθημάτων. Δὲν ἐμπιστεύονται εἰς τὸν πρῶτον τυχόντα, ἀφ' ἑτέρου ὅμως δὲν δυσπιστοῦν πρὸς ὅλον τὸν κόσμον, ἀλλὰ σχηματίζουν ἰδιαιτέραν κρίσιν διὰ τὸν καθένα καὶ ἡ κρίσις αὐτὴ πλησιάζει μᾶλλον πρὸς τὴν ἀλήθειαν. Ἡ ζωή των δὲν ρυθμίζεται μόνον ἀπὸ τὸ συμφέρον οὔτε μόνον ἀπὸ τὸ ὡραῖον, ἀλλὰ ἀπὸ ἕνα συγκερασμὸν καὶ τῶν δύο. Δὲν εἶναι οὔτε φιλάργυροι οὔτε ἄσωτοι, ἀλλὰ κρατοῦν τὸ μέτρον ποὺ ἁρμόζει. Τὸ ἴδιο συμβαίνει καὶ ἐν σχέσει μὲ τὴν ὀργὴν καὶ μὲ τὰς ἐπιθυμίας των. Εἶναι φρόνιμοι, χωρὶς γι' αὐτὸ νὰ εἶναι δειλοί, καὶ εἶναι ἀνδρεῖοι χωρὶς γι' αὐτὸ νὰ τοὺς ἐγκαταλείπῃ ἡ φρόνησις· ἐνῶ εἰς τοὺς νέους καὶ εἰς τοὺς γέρους αἱ δύο αὐταὶ ἰδιότητες χωρίζονται. Πράγματι, οἱ μὲν νέοι εἶναι γενναῖοι, ἀλλὰ τελείως ἀσυλλόγιστοι, οἱ δὲ γέροι φρόνιμοι, ἀλλὰ δειλοί. Καὶ γενικὰ οἱ ὥριμοι ἄνδρες συνενώνουν τὰ προτερήματα καὶ τῆς νεανικῆς καὶ τῆς γεροντικῆς ἡλικίας καὶ ἐνῶ εἰς τὰς δύο αὐτὰς ἡλικίας ὑπάρχουν ὑπερβολαὶ καὶ ἐλλείψεις, ἐκεῖνοι ἔχουν τὸ προσῆκον μέτρον εἰς ὅλας τὰς ἰδιότητάς των. Καὶ ἡ μὲν σωματικὴ ἀκμὴ σημειοῦται μεταξὺ τοῦ τριακοστοῦ καὶ τοῦ τριακοστοῦ πέμπτου

Περὶ μὲν οὖν νεότητος καὶ γήρως καὶ ἀκμῆς, ποίων ἠθῶν ἕκαστόν ἐστιν, εἰρήσθω τοσαῦτα.

15. *Περὶ δὲ τῶν ἀπὸ τύχης γιγνομένων ἀγαθῶν, δι' ὅσα αὐτῶν καὶ τὰ ἤθη ποιά ἄττα συμβαίνει τοῖς ἀνθρώποις, λέγωμεν ἐφεξῆς. Εὐγενείας μὲν οὖν ἦθός ἐστι τὸ φιλοτιμότερον εἶναι τὸν κεκτημένον αὐτήν· ἅπαντες γάρ, ὅταν ὑπάρχῃ τι, πρὸς τοῦτο σωρεύειν εἰώθασιν, ἡ δ' εὐγένεια ἐντιμότης προγόνων ἐστίν. Καὶ καταφρονητικὸν καὶ τῶν ὁμοίων ἐστὶν τοῖς προγόνοις αὐτῶν, διότι πόρρω ταὐτὰ μᾶλλον ἢ ἐγγὺς γιγνόμενα ἐντιμότερα καὶ εὐαλαζόνευτα. Ἔστι δὲ εὐγενὲς μὲν κατὰ τὴν τοῦ γένους ἀρετήν, γενναῖον δὲ κατὰ τὸ μὴ ἐξίστασθαι τῆς φύσεως· ὅπερ ὡς ἐπὶ τὸ πολὺ οὐ συμβαίνει τοῖς εὐγενέσιν, ἀλλ' εἰσὶν οἱ πολλοὶ εὐτελεῖς· φορὰ γάρ τίς ἐστιν ἐν τοῖς γένεσιν ἀνδρῶν ὥσπερ ἐν τοῖς κατὰ τὰς χώρας γιγνομένοις, καὶ ἐνίοτε ἂν ᾖ ἀγαθὸν τὸ γένος, ἐγγίγνονται διά τινος χρόνου ἄνδρες περιττοί, κἄπειτα πάλιν ἀναδίδωσιν. Ἐξίσταται δὲ τὰ μὲν εὐφυᾶ γένη εἰς μανικώτερα ἤθη, οἷον οἱ ἀπ' Ἀλκιβιάδου καὶ οἱ ἀπὸ Διονυσίου τοῦ προτέρου, τὰ δὲ στάσιμα εἰς ἀβελτερίαν καὶ νωθρότητα, οἷον οἱ ἀπὸ Κίμωνος καὶ Περικλέους καὶ Σωκράτους.*

16. *Τῷ δὲ πλούτῳ ἃ ἕπεται ἤθη, ἐπιπολῆς ἔστιν ἰδεῖν ἅπασιν· ὑβρισταὶ γὰρ καὶ ὑπερήφανοι, πάσχοντές τι ὑπὸ τῆς κτήσεως τοῦ πλούτου· ὥσπερ γὰρ ἔχοντες ἅπαντα τἀγαθὰ*
1391a *οὕτω διάκεινται· ὁ δὲ πλοῦτος οἷον τιμή τις τῆς ἀξίας τῶν*

ἔτους τῆς ἡλικίας ἡ δὲ πνευματικὴ γύρω εἰς τὸ τεσσαρακοστὸν ἔνατον.

Αὐτὰ ἔπρεπε νὰ λεχθοῦν περὶ τῶν χαρακτήρων τῶν νέων καὶ τῶν γερόντων καὶ τῶν ὡρίμων ἀνδρῶν.

15. ΠΕΡΙ ΤΩΝ ΗΘΩΝ ΤΩΝ ΕΥΓΕΝΩΝ

Καὶ τώρα ἂς ἐξετάσωμεν τὰ ἀγαθὰ ποὺ προέρχονται ἀπὸ τὴν τύχην καὶ τὴν ἐπίδρασιν ποὺ ἔχουν αὐτὰ ἐπὶ τοῦ χαρακτῆρος τῶν ἀνθρώπων. Οἱ ἄνθρωποι εὐγενοῦς καταγωγῆς ἐκ χαρακτῆρος ἐπιδιώκουν τὰς τιμὰς περισσότερον ἀπὸ κάθε ἄλλον. Πράγματι ὅλοι συνηθίζουν νὰ ἐπιδιώκουν τὴν αὔξησιν τῶν ἀγαθῶν ποὺ κατέχουν ἤδη. Εὐγενεῖς δὲ εἶναι ὅσοι κατάγονται ἀπὸ προγόνους ποὺ ἔχουν ἀπολαύσει μεγάλων τιμῶν. Ἐπίσης ἐκ χαρακτῆρος οἱ εὐγενεῖς δείχνουν περιφρόνησιν πρὸς τοὺς προγόνους τῶν ὁμοίων των, αὐτὸ δὲ συμβαίνει διότι ὅσον σπανιώτεροι εἶναι τόσο περισσότερον τιμῶνται καὶ ἠμποροῦν νὰ ὑπερηφανεύωνται διὰ τὴν καταγωγήν των. Ἡ εὐγένεια διαφέρει ἀπὸ τὴν γενναιότητα, διότι ἡ μὲν πρώτη συνίσταται εἰς τὴν μεγάλην ἀξίαν τῆς οἰκογενείας, ἡ δὲ δευτέρα εἰς τὸ ὅτι ὁ γενναῖος δὲν ἀπομακρύνεται ἀπὸ τὴν ἀνθρωπίνην φύσιν. Αὐτὸ τὸ πρᾶγμα δὲ συχνὰ δὲν παρατηρεῖται εἰς τοὺς ἀνθρώπους εὐγενοῦς καταγωγῆς, ἀπὸ τοὺς ὁποίους οἱ περισσότεροι εἶναι ἀσήμαντοι. Πράγματι καὶ εἰς τὰς οἰκογενείας τῶν ἀνθρώπων καθὼς καὶ εἰς τὰ προϊόντα τῆς γῆς παρατηρεῖται μία διαδοχὴ ἀνομοίων καταστάσεων καὶ κάποτε ἂν ἡ οἰκογένεια εἶναι καλὴ ἐξαφνικὰ παρουσιάζονται ἀπ' αὐτὴν ἄνθρωποι ἐντελῶς ὑπέροχοι, κατόπιν δὲ πάλιν ἐπανέρχεται μία κανονικὴ κατάστασις. Οἱ ἀπόγονοι τῶν πολὺ ἐξύπνων ἀνθρώπων συμβαίνει νὰ καταντήσουν εἰς τὴν τρέλλα, ὅπως ἔγινε μὲ ἐκείνους ποὺ κατάγονται ἀπὸ τὸν Ἀλκιβιάδην καὶ ἀπὸ τὸν Διονύσιον τὸν πρῶτον. Οἱ δὲ ἀπόγονοι τῶν θετικῶν καὶ μετρημένων καταντοῦν νωθροὶ καὶ καὶ ἠλίθιοι, ὅπως συνέβη μὲ τοὺς ἀπογόνους τοῦ Κίμωνος καὶ τοῦ Περικλέους καὶ τοῦ Σωκράτους.

16. ΠΕΡΙ ΤΩΝ ΗΘΩΝ ΤΩΝ ΠΛΟΥΣΙΩΝ

Ποῖον χαρακτῆρα ἔχουν οἱ πλούσιοι, εἶναι πολὺ εὔκολον νὰ ἀντιληφθῇ ὁ καθένας. Εἶναι αὐθάδεις καὶ ὑπερήφανοι ὡσὰν νὰ παθαίνουν κάτι τι μὲ τὴν ἀπόκτησιν τοῦ πλούτου. Συμπεριφέρονται σὰν νὰ κατέχουν ὅλα τὰ ἀγαθά. Ἐπειδὴ δὲ τὸ χρῆμα εἶναι τὸ μέτρον μὲ τὸ ὁποῖον ἐκτιμῶνται ὅλα

ἄλλων, διὸ φαίνεται ὤνια ἅπαντα εἶναι αὐτοῦ. Καὶ τρυφεροὶ καὶ σαλάκωνες, τρυφεροὶ μὲν διὰ τὴν τρυφὴν καὶ τὴν ἔνδειξιν τῆς εὐδαιμονίας, σαλάκωνες δὲ καὶ σόλοικοι διὰ τὸ πάντας εἰωθέναι διατρίβειν περὶ τὸ ἐρώμενον καὶ θαυμαζόμενον ὑπ' αὐτῶν, καὶ τὸ οἴεσθαι ζηλοῦν τοὺς ἄλλους ἃ καὶ αὐτοί. Ἅμα δὲ καὶ εἰκότως τοῦτο πάσχουσιν· πολλοὶ γάρ εἰσιν οἱ δεόμενοι τῶν ἐχόντων. Ὅθεν καὶ τὸ Σιμωνίδου εἴρηται περὶ τῶν σοφῶν καὶ πλουσίων πρὸς τὴν γυναῖκα τὴν Ἱέρωνος ἐρομένην πότερον γενέσθαι κρεῖττον πλούσιον ἢ σοφόν· πλούσιον εἰπεῖν «Τοὺς σοφοὺς γάρ, ἔφη, ἔστιν ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις διατρίβοντας·» καὶ τὸ οἴεσθαι ἀξίους εἶναι ἄρχειν· ἔχειν γὰρ οἴονται ὧν ἕνεκεν ἄρχειν ἄξιον. Καὶ ὡς ἐν κεφαλαίῳ, ἀνοήτου εὐδαίμονος ἦθος πλούτου ἐστίν. Διαφέρει δὲ τοῖς νεωστὶ κεκτημένοις καὶ τοῖς πάλαι τὰ ἤθη τῷ ἅπαντα μᾶλλον καὶ φαυλότερα τὰ κακὰ ἔχειν τοὺς νεοπλούτους· ὥσπερ γὰρ ἀπαιδευσία πλούτου ἐστὶ τὸ νεόπλουτον εἶναι. Καὶ ἀδικήματα ἀδικοῦσιν οὐ κακουργικά, ἀλλὰ τὰ μὲν ὑβριστικὰ τὰ δὲ ἀκρατευτικά, οἷον εἰς αἰκίαν καὶ μοιχείαν.

17. *Ὁμοίως δὲ καὶ περὶ δυνάμεως σχεδὸν τὰ πλεῖστα φανερά ἐστιν ἤθη· τὰ μὲν γὰρ τὰ αὐτὰ ἔχει δύναμις τῷ πλούτῳ τὰ δὲ βελτίω· φιλοτιμότεροι γὰρ καὶ ἀνδρωδέστεροί εἰσιν τὰ ἤθη οἱ δυνάμενοι τῶν πλουσίων διὰ τὸ ἐφίεσθαι ἔργων ὅσα ἐξουσία αὐτοῖς πράττειν διὰ τὴν δύναμιν. Καὶ σπουδαστικώτεροι διὰ τὸ ἐν ἐπιμελείᾳ εἶναι, ἀναγκαζόμενοι σκοπεῖν*

τὰ ἄλλα πράγματα, ὁ πλούσιος νομίζει ὅτι ὅλα μπορεῖ νὰ τὰ ἀγοράσῃ. Εἶναι μαλθακοὶ καὶ κενόδοξοι, μαλθακοὶ μὲν ἐξ αἰτίας τῶν συνηθειῶν των καὶ τῆς τάσεως ποὺ ἔχουν νὰ παρουσιάζουν εἰς ὅλον τὸν κόσμον τὴν εὐημερίαν των, κενόδοξοι δὲ καὶ ξιππασμένοι, ἐπειδὴ ὅλος ὁ κόσμος συνηθίζει νὰ ἀσχολῆται μὲ τὸ τί θαυμάζουν καὶ τὸ τί τοὺς ἀρέσει καὶ ἐπειδὴ νομίζουν ὅτι ὅλοι οἱ ἄλλοι προσπαθοῦν νὰ ἐπιτύχουν ὅσα ἐκεῖνοι κατέχουν. Ὡς πρὸς τοῦτο δὲ δὲν ἔχουν καὶ ἄδικον, γιατὶ πράγματι πολλοὶ ἔχουν ἀνάγκην τῶν πραγμάτων ποὺ αὐτοὶ κατέχουν καὶ γι' αὐτὸ ὁ Σιμωνίδης εἶπε τὴν γνωστὴν φράσιν του περὶ σοφίας καὶ πλούτου, τότε ποὺ ἡ γυναῖκα τοῦ Ἱέρωνος τὸν ἐρώτησε τί εἶναι καλύτερον, νὰ γίνῃ κανεὶς σοφὸς ἢ νὰ γίνῃ πλούσιος. Εἶναι γνωστὸν πράγματι ὅτι ἀπήντησε «καλύτερα νὰ γίνῃ πλούσιος, διότι εἶναι εὔκολον νὰ ἀντιληφθῶμεν πόσοι σοφοὶ περνοῦν τὴν ζωήν των στὶς πόρτες τῶν πλουσίων».

Οἱ πλούσιοι πιστεύουν ὅτι εἶναι ἄξιοι νὰ κυβερνοῦν, διότι νομίζουν ὅτι κατέχουν ἐκεῖνο ποὺ καθιστᾶ τοὺς ἀνθρώπους ἀξίους τῆς ἐξουσίας. Καὶ μὲ λίγα λόγια οἱ πλούσιοι ἔχουν χαρακτῆρα εὐτυχισμένου ἀνοήτου ἀνθρώπου. Μεταξὺ δὲ τοῦ χαρακτῆρος ἑνὸς ποὺ ἀπὸ πολὺν καιρὸν εἶναι πλούσιος καὶ ἑνὸς νεοπλούτου εἶναι ὅτι ὁ τελευταῖος αὐτὸς ἔχει ὅλα τὰ ἀνωτέρω ἐλαττώματα εἰς πολὺ μεγαλύτερον βαθμόν· διότι τὸ νὰ εἶναι κανεὶς νεόπλουτος ἀποτελεῖ τρόπον τινὰ τὴν χονδροειδεστέραν μορφὴν πλούτου. Ἂν συμβῇ οἱ πλούσιοι νὰ διαπράξουν ἀδίκημα, τοῦτο δὲν προέρχεται ἀπὸ κακίαν, ἀλλὰ ἄλλοτε μὲν ἀπὸ αὐθάδειαν καὶ ἄλλοτε ἀπὸ ἔλλειψιν ἐγκρατείας καὶ γι' αὐτὸ οἱ πλούσιοι πότε δέρνουν καὶ πότε διαπράττουν μοιχείας.

17. ΠΕΡΙ ΤΩΝ ΗΘΩΝ ΤΩΝ ΙΣΧΥΡΩΝ ΚΑΙ ΤΩΝ ΕΥΤΥΧΩΝ

Ἐπίσης εἶναι σχεδὸν κατὰ τὸ μεγαλύτερον μέρος εὔκολον νὰ διακρίνῃ ὁ καθένας ποῖος εἶναι ὁ χαρακτὴρ τῶν ἰσχυρῶν. Αὐτοὶ πράγματι ἔχουν ἄλλας μὲν ἰδιότητας κοινὰς μὲ τοὺς πλουσίους καὶ ἄλλας καλυτέρας. Γενικὰ ἐπιδιώκουν τὰς τιμὰς καὶ εἶναι γενναιότεροι παρὰ οἱ πλούσιοι· συμβαίνει δὲ τοῦτο ἐπειδὴ ρέπουν πρὸς πράξεις ποὺ ἐξ αἰτίας τῆς ἰσχύος των τοὺς εἶναι εὔκολον νὰ τὰς πραγματοποιήσουν. Ἐπίσης εἶναι δραστηριώτεροι διότι εἶναι συνεχῶς ἀπησχολημένοι, τοῦτο δὲ συμβαίνει ἐπειδὴ εἶναι ὑποχρεωμένοι νὰ ἀγρυπνοῦν διὰ τὰ πράγματα ποὺ ἀποτελοῦν τὴν δύναμίν

τὰ περὶ τὴν δύναμιν. Καὶ σεμνότεροι ἢ βαρύτεροι· ποιεῖ γὰρ σεμνοτέρους τὸ ἀξίωμα, διὸ μετριάζουσιν· ἔστι δὲ ἡ σεμνότης μαλακὴ καὶ εὐσχήμων βαρύτης. Κἂν ἀδικῶσιν, οὐ μικραδικηταί εἰσιν ἀλλὰ μεγαλάδικοι.

Ἡ δ᾽ εὐτυχία κατὰ μόριά τε τῶν εἰρημένων ἔχει τὰ ἤθη· εἰς γὰρ ταῦτα συντείνουσιν αἱ μέγισται δοκοῦσαι εἶναι εὐτυχίαι· καὶ ἔτι εἰς εὐτεκνίαν καὶ τὰ κατὰ τὸ σῶμα ἀγαθὰ παρασκευάζει ἡ εὐτυχία πλεονεκτεῖν. Ὑπερηφανώτεροι μὲν 1391b οὖν καὶ ἀλογιστότεροι διὰ τὴν εὐτυχίαν εἰσίν, ἓν δὲ ἀκολουθεῖ βέλτιστον ἦθος τῇ εὐτυχίᾳ, ὅτι φιλόθεοί εἰσι καὶ ἔχουσιν πρὸς τὸ θεῖόν πως, πιστεύοντες διὰ τὰ γιγνόμενα ἀπὸ τῆς τύχης.

18. Περὶ μὲν οὖν τῶν καθ᾽ ἡλικίαν καὶ τύχην ἠθῶν εἴρηται· τὰ γὰρ ἐναντία τῶν εἰρημένων ἐκ τῶν ἐναντίων φανερά ἐστιν, οἷον πένητος καὶ ἀτυχοῦς ἦθος καὶ ἀδυνάτου. ἐπεὶ δὲ ἡ τῶν πιθανῶν λόγων χρῆσις πρὸς κρίσιν ἐστὶ (περὶ ὧν γὰρ ἴσμεν καὶ κεκρίκαμεν, οὐδὲν ἔτι δεῖ λόγου) ἔστι δ᾽ ἐάν τε πρὸς ἕνα τις τῷ λόγῳ χρώμενος προτρέπῃ ἢ ἀποτρέπῃ, οἷον οἱ νουθετοῦντες ποιοῦσιν ἢ πείθοντες (οὐδὲν γὰρ ἧττον κριτὴς ὁ εἷς· ὃν γὰρ δεῖ πεῖσαι, οὗτός ἐστιν ὡς εἰπεῖν ἁπλῶς κριτής) ἐάν τε πρὸς ἀμφισβητοῦντα ἐάν τε πρὸς ὑπόθεσιν λέγῃ τις, ὁμοίως· τῷ γὰρ λόγῳ ἀνάγκη χρῆσθαι καὶ ἀναιρεῖν τὰ ἐναντία, πρὸς ἃ ὥσπερ ἀμφισβητοῦντα τὸν λόγον ποιεῖται. Ὡσαύτως δὲ καὶ ἐν τοῖς ἐπιδει-

των. Πρέπει νὰ χαρακτηρισθοῦν μᾶλλον ὡς ἀξιοπρεπεῖς παρὰ ὡς σοβαροί. Διότι ἡ ἐξουσία ποὺ ἔχουν τοὺς κάμνει ἀξιοπρεπεῖς καὶ γι' αὐτὸ κρατοῦν μέτρον εἰς ὅλα τὰ πράγματα. Ἀξιοπρέπεια δὲ εἶναι ἡ σοβαρότης ποὺ συνδυάζεται μὲ γλυκύτητα καὶ εὐπρέπειαν. Τέλος ἂν συμβῇ νὰ διαπράξουν ἀδίκημα, τοῦτο δὲν θὰ εἶναι μικρᾶς ἀλλὰ μεγάλης σημασίας.

Ἡ δὲ εὐτυχία ὡς πρὸς τὰς λεπτομερείας της διαμορφώνει τὸν χαρακτῆρα κατὰ τὸν ἴδιον τρόπον ποὺ ἐξεθέσαμεν ἀνωτέρω· διότι αὐτὰ ποὺ πρὸ ὀλίγου περιεγράψαμεν, θεωροῦνται ὅτι εἶναι τὰ μεγαλύτερα εὐτυχήματα. Ἐκτὸς δὲ αὐτῶν ἡ εὐτυχία συνίσταται εἰς τὴν ὕπαρξιν καλῶν ἀπογόνων καθὼς καὶ σωματικῶν πλεονεκτημάτων. Ἡ εὐτυχία κάμνει τὸν ἄνθρωπον νὰ ὑπερηφανεύεται καὶ νὰ παραλογίζεται περισσότερον ἀπὸ ὅ,τι συνήθως συμβαίνει. Πάντως οἱ εὐτυχεῖς ἄνθρωποι ἔχουν καὶ ἕνα μεγάλο προτέρημα, ὅτι ἀγαποῦν τὸν θεὸν καὶ γενικὰ εἶναι εὐσεβεῖς, τοῦτο δὲ διότι τὰ καλὰ ποὺ ὀφείλουν εἰς τὴν τύχην τοὺς κάνουν νὰ πιστεύουν.

18. ΧΑΡΑΚΤΗΡΙΣΤΙΚΑ ΚΟΙΝΑ ΕΙΣ ΟΛΑ ΤΑ ΕΙΔΗ ΤΩΝ ΛΟΓΩΝ

Ἕως ἐδῶ ἐξεθέσαμεν ποίαν ἐπίδρασιν ἡ ἡλικία καὶ ἡ τύχη ἔχει ἐπάνω εἰς τὸν χαρακτῆρα τῶν ἀνθρώπων. Διότι ἀπὸ ὅσα ἐξετέθησαν εἶναι φανερὰ καὶ ἡ ἐπίδρασις τῶν ἀντιθέτων καταστάσεων, λ.χ. τῆς πενίας, τῆς ἀτυχίας καὶ τῆς ἐλλείψεως δυνάμεως. Χρησιμοποιοῦμεν λόγους πειστικοὺς ἔχοντες πάντοτε ὑπ' ὄψιν μας κάποιαν κρίσιν, διότι κανεὶς βέβαια δὲν ἀγορεύει διὰ πράγματα ποὺ εἶναι γνωστὰ καὶ ἔχουν ἤδη κριθῆ· αὐτὸ δὲ συμβαίνει καὶ ὅταν ἀκόμη ἀποτεινώμεθα πρὸς ἕνα μόνο πρόσωπον καὶ προσπαθοῦμε μὲ λόγια νὰ προτρέψωμεν ἢ νὰ ἀποτρέψωμεν, ὅπως λ.χ. κάνουν ἐκεῖνοι ποὺ συμβουλεύουν ἢ προσπαθοῦν νὰ πείσουν κάποιον διότι καὶ ὁ ἕνας εἶναι καὶ αὐτὸς κριτής.

Πράγματι αὐτὸν ποὺ πρέπει νὰ πείσωμεν ἠμποροῦμεν γενικὰ νὰ τὸν χαρακτηρίσωμεν ὡς κριτὴν τῶν λόγων μας. Τὸ ἴδιο συμβαίνει καὶ ὅταν συζητοῦμεν μὲ κάποιον, μὲ τὸν ὁποῖον ἔχομεν διαφορὰν εἰς οἱανδήποτε ὑπόθεσιν. Διότι πρέπει νὰ χρησιμοποιοῦμεν λόγους διὰ νὰ ἀντικρούσωμεν τὰ ἀντίθετα ἐπιχειρήματά του καὶ τότε φερόμεθα πρὸς αὐτὸν ὅπως πρὸς ἕνα ἀντίδικόν μας εἰς τὰ δικαστήρια. Τὸ ἴδιο συμβαίνει καὶ μὲ τοὺς πανηγυρικοὺς λόγους. Διότι καὶ πρὸς τοὺς παρισταμένους εἰς τὴν ἐκφώνησιν ἑνὸς λόγου αὐτοῦ τοῦ

κτικοῖς· ὥσπερ γὰρ πρὸς κριτὴν τὸν θεωρὸν ὁ λόγος συνέστηκεν. Ὅλως δὲ μόνος ἐστὶν ἁπλῶς κριτὴς ἐν τοῖς πολιτικοῖς ἀγῶσιν ὁ τὰ ζητούμενα κρίνων· τά τε γὰρ ἀμφισβητούμενα ζητεῖται πῶς ἔχει, καὶ περὶ ὧν βουλεύονται. Περὶ δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον, ὥστε διωρισμένον ἂν εἴη πῶς τε καὶ διὰ τίνων τοὺς λόγους ἠθικοὺς ποιητέον.

Ἐπεὶ δὲ περὶ ἕκαστον μὲν γένος τῶν λόγων ἕτερον ἦν τὸ τέλος, περὶ ἁπάντων δ' αὐτῶν εἰλημμέναι δόξαι καὶ προτάσεις εἰσὶν ἐξ ὧν τὰς πίστεις φέρουσιν καὶ συμβουλεύοντες καὶ ἐπιδεικνύμενοι καὶ ἀμφισβητοῦντες, ἔτι δὲ ἐξ ὧν ἠθικοὺς τοὺς λόγους ἐνδέχεται ποιεῖν, καὶ περὶ τούτων διώρισται, λοιπὸν ἡμῖν διελθεῖν περὶ τῶν κοινῶν· πᾶσι γὰρ ἀναγκαῖον τὸ περὶ τοῦ δυνατοῦ καὶ ἀδυνάτου προσχρῆσθαι ἐν τοῖς λόγοις, καὶ τοὺς μὲν ὡς ἔσται τοὺς δὲ ὡς γέγονε πειρᾶσθαι δεικνύναι. Ἔτι δὲ περὶ μεγέθους κοινὸν ἁπάντων ἐστὶ τῶν λόγων· χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν καὶ συμβουλεύοντες καὶ ἐπαινοῦντες ἢ ψέγοντες καὶ
1392a κατηγοροῦντες ἢ ἀπολογούμενοι. Τούτων δὲ διορισθέντων περὶ τῶν ἐνθυμημάτων κοινῇ πειραθῶμεν εἰπεῖν, εἴ τι ἔχομεν, καὶ περὶ παραδειγμάτων, ὅπως τὰ λοιπὰ προσθέντες ἀποδῶμεν τὴν ἐξ ἀρχῆς πρόθεσιν. Ἔστιν δὲ τῶν κοινῶν τὸ μὲν αὔξειν οἰκειότατον τοῖς ἐπιδεικτικοῖς, ὥσπερ εἴρηται, τὸ

---

1. Βιβλ. Α κεφ. 8.

εἴδους φερόμεθα ὡς πρὸς κριτάς. Ἐν τούτοις κυριολεκτικὰ κριτὴς εἶναι ἐκεῖνος ποὺ πρόκειται νὰ ἀποφανθῇ περὶ τῶν ὑποθέσεων ποὺ συζητοῦνται εἰς τὰς πολιτικὰς διαμάχας ἢ εἰς τὰς δίκας. Διότι συζητοῦνται πράγματι ἢ ἐκεῖναι αἱ ὑποθέσεις περὶ τῶν ὁποίων ὑπάρχει ἀντιδικία ἢ τὰ πολιτικὰ ζητήματα. Καὶ περὶ μὲν τῶν χαρακτηριστικῶν ποὺ προσιδιάζουν εἰς κάθε εἶδος πολιτεύματος ὡμιλήσαμεν ἤδη εἰς τὸ μέρος ὅπου ἐξετάζαμεν τὸ εἶδος τῶν πολιτικῶν λόγων [1], ὥστε μποροῦμε νὰ ποῦμε ὅτι καθωρίσαμεν ἤδη μὲ ποῖα ἐπιχειρήματα θὰ προσαρμόσωμεν τὸν λόγον μας πρὸς ὅ,τι ἁρμόζει εἰς κάθε πολίτευμα. Ἀφοῦ δὲ κάθε εἶδος λόγου ἀποβλέπει καὶ εἰς ἕνα διαφορετικὸν σκοπόν, καὶ ἔχομεν ἤδη ἐκθέσει ποίας γνώμας καὶ ποίας προτάσεις πρέπει νὰ χρησιμοποιοῦν διὰ νὰ γίνωνται πειστικοὶ καὶ οἱ πολιτικοὶ ρήτορες καὶ οἱ δικανικοὶ καὶ οἱ πανηγυρικοὶ καὶ ἀφοῦ ἀκόμη ἐξεθέσαμεν τὰ ἐπιχειρήματα ποὺ πρέπει νὰ περιέχουν οἱ λόγοι διὰ νὰ προσαρμόζωνται πρὸς τὸν χαρακτῆρα τῶν ἀκροατῶν, μᾶς ὑπολείπεται τώρα νὰ ἐξετάσωμεν ἐκεῖνα τὰ σημεῖα ποὺ εἶναι κοινὰ εἰς ὅλα ἀνεξαιρέτως τὰ εἴδη τῶν λόγων.

Πράγματι εἰς κάθε λόγον εἶναι ἀνάγκη νὰ χρησιμοποιηθοῦν ἐπιχειρήματα σχετικὰ μὲ τὸ ἂν ἡ πρᾶξις ποὺ συζητεῖται εἶναι δυνατὴ ἢ ἀδύνατος, τοῦτο δὲ διότι οἱ μὲν (πολιτικοὶ ρήτορες) πρέπει νὰ προσπαθήσουν νὰ ἀποδείξουν ὅτι κάτι πρόκειται νὰ πραγματοποιηθῇ, οἱ δὲ (δικανικοὶ ρήτορες) ὅτι κάτι συνέβη. Ἐπίσης εἰς ὅλα τὰ εἴδη τοῦ λόγου χρησιμοποιοῦνται ἐπιχειρήματα σχετικὰ πρὸς τὸ μέγεθος τῶν συζητουμένων πράξεων. Πράγματι καὶ ἐκεῖνοι ποὺ συζητοῦν καὶ ἐκεῖνοι ποὺ ἐπαινοῦν ἢ ψέγουν καθὼς καὶ ὅσοι κατηγοροῦν ἢ ἀπολογοῦνται χρησιμοποιοῦν ἐπιχειρήματα διὰ νὰ αὐξήσουν ἢ νὰ μειώσουν τὴν σημασίαν μιᾶς πράξεως.

Ἀφοῦ ἐκθέσωμεν αὐτὰ τὰ πράγματα, θὰ δοκιμάσωμεν νὰ πραγματευθῶμεν γενικῶς καὶ ὅ,τι εἶναι δυνατὸν ἐν σχέσει πρὸς τὰ ἐνθυμήματα καὶ τὰ παραδείγματα, εἰς τρόπον ὥστε ἀφοῦ προσθέσωμεν καὶ ὅ,τι ἀκόμη ὑπολείπεται νὰ ὁλοκληρώσωμεν τὸ σχέδιον ποὺ ἐξ ἀρχῆς τῆς παρούσης μελέτης ἐχαράξαμεν. Μεταξὺ δὲ τῶν κοινῶν τόπων ἡ μὲν μεγαλοποίησις ἰδιαιτέρως ἁρμόζει εἰς τὸ πανηγυρικὸν εἶδος, καθὼς ἤδη τὸ εἴπαμεν, ἡ δὲ ἐξέτασις τῶν τετελεσμένων γεγονότων

δὲ γεγονὸς τοῖς δικανικοῖς (περὶ τούτων γὰρ ἡ κρίσις) τὸ δὲ δυνατὸν καὶ ἐσόμενον τοῖς συμβουλευτικοῖς.

19. *Πρῶτον μὲν οὖν περὶ δυνατοῦ καὶ ἀδυνάτου λέγωμεν. Ἂν δὴ τὸ ἐναντίον ᾖ δυνατὸν ἢ εἶναι ἢ γενέσθαι, καὶ τὸ ἐναντίον δόξειεν ἂν εἶναι δυνατόν, οἷον εἰ δυνατὸν ἄνθρωπον ὑγιασθῆναι, καὶ νοσῆσαι· ἡ γὰρ αὐτὴ δύναμις τῶν ἐναντίων, ᾗ ἐναντία. Καὶ εἰ τὸ ὅμοιον δυνατόν, καὶ τὸ ὅμοιον. Καὶ εἰ τὸ χαλεπώτερον δυνατόν, καὶ τὸ ῥᾷον. Καὶ εἰ τὸ σπουδαῖον καὶ καλὸν γενέσθαι δυνατόν, καὶ ὅλως δυνατὸν γενέσθαι· χαλεπώτερον γὰρ καλὴν οἰκίαν ἢ οἰκίαν εἶναι. Καὶ οὗ ἡ ἀρχὴ δύναται γενέσθαι, καὶ τὸ τέλος· οὐδὲν γὰρ γίγνεται οὐδ᾽ ἄρχεται γίγνεσθαι τῶν ἀδυνάτων, οἷον τὸ σύμμετρον τὴν διάμετρον εἶναι οὔτ᾽ ἂν ἄρξαιτο γίγνεσθαι οὔτε γίγνεται. Καὶ οὗ τὸ τέλος, καὶ ἡ ἀρχὴ δυνατή· ἅπαντα γὰρ ἐξ ἀρχῆς γίγνεται. Καὶ εἰ τὸ ὕστερον τῇ οὐσίᾳ ἢ τῇ γενέσει δυνατὸν γενέσθαι, καὶ τὸ πρότερον, οἷον εἰ ἄνδρα γενέσθαι δυνατόν, καὶ παῖδα· (πρότερον γὰρ ἐκεῖνο γίγνεται), καὶ εἰ παῖδα, καὶ ἄνδρα· (καὶ ἀρχὴ γὰρ ἐκείνη). Καὶ ὧν ἢ ἔρως ἢ ἐπιθυμία φύσει ἐστίν· οὐδεὶς γὰρ ἀδυνάτων ἐρᾷ οὐδὲ ἐπιθυμεῖ ὡς ἐπὶ τὸ πολύ. Καὶ ὧν ἐπιστῆμαί εἰσι καὶ τέχναι, δυνατὰ ταῦτα καὶ ἔστι καὶ γίγνεται. Καὶ ὅσων ἡ ἀρχὴ τῆς γενέσεως ἐν τούτοις ἐστὶν ἃ ἡμεῖς ἀναγκάσαιμεν ἂν ἢ πείσαιμεν· ταῦτα δ᾽ ἐστὶν ὧν κρείττους ἢ κύριοι ἢ φίλοι.*

ἁρμόζει εἰς τὸ δικανικὸν εἶδος, διότι ἀντικείμενον τῆς δίκης εἶναι ἐκεῖνο ποὺ ἤδη ἔχει συμβῆ· τέλος εἰς τοὺς πολιτικοὺς λόγους ἀνάγεται κυρίως ἡ ἐξέτασις περὶ τοῦ δυνατοῦ καὶ περὶ τοῦ μέλλοντος.

19. ΠΕΡΙ ΤΟΥ ΔΥΝΑΤΟΥ ΚΑΙ ΤΟΥ ΑΔΥΝΑΤΟΥ

Ἂς πραγματευθῶμεν πρῶτα πρῶτα περὶ τοῦ δυνατοῦ καὶ τοῦ ἀδυνάτου. Λοιπόν, ἐκεῖνα τὰ πράγματα θὰ θεωρηθοῦν ὅτι εἶναι δυνατὸν νὰ γίνουν ὅσων καὶ τὰ ἀντίθετα εἶναι δυνατά. Ἔτσι λ.χ., ἀφοῦ εἶναι δυνατὸν ὁ ἄνθρωπος νὰ εἶναι καλά, ἕπεται ὅτι μπορεῖ καὶ ν' ἀρρωστήσῃ. Ἀληθινὰ ἐφ' ὅσον δύο πράγματα εἶναι ἀντίθετα, ὑπάρχει ἡ ἰδία δυνατότης νὰ πραγματοποιηθῇ εἴτε τὸ ἕνα εἴτε τὸ ἄλλο. Ἐπίσης ἂν κάποιο πρᾶγμα εἶναι δυνατὸν καὶ τὸ ὅμοιόν του εἶναι ἐξ ἴσου δυνατόν. Καὶ ἐὰν τὸ δυσκολώτερον εἶναι δυνατόν, εἶναι ἐπίσης δυνατὸν καὶ τὸ εὐκολώτερον. Ἀκόμη, ἂν κάποιο πρᾶγμα εἶναι δυνατὸν νὰ γίνῃ σπουδαῖον καὶ ὡραῖον, τότε φυσικὰ εἶναι καὶ δυνατὸν νὰ γίνῃ ἁπλῶς. Διότι δυσκολώτερον εἶναι νὰ γίνῃ ἕνα ὡραῖο σπίτι παρὰ νὰ γίνῃ ἁπλῶς ἕνα σπίτι. Ἐκεῖνο τὸ πρᾶγμα ποὺ μπορεῖ νὰ ἀρχίσῃ μπορεῖ καὶ νὰ τελειώσῃ, διότι κανένα ἀδύνατον πρᾶγμα δὲν μπορεῖ νὰ γίνῃ οὔτε ἁπλῶς νὰ ἀρχίσῃ νὰ γίνεται. Ἔτσι π.χ. δὲν εἶναι δυνατὸν οὔτε νὰ ἐπιτύχωμεν οὔτε κἂν νὰ ἀρχίσωμεν νὰ εὑρίσκωμεν ἀκριβῆ ἀντιστοιχίαν μεταξὺ διαμέτρου καὶ περιφερείας. Ἀντιστρόφως ἐκεῖνο τὸ πρᾶγμα ποὺ μπορεῖ νὰ τελειώσῃ ἠμπορεῖ καὶ νὰ ἀρχίσῃ. Διότι κάθε πρᾶγμα ποὺ ὑπάρχει ἔχει καὶ μίαν ἀρχήν. Ἐπίσης ἂν εἶναι δυνατὸν νὰ γίνῃ ἐκεῖνο ποὺ ἐκ φύσεως ἢ λόγῳ τῆς σειρᾶς τῆς διαδοχῆς ἔρχεται κατόπιν ἀπὸ κάτι ἄλλο, εἶναι δυνατὸν νὰ γίνῃ καὶ τὸ προηγούμενόν του. Ἔτσι ἐὰν εἶναι δυνατὸν νὰ ὑπάρξῃ ἄνδρας εἶναι δυνατὸν νὰ ὑπάρξῃ καὶ παιδί. Διότι τοῦτο ὑπάρχει πρὶν ἀπὸ ἐκεῖνον. Καὶ ἀντιστρόφως, ἂν μπορῇ νὰ ὑπάρξῃ παιδὶ μπορεῖ νὰ ὑπάρξῃ καὶ ἄνδρας. Διότι τὸ πρῶτον εἶναι ἡ ἀρχή. Δυνατὰ εἶναι ἐπίσης τὰ πράγματα ποὺ ἐκ φύσεως τὰ ἀγαπῶμεν ἢ τὰ ἐπιθυμοῦμεν. Διότι συνήθως κανεὶς δὲν ἀγαπᾷ καὶ δὲν ἐπιθυμεῖ τὰ ἀδύνατα. Εἶναι ἀκόμη δυνατὴ ἡ ὕπαρξις καὶ ἡ δημιουργία ἐκείνων τῶν πραγμάτων περὶ τῶν ὁποίων ὑπάρχουν τέχναι καὶ ἐπιστῆμαι. Ἐπίσης ὅσα πράγματα ἠμποροῦν νὰ ἀρχίσουν νὰ τὰ ἐκτελοῦν πρόσωπα, ποὺ εἶναι δυνατὸν νὰ τὰ ἐξαναγκάσωμεν ἢ νὰ τὰ πείσωμεν πρὸς τοῦτο· τέτοια πρόσωπα εἶναι οἱ κατώτεροί μας, οἱ δοῦλοι μας ἢ οἱ φίλοι μας.

Καὶ ὧν τὰ μέρη δυνατά, καὶ τὸ ὅλον, καὶ ὧν τὸ ὅλον δυνατόν, καὶ τὰ μέρη ὡς ἐπὶ τὸ πολύ· εἰ γὰρ πρόσχισμα καὶ κεφαλὶς καὶ χιτὼν δύναται γενέσθαι, καὶ ὑποδήματα δυνατὸν γενέσθαι, καὶ εἰ ὑποδήματα, καὶ πρόσχισμα καὶ κεφα-
1392b λίς, καὶ εἰ τὸ γένος ὅλον τῶν δυνατῶν γενέσθαι, καὶ τὸ εἶδος, καὶ εἰ τὸ εἶδος, καὶ τὸ γένος, οἷον εἰ πλοῖον γενέσθαι δυνατόν, καὶ τριήρη, καὶ εἰ τριήρη, καὶ πλοῖον. Καὶ εἰ θάτερον τῶν πρὸς ἄλληλα πεφυκότων, καὶ θάτερον, οἷον εἰ διπλάσιον, καὶ ἥμισυ, καὶ εἰ ἥμισυ, διπλάσιον. Καὶ εἰ ἄνευ τέχνης καὶ παρασκευῆς δυνατὸν γίγνεσθαι μᾶλλον διὰ τέχνης καὶ ἐπιμελείας δυνατόν, ὅθεν καὶ Ἀγάθωνι εἴρηται

καὶ μὴν τὰ μέν γε τῇ τέχνῃ πράσσει, τὰ δὲ
ἡμῖν ἀνάγκῃ καὶ τύχῃ προσγίγνεται.

Καὶ εἰ τοῖς χείροσι καὶ ἥττοσι καὶ ἀφρονεστέροις δυνατόν, καὶ τοῖς ἐναντίοις μᾶλλον, ὥσπερ καὶ Ἰσοκράτης ἔφη δεινὸν εἶναι εἰ ὁ μὲν Εὔθυνος ἔμαθεν, αὐτὸς δὲ μὴ δυνήσεται εὑρεῖν. Περὶ δὲ ἀδυνάτου δῆλον ὅτι ἐκ τῶν ἐναντίων τοῖς εἰρημένοις ὑπάρχει.

Εἰ δὲ γέγονεν, ἐκ τῶνδε σκεπτέον. Πρῶτον μὲν γάρ, εἰ τὸ ἧττον γίγνεσθαι πεφυκὸς γέγονεν, γεγονὸς ἂν εἴη καὶ τὸ μᾶλλον. Καὶ εἰ τὸ ὕστερον εἰωθὸς γίγνεσθαι γέγονεν, καὶ τὸ πρότερον γέγονεν, οἷον εἰ ἐπιλέλησται, καὶ ἔμαθέ ποτε τοῦ-

---

1. Τὸ ἀρχαῖον κείμενον ἀναφέρει μέρη τοῦ σανδαλίου ποὺ δὲν ἔχουν ἀπόλυτον ἀντιστοιχίαν μὲ τὰ σύγχρονα. Ἀλλὰ μὲ τὴν παράφρασίν μου δὲν ἀλλοιοῦται τὸ νόημα.

2. Ὁ Ἀγάθων ἦτο τραγικὸς ποιητής, φίλος καὶ μαθητὴς τοῦ Πλάτωνος (Ἀπόσπ. 8 N[2]).

Τὰ πράγματα τῶν ὁποίων εἶναι δυνατὸν νὰ κατασκευάσωμεν τὰ μέρη εἶναι συνήθως δυνατὸν νὰ τὰ κατασκευάσωμεν καὶ ὁλόκληρα. Ἀντιστρόφως ἐὰν ὡρισμένα πράγματα εἶναι δυνατὸν νὰ ὑπάρξουν ὁλόκληρα, τότε εἶναι δυνατὴ καὶ ἡ ὕπαρξις τῶν μερῶν των. Καὶ πράγματι ἂν εἶναι δυνατὸν νὰ ὑπάρξουν ψίδια καὶ σόλες καὶ τακούνια [1], τότε εἶναι δυνατὸν νὰ ὑπάρξῃ καὶ ὑπόδημα. Καὶ πάλιν ἂν εἶναι δυνατὸν νὰ ὑπάρξῃ ὑπόδημα, τότε εἶναι δυνατὸν νὰ ὑπάρξουν καὶ σόλες καὶ τακούνια. Καὶ ἐὰν εἶναι δυνατὴ ἡ ὕπαρξις μιᾶς ὁλοκλήρου κατηγορίας πραγμάτων, τότε εἶναι δυνατὴ καὶ ἡ ὕπαρξις ἑνὸς εἴδους ἀπ' αὐτά καὶ ἀντιστρόφως, ἐὰν εἶναι δυνατὴ ἡ ὕπαρξις τοῦ εἴδους, ἠμπορεῖ νὰ ὑπάρξῃ καὶ ὁλόκληρον τὸ γένος. Ἔτσι ἐὰν εἶναι δυνατὸν νὰ ὑπάρξῃ πλοῖον μπορεῖ νὰ ὑπάρξῃ τριήρης καὶ πάλιν ἂν εἶναι δυνατὸν νὰ ὑπάρξῃ τριήρης μπορεῖ νὰ ὑπάρξῃ καὶ πλοῖον. Ἂν εἶναι δυνατὴ ἡ ὕπαρξις τοῦ ἑνὸς ἀπὸ δύο πράγματα ποὺ ἐκ φύσεως ἔχουν κάποιαν ἀναλογίαν μεταξύ των, τότε εἶναι δυνατὴ ἡ ὕπαρξις καὶ τοῦ ἄλλου· λ.χ. ἂν εἶναι δυνατὸν τὸ διπλάσιον, εἶναι δυνατὸν καὶ τὸ ἥμισυ, καὶ ἀντιστρόφως, ἂν εἶναι δυνατὸν τὸ ἥμισυ, εἶναι δυνατὸν καὶ τὸ διπλάσιον. Ἂν κάποιο πρᾶγμα μπορῇ νὰ γίνῃ χωρὶς προετοιμασίαν καὶ χωρὶς τὴν βοήθειαν κάποιας τέχνης, τότε κατὰ πολὺ περισσότερον λόγον εἶναι τοῦτο δυνατὸν μὲ τὴν τέχνην καὶ μὲ τὴν προσπάθειαν. Καὶ γι' αὐτὸ ἐγράφησαν οἱ ἑξῆς στίχοι τοῦ Ἀγάθωνος·

> Καὶ βέβαια ἄλλα γίνονται μὲ τὴν τέχνη
> Κι' ἄλλα τὰ φέρνει ἡ ἀνάγκη καὶ ἡ τύχη [2].

Ἐκεῖνο ποὺ εἶναι δυνατὸν εἰς τοὺς χειροτέρους, εἰς τοὺς κατωτέρους ἢ εἰς τοὺς ἀνοητοτέρους, εἶναι κατὰ μεγαλύτερον βαθμὸν δυνατὸν εἰς ὅσους ἔχουν τὰς ἀντιθέτους ἰδιότητας, ὅπως ἀκριβῶς καὶ ὁ Ἰσοκράτης εἶχεν εἰπεῖ ὅτι θὰ ἦτο φοβερὸν ἂν ἐκεῖνο ποὺ ὁ Εὔθυνος ἔμαθε δὲν θὰ ἦτο δυνατὸν αὐτὸς ὁ ἴδιος νὰ τὸ ἐννοήσῃ. Ὡς πρὸς τὰ ἀδύνατα εἶναι φανερὸν ὅτι περὶ αὐτῶν ἰσχύουν τὰ ἀντίθετα ἀπὸ τὰ ἐπιχειρήματα ποὺ ἐξεθέσαμεν.

Τὸ ζήτημα ἂν κάποιο γεγονὸς ἔλαβε ἢ δὲν ἔλαβε χώραν πρέπει νὰ ἐξετάζεται ἐπὶ τῇ βάσει τῶν ἀκολούθων σκέψεων. Πρῶτα πρῶτα ἐὰν ἔγινε ἐκεῖνο ποὺ ἐκ φύσεως σπανιώτερον συμβαίνει θὰ ἔγινε καὶ ἐκεῖνο ποὺ συνηθέστερα παρουσιάζεται· καὶ πάλιν ἐὰν συνέβη ἐκεῖνο ποὺ ἐκ φύσεως γίνεται κατόπιν, θὰ συνέβη καὶ τὸ προηγούμενόν του. Λ.χ. ἐὰν κάποιος ἐξέχασε κάτι, τοῦτο σημαίνει ὅτι κάποτε εἶχε μάθει

το. Καὶ εἰ ἐδύνατο καὶ ἐβούλετο, πέπραχε· πάντες γάρ, ὅταν δυνάμενοι βουληθῶσι, πράττουσιν· ἐμποδὼν γὰρ οὐδέν. Ἔτι εἰ ἐβούλετο καὶ μηδὲν τῶν ἔξω ἐκώλυεν, καὶ εἰ δυνατὸν καὶ ὠργίζετο, καὶ εἰ ἐδύνατο καὶ ἐπεθύμει· ὡς γὰρ ἐπὶ τὸ πολύ, ὧν ὀρέγονται, ἂν δύνωνται, ποιοῦσιν, οἱ μὲν φαῦλοι δι' ἀκρασίαν, οἱ δ' ἐπιεικεῖς ὅτι τῶν ἐπιεικῶν ἐπιθυμοῦσιν. Καὶ εἰ ἔμελλε γίγνεσθαι καὶ ποιεῖν· εἰκὸς γὰρ τὸν μέλλοντα καὶ ποιῆσαι. Καὶ εἰ γέγονεν ὅσα ἢ πεφύκει πρὸ ἐκείνου ἢ ἕνεκα ἐκείνου, οἷον εἰ ἤστραψε, καὶ ἐβρόντησεν, καὶ εἰ ἐπείρασε, καὶ ἔπραξεν. Καὶ εἰ ὅσα ὕστερον πεφύκει γίγνεσθαι ἢ οὗ ἕνεκα γίγνεται γέγονε, καὶ τὸ πρότερον καὶ τὸ τούτου ἕνεκα γέγονεν, οἷον εἰ ἐβρόντησε, καὶ ἤστραψεν, καὶ εἰ ἔπραξεν, ἐπείρασεν. Ἔστι δὲ τούτων ἁπάντων τὰ μὲν ἐξ ἀνάγκης τὰ δ' ὡς ἐπὶ τὸ πολὺ οὕτως ἔχοντα. Περὶ δὲ τοῦ μὴ γεγονέναι φανερὸν ἐκ τῶν ἐναντίων τοῖς εἰρημένοις.

1393a Καὶ περὶ τοῦ ἐσομένου ἐκ τῶν αὐτῶν δῆλον· τό τε γὰρ ἐν δυνάμει καὶ ἐν βουλήσει ὂν ἔσται, καὶ τὰ ἐν ἐπιθυμίᾳ καὶ ὀργῇ καὶ λογισμῷ μετὰ δυνάμεως ὄντα, ταῦτα καὶ ἐν ὁρμῇ τοῦ ποιεῖν ἢ μελλήσει ἔσται· ὡς γὰρ ἐπὶ τὸ πολὺ γί-

αὐτὸ ποὺ κατόπιν ἐλησμόνησε. Ἐὰν κάποιος ἠμποροῦσε καὶ ἤθελε νὰ κάμῃ κάτι τι ἀσφαλῶς θὰ τὸ ἔκαμνε· διότι κάμνουν ὅσα θέλουν καὶ ἠμποροῦν συγχρόνως. Τίποτε δὲν τοὺς ἐμποδίζει· τὸ ἴδιο συμβαίνει καὶ ὅταν θέλῃ κάποιος κάτι χωρὶς καμμία ἐξωτερικὴ δύναμις νὰ τὸν ἐμποδίζῃ. Ἐπίσης δὲ ὅταν εἶναι εἰς θέσιν νὰ κάμῃ κάτι καὶ θυμώσῃ καθὼς καὶ ἂν μπορῇ νὰ πραγματοποιήσῃ κάτι ποὺ ζωηρὰ τὸ ἐπιθυμεῖ. Διότι συνήθως ὅλοι, ὅταν μποροῦν, ἐκπληρώνουν τὰς ὀρέξεις των, οἱ μὲν κακοὶ ἄνθρωποι ἀπὸ ἔλλειψιν ἐγκρατείας, οἱ δὲ καλοὶ διότι καὶ αἱ ἐπιθυμίαι των εἶναι καλαί. Ἐὰν κάποιος ἤρχισε τὴν ἐκτέλεσιν ἑνὸς ἔργου, ἠμποροῦμεν νὰ συμπεράνωμεν ὅτι τὸ ἐπραγματοποίησε· διότι εἶναι φυσικὸν ἐκεῖνος ποὺ ἐπρόκειτο νὰ κάμῃ κάτι νὰ τὸ ἔχῃ ἤδη κάμει. Ἐπίσης ἠμποροῦμεν νὰ συμπεράνωμε ὅτι ἔγινε κάτι ἂν γνωρίζωμεν ὅτι συνέβη καὶ κάτι ἄλλο ποὺ ἐκ φύσεως προηγεῖται ἢ ἀποτελεῖ αἰτίαν τοῦ ἄλλου· λ. χ. ἂν γνωρίζωμεν ὅτι ἄστραψε, θὰ συμπεράνωμεν ὅτι καὶ ἐβρόντησε· καὶ ἂν γνωρίζωμεν ὅτι κάποιος ἐδοκίμασε νὰ κάμῃ κάτι, θὰ συμπεράνωμεν ὅτι τὸ ἐπραγματοποίησε. Καὶ ἀντιστρόφως ἂν γνωρίζωμεν ὅτι συνέβησαν ἐκεῖνα ποὺ ἐκ φύσεως συμβαίνουν κατόπιν ἢ ἐξ αἰτίας ὡρισμένων ἄλλων πραγμάτων, ἠμποροῦμεν νὰ συμπεράνωμεν, ὅτι συνέβησαν καὶ ἐκεῖνα ποὺ προηγοῦνται αὐτῶν καὶ ἀποτελοῦν τὴν αἰτίαν των. Λ. χ. ἂν γνωρίζωμεν ὅτι ἐβρόντησε, σημαίνει ὅτι προηγουμένως ἄστραψεν καὶ ἂν γνωρίζωμεν ὅτι κάποιος ἐξετέλεσε κάτι, σημαίνει ὅτι πρῶτον προσεπάθησε νὰ τὸ ἐκτελέσῃ. Φυσικὰ ἄλλα ἀπὸ τὰ ἀνωτέρω ἀληθεύουν ὑποχρεωτικῶς καὶ ἄλλα μόνον συνήθως.

Διὰ νὰ ἀποδείξωμεν πάλιν ὅτι κάτι δὲν συνέβη, εἶναι φανερὸν ὅτι πρέπει νὰ μεταχειρισθῶμεν ἀντίθετα ἐπιχειρήματα.

Ἐπὶ τῇ βάσει τῶν ἀνωτέρω συλλογισμῶν εἶναι ἐπίσης εὔκολον νὰ ἐννοήσωμεν, ποῖα ἐπιχειρήματα πρέπει νὰ χρησιμοποιοῦμεν διὰ νὰ ὑποστηρίξωμεν τί θὰ συμβῇ εἰς τὸ μέλλον. Πράγματι, ἐκεῖνο ποὺ καὶ τὸ θέλει κανεὶς καὶ συγχρόνως μπορεῖ νὰ τὸ κάνῃ, θὰ γίνῃ. Θὰ γίνουν ἐπίσης ὅσα ὑπαγορεύονται ἀπὸ μίαν ζωηρὰν ἐπιθυμίαν ἢ ἀπὸ ὀργὴν ἢ ὑπολογισμὸν ἐφ' ὅσον ἐκεῖνος ποὺ κατέχεται ἀπ' αὐτὰ τὰ αἰσθήματα ἔχει καὶ τὴν δύναμιν νὰ τὰ πραγματοποιήσῃ. Διὰ τὸν ἴδιον λόγον ἐκεῖνος ποὺ αἰσθάνεται τὴν ζωηρὰν ὁρμὴν ἢ τὴν διάθεσιν νὰ πραγματοποιήσῃ ἀμέσως κάτι τι, ἀσφα-

γνεται μᾶλλον τὰ μέλλοντα ἢ τὰ μὴ μέλλοντα. Καὶ εἰ προγέγονε ὅσα πρότερον πεφύκει γίγνεσθαι, οἷον εἰ συννεφεῖ, εἰκὸς ὗσαι. Καὶ εἰ τὸ ἕνεκα τούτου γέγονε, καὶ τοῦτο εἰκὸς γενέσθαι, οἷον εἰ θεμέλιος, καὶ οἰκία.

Περὶ δὲ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων καὶ μείζονός τε καὶ ἐλάττονος καὶ ὅλως μεγάλων καὶ μικρῶν ἐκ τῶν προειρημένων ἡμῖν ἐστιν φανερόν. Εἴρηται γὰρ ἐν τοῖς συμβουλευτικοῖς περί τε μεγέθους ἀγαθῶν καὶ περὶ τοῦ μείζονος ἁπλῶς καὶ ἐλάττονος, ὥστε ἐπεὶ καθ' ἕκαστον τῶν λόγων τὸ προκείμενον τέλος ἀγαθόν ἐστιν, οἷον τὸ συμφέρον καὶ τὸ καλὸν καὶ τὸ δίκαιον, φανερὸν ὅτι δι' ἐκείνων ληπτέον τὰς αὐξήσεις πᾶσιν. Τὸ δὲ παρὰ ταῦτα ἔτι ζητεῖν περὶ μεγέθους ἁπλῶς καὶ ὑπεροχῆς κενολογεῖν ἐστιν· κυριώτερα γάρ ἐστιν πρὸς τὴν χρείαν τῶν καθόλου τὰ καθ' ἕκαστα τῶν πραγμάτων.

Περὶ μὲν οὖν δυνατοῦ καὶ ἀδυνάτου, καὶ πότερον γέγονεν ἢ οὐ γέγονεν καὶ ἔσται ἢ οὐκ ἔσται, ἔτι δὲ περὶ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων εἰρήσθω ταῦτα.

20. *Λοιπὸν δὲ περὶ τῶν κοινῶν πίστεων ἅπασιν εἰπεῖν, ἐπεί περ εἴρηται περὶ τῶν ἰδίων. Εἰσὶ δ' αἱ κοιναὶ πίστεις δύο τῷ γένει, παράδειγμα καὶ ἐνθύμημα· ἡ γὰρ γνώμη μέρος ἐνθυμήματός ἐστίν. Πρῶτον μὲν οὖν περὶ παραδείγμα-*

λῶς θὰ τὸ ἐπιτύχῃ, ἐνῷ δὲν μπορεῖ νὰ λεχθῇ τὸ ἴδιο πρᾶγμα δι' ὅσα δὲν ἐπιθυμεῖ νὰ πραγματοποιήσῃ ἀμέσως ἀλλὰ τὰ ἀναβάλλει. Καὶ πράγματι συχνότερα πραγματοποιοῦνται ὅσα πρόκειται ἀμέσως νὰ ἐκτελεσθοῦν παρὰ ἐκεῖνα ποὺ θὰ ἐξετελοῦντο ἀργότερα. Ἐπίσης ἂν ἔχῃ προηγηθῇ ὅ,τι ἐκ φύσεως προηγεῖται· λ. χ. ἂν ἔχῃ συννεφιάσῃ εἶναι φυσικὸν νὰ ποῦμε ὅτι θὰ βρέξῃ. Ἐπίσης ἂν ἔχῃ γίνῃ κάτι ποὺ ὀφείλεται εἰς τὸ πρᾶγμα τοῦ ὁποίου ἐξετάζομεν τὴν δυνατότητα, εἶναι φυσικὸν νὰ συμπεράνωμεν ὅτι καὶ τοῦτο πρόκειται νὰ πραγματοποιηθῇ· λ.χ., ἂν ἔχουν γίνει τὰ θεμέλια, θὰ γίνῃ καὶ τὸ σπίτι.

Σχετικὰ πάλιν πρὸς τὸ μέγεθος ἢ τὴν μικρότητα τῶν διαφόρων πραγμάτων, πρὸς τὸ περισσότερον ἢ τὸ ὀλιγώτερον καὶ γενικὰ πρὸς τὰς κρίσεις μας μικρῶν ἢ μεγάλων, εἶναι φανερὸν τί ἠμπορεῖ νὰ λεχθῇ ἐπὶ τῇ βάσει ἐκείνων ποὺ ἐξεθέσαμεν προηγουμένως. Πράγματι εἰς τὸ κεφάλαιον περὶ τοῦ πολιτικοῦ εἴδους τῶν λόγων, ἐπραγματεύθημεν καὶ περὶ τοῦ μεγέθους τῶν ἀγαθῶν καὶ γενικὰ περὶ τοῦ μεγαλυτέρου καὶ μικροτέρου καὶ ἑπομένως ἀφοῦ σὲ κάθε εἶδος λόγου ἀποβλέπομεν πρὸς ἕνα καλὸν σκοπόν, λ.χ. εἰς τὸ συμφέρον ἢ εἰς τὸ ὡραῖον ἢ εἰς τὸ δίκαιον, εἶναι φανερὸν ὅτι ἐκεῖνα τὰ ἐπιχειρήματα πρέπει νὰ χρησιμοποιοῦν οἱ ρήτορες, ὅταν γενικά, εἰς οἱανδήποτε περίστασιν, θέλουν νὰ μεγαλοποιήσουν τὴν σημασίαν κάποιου πράγματος. Ἡ δὲ ἀναζήτησις καὶ ἄλλων ἀκόμη ἐπιχειρημάτων περὶ ἀπολύτου μεγέθους καὶ περὶ ὑπεροχῆς ἀποτελεῖ ἁπλῆν κενολογίαν, διότι ὅταν πραγματευώμεθα ἕνα θέμα αἱ λεπτομέρειαι ἔχουν μεγαλυτέραν βαρύτητα παρὰ αἱ γενικότητες.

Ἐξεθέσαμεν ὅ,τι ἔπρεπε περὶ δυνατοῦ καὶ ἀδυνάτου, περὶ τοῦ ἂν συνέβη ἢ δὲν συνέβη καὶ ἂν πρόκειται ἢ δὲν πρόκειται νὰ γίνῃ κάτι καθὼς καὶ περὶ τοῦ μεγέθους καὶ τῆς μικρότητος τῶν πραγμάτων.

20. ΠΕΡΙ ΠΑΡΑΔΕΙΓΜΑΤΟΣ

Μένει τώρα νὰ πραγματευθῶμεν περὶ τῶν ἀποδείξεων ποὺ εἶναι κοιναὶ εἰς ὅλα τὰ εἴδη τῶν λόγων ἀφοῦ ἐξητάσαμεν πλέον ὅσας ἰδιαιτέρως ἁρμόζουν εἰς κάθε εἶδος λόγου. Αἱ δὲ κοιναὶ ἀποδείξεις εἶναι δύο εἰδῶν, τὸ παράδειγμα καὶ τὸ ἐνθύμιον. Διότι τὸ γνωμικὸν ἀποτελεῖ ἕνα μέρος ἐνθυμήματος. Καὶ πρῶτα πρῶτα ἂς ἐξετάσωμεν τὸ παράδειγμα.

τος λέγωμεν· ὅμοιον γὰρ ἐπαγωγῇ τὸ παράδειγμα, ἡ δ' ἐπαγωγὴ ἀρχή.

Παραδειγμάτων δὲ εἴδη δύο· ἓν μὲν γάρ ἐστιν παραδείγματος εἶδος τὸ λέγειν πράγματα προγεγενημένα, ἓν δὲ τὸ αὐτὸν ποιεῖν. Τούτου δὲ ἓν μὲν παραβολὴ ἓν δὲ λόγοι, οἷον οἱ Αἰσώπειοι καὶ Λιβυκοί. Ἔστιν δὲ τὸ μὲν πράγματα λέγειν τοιόνδε τι, ὥσπερ εἴ τις λέγοι ὅτι δεῖ πρὸς βασιλέα παρασκευάζεσθαι καὶ μὴ ἐᾶν Αἴγυπτον χειρώσασθαι· καὶ
1393b *γὰρ πρότερον Δαρεῖος οὐ πρότερον διέβη πρὶν Αἴγυπτον ἔλαβεν, λαβὼν δὲ διέβη, καὶ πάλιν Ξέρξης οὐ πρότερον ἐπεχείρησεν πρὶν ἔλαβεν, λαβὼν δὲ διέβη, ὥστε καὶ οὗτος ἐὰν λάβῃ, διαβήσεται, διὸ οὐκ ἐπιτρεπτέον. Παραβολὴ δὲ τὰ Σωκρατικὰ οἷον εἴ τις λέγοι ὅτι οὐ δεῖ κληρωτοὺς ἄρχειν. Ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις τοὺς ἀθλητὰς κληροίη μὴ οἳ δύνανται ἀγωνίζεσθαι ἀλλ' οἳ ἂν λάχωσιν, ἢ τῶν πλωτήρων ὅν τινα δεῖ κυβερνᾶν κληρώσειεν, ὡς οὐ δέον τὸν ἐπιστάμενον ἀλλὰ τὸν λαχόντα. Λόγος δέ, οἷος ὁ Στησιχόρου περὶ Φαλάριδος καὶ Αἰσώπου ὑπὲρ τοῦ δημαγωγοῦ. Στησίχορος μὲν γὰρ ἑλομένων στρατηγὸν αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν καὶ μελλόντων φυλακὴν διδόναι τοῦ σώματος, τἄλλα διελεχθεὶς εἶπεν αὐτοῖς λόγον ὡς ἵππος κατεῖχε λειμῶνα μόνος, ἐλθόντος δ' ἐλάφου καὶ διαφθείροντος τὴν νομὴν βουλόμενος τιμωρήσασθαι τὸν ἔλαφον ἠρώτα τινὰ ἄνθρωπον εἰ δύναιτ' ἂν μετ' αὐτοῦ τιμωρήσασθαι τὸν ἔλαφον, ὁ δ' ἔφησεν, ἐὰν λάβῃ χαλινὸν καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν ἔχων ἀκόντια· συνομολογήσαντος δὲ καὶ ἀναβάντος*

---

1. Οἱ ἀρχαῖοι ὅταν ἔλεγαν ἁπλῶς βασιλέα ἐννοοῦσαν πάντοτε τὸν βασιλέα τῶν Περσῶν.

2. Παράβαλε καὶ Ὁρατίου ἐπιστολὰς I, 10, 34. Ὁ Στησίχορος ἦτο λυρικὸς ποιητής, ἐγεννήθη κατὰ τὸ 640 π.Χ. εἰς τὴν Ἱμέραν τῆς Σικελίας καὶ ἀπέθανε τὸ 550. Ἤσκησε μεγάλην ἐπίδρασιν εἰς τὴν διαμόρφωσιν τῶν λυρικῶν ἀσμάτων τοῦ χοροῦ, διότι αὐτὸς ἐπενόησε τὴν ἐπῳδόν. Κατὰ κάποιαν παράδοσιν ἐτυφλώθη διότι εἰς ἕνα ποίημά του ὡμίλησεν ἀσεβῶς διὰ τὴν Ἑλένην καὶ ἀνέκτησε τὴν ὅρασιν ὅταν μὲ κάποιαν παλινῳδίαν ἀνεκάλεσε τὰς ἀσεβεῖς ἐκφράσεις του.

Τοῦτο ὅμως ἄγει πρὸς τὴν ἐπαγωγὴν καὶ προέρχεται ἀπ' αὐτήν.

Ὑπάρχουν δύο εἴδη παραδειγμάτων· καὶ τὸ μὲν πρῶτον εἶδος παραδείγματος εἶναι τὸ νὰ διηγούμεθα πράγματα ποὺ συνέβησαν παλαιότερον, τὸ δὲ ἄλλο εἶναι νὰ δημιουργοῦμεν ἡμεῖς οἱ ἴδιοι παραδείγματα. Τὸ δὲ τελευταῖον αὐτὸ εἶδος ὑποδιαιρεῖται εἰς τὴν παραβολὴν καὶ εἰς τὸν μῦθον, ὅπως εἶναι οἱ αἰσώπειοι ἢ οἱ λιβυκοὶ μῦθοι. Παράδειγμα τοῦ πρώτου εἴδους ὑπάρχει ὅταν ὁ ρήτωρ λέγῃ ὅτι πρέπει νὰ γίνουν προετοιμασίαι πολεμικαὶ ἐναντίον τοῦ βασιλέως¹ καὶ νὰ μὴ τὸν ἀφήσουν νὰ ὑποδουλώσῃ τὴν Αἴγυπτον. Διότι ἔτσι ὑπαινίσσεται, ὅτι πράγματι εἰς παλαιοτέραν ἐποχὴν ὁ Δαρεῖος δὲν ἐξεστράτευσεν ἐναντίον τῆς Ἑλλάδος πρὶν καταλάβῃ τὴν Αἴγυπτον καὶ μόνον ὅταν τὴν κατέλαβεν ἐπεχείρησε τὴν ἐκστρατείαν καὶ πάλιν ὁ Ξέρξης δὲν ἐδοκίμασε τὸ ἴδιο πρᾶγμα πρὶν τὴν καταλάβῃ καὶ μόνον ὅταν τὴν κατέλαβε ἐξεστράτευσε κατὰ τῆς Ἑλλάδος καὶ ἑπομένως ἐὰν καὶ ὁ σημερινὸς βασιλεὺς κυριεύσῃ τὴν Αἴγυπτον, θὰ ἐκστρατεύσῃ καὶ κατὰ τῆς Ἑλλάδος καὶ γι' αὐτὸ πρέπει νὰ ἐμποδισθῇ. Παραβολὴ πάλιν εἶναι ἐκεῖνο ποὺ συναντοῦμεν εἰς τοὺς λόγους τοῦ Σωκράτους. Ἔτσι παραβολὴ εἶναι ἐάν, θέλων κάποιος νὰ εἴπῃ ὅτι οἱ ἄρχοντες δὲν πρέπει νὰ ἐκλέγωνται διὰ κληρώσεως, ἐπικαλεσθῇ τὸ ἐπιχείρημα, ὅτι αὐτὸ θὰ ὡμοίαζε μὲ τὸ νὰ ἐκλέγωμεν διὰ κλήρου καὶ τοὺς ἀθλητὰς καὶ ἔτσι νὰ μὴ λαμβάνουν μέρος εἰς τοὺς ἀγῶνας ἐκεῖνοι ποὺ μποροῦν ἀλλὰ ἐκεῖνοι ποὺ θὰ κληρωθοῦν. Καὶ πάλιν ὡσὰν νὰ γίνεται κλήρωσις μεταξὺ τῶν ἀνθρώπων ποὺ ταξιδεύουν διὰ νὰ ἀναδειχθῇ ὁ κυβερνήτης τοῦ πλοίου, ἐπειδὴ τάχα δὲν πρέπει νὰ κυβερνᾷ ἐκεῖνος ποὺ ξέρει, ἀλλὰ ἐκεῖνος ποὺ διὰ κλήρου ἔχει ὁρισθῇ. Μῦθος τέλος εἶναι κάτι ἀνάλογον μὲ αὐτὸ ποὺ εἶπεν ὁ Στησίχορος περὶ τοῦ Φαλάριδος², ἢ ὁ Αἴσωπος περὶ τοῦ δημαγωγοῦ. Ὁ Στησίχορος ὅταν εἶδεν ὅτι οἱ κάτοικοι τῆς Ἱμέρας ἐξέλεξαν στρατηγόν των τὸν Φάλαριν καὶ τοῦ ἀπένειμαν δικτατορικὰ δικαιώματα, ἐπρόκειτο δὲ νὰ τοῦ παράσχουν καὶ σωματοφυλακήν, ἀφοῦ ἔθιξε καὶ διάφορα ἄλλα σημεῖα, εἶπε τέλος πρὸς αὐτοὺς τὸν ἑξῆς μῦθον: «Κάποιο ἄλογο εἶχε μονάχο του ὁλόκληρο λιβάδι εἰς τὴν διάθεσίν του. Κάποτε ὅμως ἦλθε ἐκεῖ καὶ ἕνα ἐλάφι καὶ τοῦ κατέστρεφε τὴν βοσκήν. Τὸ ἄλογο ἀπεφάσισε νὰ ἐκδικηθῇ τὸ ἐλάφι καὶ ἐζήτησε τὴν βοήθειαν ἑνὸς ἀνθρώπου. Αὐτὸς δὲ τοῦ ἀπήντησεν ὅτι ἂν βάλῃ χαλινάρι στὸ ἄλογο καὶ τὸ καβαλλικέψῃ, καὶ πάρῃ μαζί του καὶ ἀκόντια, εἶναι δυνατὸν νὰ τοῦ παρά-

ἀντὶ τοῦ τιμωρήσασθαι αὐτὸς ἐδούλευσε τῷ ἀνθρώπῳ. «Οὕτω δὲ καὶ ὑμεῖς», ἔφη, «ὁρᾶτε μὴ βουλόμενοι τοὺς πολεμίους τιμωρήσασθαι τὸ αὐτὸ πάθητε τῷ ἵππῳ· τὸν μὲν γὰρ χαλινὸν ἔχετε ἤδη, ἑλόμενοι στρατηγὸν αὐτοκράτορα· ἐὰν δὲ φυλακὴν δῶτε καὶ ἀναβῆναι ἐάσητε, δουλεύσετε ἤδη Φαλάριδι». Αἴσωπος δὲ ἐν Σάμῳ δημηγορῶν κρινομένου δημαγωγοῦ περὶ θανάτου ἔφη ἀλώπεκα διαβαίνουσαν ποταμὸν ἀπωσθῆναι εἰς φάραγγα, οὐ δυναμένην δὲ ἐκβῆναι πολὺν χρόνον κακοπαθεῖν καὶ κυνοραϊστὰς πολλοὺς ἔχεσθαι αὐτῆς, ἐχῖνον δὲ πλανώμενον, ὡς εἶδεν αὐτήν, κατοικτείραντα ἐρωτᾶν εἰ ἀφέλοι αὐτῆς τοὺς κυνοραϊστάς, τὴν δὲ οὐκ ἐᾶν· ἐρομένου δὲ διὰ τί, ὅτι οὗτοι μὲν φάναι ἤδη μου πλήρεις εἰσὶ καὶ ὀλίγον ἕλκουσιν αἷμα, ἐὰν δὲ τούτους ἀφέλητε, ἕτεροι ἐλθόντες πεινῶντες ἐκπιοῦνταί μου τὸ λοιπὸν αἷμα. «Ἀτὰρ καὶ ὑμᾶς, ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάψει (πλούσιος γάρ ἐστιν), ἐὰν δὲ τοῦτον ἀποκτεί-

1394a *νητε, ἕτεροι ἥξουσι πένητες, οἳ ὑμῖν ἀναλώσουσι τὰ λοιπὰ κλέπτοντες». Εἰσὶ δ' οἱ λόγοι δημηγορικοί, καὶ ἔχουσιν ἀγαθὸν τοῦτο, ὅτι πράγματα μὲν εὑρεῖν ὅμοια γεγενημένα χαλεπόν, λόγους δὲ ῥᾷον· ποιῆσαι γὰρ δεῖ ὥσπερ καὶ παραβολάς, ἄν τις δύνηται τὸ ὅμοιον ὁρᾶν, ὅπερ ῥᾷόν ἐστιν ἐκ φιλοσοφίας. Ῥᾷον μὲν οὖν πορίσασθαι τὰ διὰ τῶν λόγων, χρησιμώτερα δὲ πρὸς τὸ βουλεύσασθαι τὰ διὰ τῶν πραγμά-*

σχῃ βοήθειαν. Τὸ ἄλογο δέχθηκε. Ὅταν ὅμως ὁ ἄνθρωπος ἀνέβηκε ἐπάνω του, ἀντὶ νὰ τιμωρηθῇ τὸ ἐλάφι, ἔγινε τὸ ἄλογο δοῦλος τοῦ ἀνθρώπου. Προσέξετε λοιπὸν καὶ σεῖς, προσέθεσεν ὁ Στησίχορος, μὴ τυχόν, ἐνῷ θέλετε νὰ ἐκδικηθῆτε τοὺς ἐχθρούς σας, πάθετε αὐτὰ ποὺ ἔπαθε τὸ ἄλογο. Διότι ἤδη μὲ τὸ νὰ τὸν ἀνακηρύξετε στρατηγόν σας μὲ δικτατορικὰ δικαιώματα, ἔχετε φορέσει χαλινάρι. Ἂν ὅμως τοῦ δώσετε καὶ σωματοφυλακὴ καὶ ἔτσι τὸν ἀφήσετε νὰ σᾶς καβαλλικέψῃ, θὰ καταντήσετε πλέον δοῦλοι τοῦ Φαλάριδος».

Ὁ Αἴσωπος πάλιν ὅταν κάποτε ἔκαμνεν ἐμπρὸς εἰς τὸν λαὸν τῆς Σάμου τὴν ὑπεράσπισιν κάποιου δημαγωγοῦ ποὺ κατηγορεῖτο δι' ἀδίκημα, τὸ ὁποῖον ἐπέσυρε θανατικὴν ποινήν, διηγήθη ὅτι κάποτε μιὰ ἀλεποῦ ἐνῷ περνοῦσε ἕνα ποτάμι παρεσύρθη ἀπὸ τὸ ρεῦμα καὶ σφηνώθηκε ἀνάμεσα σὲ κάτι βράχους τῆς ἀκροποταμιᾶς. Δὲν μποροῦσε νὰ βγῇ ἀπ' ἐκεῖ καὶ βασανίσθηκε πολλὴν ὥρα, διότι ἔπεσαν ἐπάνω της πάρα πολλὲς βδέλλες. Τότε κάποιος σκαντζόχοιρος, περνῶντας ἀπ' ἐκεῖ, τὴν ἐλυπήθηκε καὶ τὴν ἐρώτησε ἂν θέλῃ νὰ διώξῃ τὶς βδέλλες. ἡ ἀλεποῦ ὅμως δὲν τὸν ἄφησε. Καὶ ὅταν ὁ σκαντζόχοιρος ἠθέλησε νὰ μάθῃ γιατί, τοῦ ἀπήντησε πὼς οἱ μὲν τωρινὲς βδέλλες εἶναι χορτᾶτες καὶ ἀπομυζοῦν πολὺ λίγο αἷμα, ἐνῷ, ἂν τὶς διώξῃ, θἄρθουν ἄλλες νηστικὲς καὶ θὰ πιοῦν καὶ ὅσο αἷμα τῆς ἀπομένει. «Ἔτσι καὶ σεῖς, ὦ πολῖται τῆς Σάμου, ὁ μὲν κατηγορούμενος δὲν θὰ σᾶς βλάψῃ πλέον, διότι εἶναι πλούσιος, ἂν ὅμως τὸν θανατώσετε, θἄρθουν ἄλλοι, φτωχοί, καὶ θὰ σᾶς ἀποτελειώσουν, κλέβοντας καὶ ὅ,τι σᾶς ἀπομένει ἀκόμη».

Οἱ μῦθοι ταιριάζουν πολὺ εἰς ἀγορεύσεις ποὺ ἀπευθύνονται πρὸς τὸν λαόν. Ἔχουν δὲ τὸ ἑξῆς προσόν, ὅτι εἶναι δύσκολον νὰ εὕρῃ πάντοτε κανεὶς εἰς τὴν παλαιοτέραν ἱστορίαν γεγονότα ἀνάλογα πρὸς ἐκεῖνα ποὺ πραγματεύεται, ἐνῷ εἶναι πάντοτε εὔκολον νὰ δημιουργήσῃ ἕνα μῦθον κατάλληλον εἰς τὴν περίστασιν. Διότι τοὺς μύθους, καθὼς καὶ τὰς παραβολάς, πρέπει ὁ ρήτωρ νὰ τὰς πλάσῃ, προσέχων πάντοτε νὰ εἶναι φανερὰ ἡ ἀναλογία μεταξὺ αὐτῶν καὶ τῆς ὑποθέσεως ποὺ ὑποστηρίζει, πρᾶγμα ποὺ εὔκολα ἠμπορεῖ νὰ ἐπιτύχῃ μὲ τὴν βοήθειαν τῆς φιλοσοφίας.

Ἀλλ' ἐνῷ εἶναι εὐκολώτερον νὰ εὕρῃ ὁ ρήτωρ μύθους καταλλήλους διὰ τὸ θέμα του, διὰ τὴν λῆψιν ὀρθῶν ἀποφάσεων εἶναι χρησιμώτερον νὰ μεταχειρίζεται παραδείγματα

των· ὅμοια γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ μέλλοντα τοῖς γεγονόσιν.

Δεῖ δὲ χρῆσθαι τοῖς παραδείγμασι οὐκ ἔχοντα μὲν ἐνθυμήματα ὡς ἀποδείξεσιν· (ἡ γὰρ πίστις διὰ τούτων), ἔχοντα δὲ ὡς μαρτυρίοις, ἐπιλόγῳ χρώμενον τοῖς ἐνθυμήμασιν· προτιθέμενα μὲν γὰρ ἔοικεν ἐπαγωγῇ, τοῖς δὲ ῥητορικοῖς οὐκ οἰκεῖον ἐπαγωγὴ πλὴν ἐν ὀλίγοις, ἐπιλεγόμενα δὲ μαρτυρίοις· ὁ δὲ μάρτυς πανταχοῦ πιθανός. Διὸ καὶ προτιθέντι μὲν ἀνάγκη πολλὰ λέγειν, ἐπιλέγοντι δὲ καὶ ἓν ἱκανόν· μάρτυς γὰρ χρηστὸς καὶ εἷς χρήσιμος.

Πόσα μὲν οὖν εἴδη παραδειγμάτων, καὶ πῶς αὐτοῖς καὶ πότε χρηστέον, εἴρηται.

21. Περὶ δὲ γνωμολογίας, ῥηθέντος τί ἐστιν γνώμη, μάλιστ' ἂν γένοιτο φανερὸν περὶ ποίων τε καὶ πότε καὶ τίσιν ἁρμόττει χρῆσθαι τῷ γνωμολογεῖν ἐν τοῖς λόγοις. Ἔστι δ' ἡ γνώμη ἀπόφανσις, οὐ μέντοι οὔτε περὶ τῶν καθ' ἕκαστον, οἷον ποῖός τις Ἰφικράτης, ἀλλὰ καθόλου· καὶ οὐ περὶ πάντων, οἷον ὅτι τὸ εὐθὺ τῷ καμπύλῳ ἐναντίον, ἀλλὰ περὶ ὅσων αἱ πράξεις εἰσί, καὶ αἱρετὰ ἢ φευκτά ἐστι πρὸς τὸ πράττειν, ὥστ' ἐπεὶ τὰ ἐνθυμήματα ὁ περὶ τοιούτων συλλογισμός ἐστιν, σχεδὸν τὰ συμπεράσματα τῶν ἐνθυμημάτων καὶ αἱ ἀρχαὶ ἀφαιρεθέντος τοῦ συλλογισμοῦ γνῶμαί εἰσιν, οἷον

χρὴ δ' οὔ ποθ' ὅς τις ἀρτίφρων πέφυκ' ἀνήρ,
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.

---

1. Ἡ μείζων.
2. Εὐριπίδου Μήδεια 296 κ. ἑπ. (μεταφρ. Σάρρου).

ἀπὸ τὴν ἱστορίαν. Διότι συνήθως καὶ τὰ μέλλοντα εἶναι ὅμοια πρὸς ὅσα κατὰ τὸ παρελθὸν ἔχουν γίνει.

Πρέπει δὲ νὰ μεταχειρίζεται παραδείγματα ὁ ρήτωρ ἢ ὅταν δὲν ἔχῃ πρὸς ἀπόδειξιν τῶν ἰσχυρισμῶν του ἐνθυμήματα· διότι κυρίως τὰ ἐνθυμήματα ἀποδεικνύουν· ἤ, ἂν ἔχῃ εἰς τὴν διάθεσίν του ἐνθυμήματα, τότε τὰ παραδείγματα νὰ τὰ χρησιμοποιῇ διὰ νὰ μαρτυρήσουν τὴν ἀλήθειαν τῶν συλλογισμῶν του καὶ νὰ τὰ ἀναφέρῃ μετὰ τὰ ἐνθυμήματα, ὡς ἐπίλογόν των. Πράγματι, ἂν πρῶτα πρῶτα παραταχθοῦν εἰς ἕνα λόγον τὰ παραδείγματα, αὐτὸ θὰ ὡμοίαζε μὲ τὴν ἐπαγωγικὴν μέθοδον, ποὺ ἐκτὸς ἐλαχίστων περιπτώσεων δὲν ταιριάζει εἰς τοὺς ρητορικοὺς λόγους. Ἐνῷ ἂν τὰ παραδείγματα ἀναφερθοῦν μετὰ τὰ ἐνθυμήματα, ὁμοιάζουν πρὸς μαρτυρίας. Ὁ δὲ μάρτυς πάντοτε ἐνισχύει τὴν ἀπόδειξιν. Καὶ γι' αὐτό, ἂν κανεὶς ἀρχίσῃ μὲ παραδείγματα, πρέπει νὰ εἰπῇ πολλά, ἐνῷ εἰς τὸ τέλος τοῦ λόγου του καὶ ἕνα μόνον ἀρκεῖ. Διότι ὁ καλὸς μάρτυς, καὶ ἕνας μόνον ἂν εἶναι, ὠφελεῖ.

Ἐξεθέσαμεν ἀνωτέρω πόσα εἴδη παραδειγμάτων ὑπάρχουν καὶ ποία χρῆσις αὐτῶν πρέπει νὰ γίνεται.

21. ΠΕΡΙ ΓΝΩΜΙΚΟΥ

Ὡς πρὸς τὴν χρῆσιν τῶν γνωμικῶν, θὰ γίνῃ φανερὸν διὰ ποῖα ζητήματα καὶ πότε καὶ ποῖοι ἁρμόζει νὰ τὰ χρησιμοποιοῦν, ἀφοῦ πρῶτον δώσωμεν τὸν ὁρισμὸν τοῦ γνωμικοῦ. Εἶναι δὲ γνωμικὸν κάποιο ἀπόφθεγμα ποὺ δὲν ἀναφέρεται εἰς εἰδικὰς περιπτώσεις, λ.χ., ποίας ἰδιότητας ἔχει ὁ Ἰφικράτης, ἀλλὰ εἰς γενικότητας. Ἐπίσης δὲν ἠμποροῦμεν νὰ ὀνομάσωμεν γνωμικὸν οἱονδήποτε γενικὸν ἀπόφθεγμα ἀδιακρίτως, λ.χ. τὸ ὅτι ἡ εὐθεῖα εἶναι τὸ ἀντίθετον τῆς καμπύλης, ἀλλὰ ἐκεῖνα τὰ ἀποφθέγματα ποὺ ἀφοροῦν τὰς ἀνθρωπίνας ἐνεργείας, ὅσαι ἠμποροῦν εἴτε νὰ ἐκτελεσθοῦν, εἴτε ν' ἀποφευχθοῦν. Ἑπομένως ἀφοῦ ἐνθύμημα, ὅπως εἴπαμεν, εἶναι ὁ ρητορικὸς συλλογισμὸς περὶ πράξεων αὐτοῦ τοῦ εἴδους, ἠμπορεῖ νὰ λεχθῇ ὅτι σχεδὸν πάντοτε γνωμικὰ εἶναι ἢ μόνον τὸ συμπέρασμα ἢ μόνον ἡ ἀρχικὴ πρότασις [1] ἑνὸς ἐνθυμήματος, ἀφοῦ ἀφαιρεθοῦν ἀπ' αὐτὴν τὰ ἄλλα στοιχεῖα τοῦ συλλογισμοῦ

Ἔτσι, γνωμικὸν ἀποτελοῦν οἱ ἑξῆς στίχοι :

Κι' ὁ φρόνιμος
σοφία δὲν πρέπει περισσὴ στὰ τέκνα του νὰ δίνῃ [2]

Τοῦτο μὲν οὖν γνώμη· προστεθείσης δὲ τῆς αἰτίας καὶ τοῦ διὰ τί ἐνθύμημά ἐστιν τὸ ἅπαν, οἷον

χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας,
φθόνον παρ' ἀστῶν ἀλφανουσι δυσμενῆ.

1394b *Καὶ τὸ*

οὐκ ἔστιν ὅς τις πάντ' ἀνὴρ εὐδαιμονεῖ

καὶ τὸ

οὐκ ἔστιν ἀνδρῶν ὅς τις ἔστ' ἐλεύθερος

γνώμη, πρὸς δὲ τῷ ἐχομένῳ ἐνθύμημα

ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης.

Εἰ δή ἐστιν γνώμη τὸ εἰρημένον, ἀνάγκη τέτταρα εἴδη εἶναι γνώμης· ἢ γὰρ μετ' ἐπιλόγου ἔσται ἢ ἄνευ ἐπιλόγου. Ἀποδείξεως μὲν οὖν δεόμεναί εἰσιν ὅσαι παράδοξόν τι λέγουσιν ἢ ἀμφισβητούμενον· ὅσαι δὲ μηδὲν παράδοξον, ἄνευ ἐπιλόγου. Τούτων δ' ἀνάγκη τὰς μὲν διὰ τὸ προεγνῶσθαι μηδὲν δεῖσθαι ἐπιλόγου, οἷον

ἀνδρὶ δ' ὑγιαίνειν ἄριστόν ἐστιν, ὥς γ' ἡμῖν δοκεῖ

(φαίνεται μὲν γὰρ τοῖς πολλοῖς οὕτω), τὰς δ' ἅμα λεγομένας δήλας εἶναι ἐπιβλέψασιν, οἷον

οὐδεὶς ἐραστὴς ὅς τις οὐκ ἀεὶ φιλεῖ.

Τῶν δὲ μετ' ἐπιλόγου αἳ μὲν ἐνθυμήματος μέρος εἰσίν, ὥσπερ

χρὴ δ' οὔ ποθ' ὅς τις ἀρτίφρων,

αἳ δ' ἐνθυμηματικαὶ μέν, οὐκ ἐνθυμήματος δὲ μέρος· αἵ περ καὶ μάλιστ' εὐδοκιμοῦσιν. Εἰσὶν δ' αὗται ἐν ὅσαις ἐμφαίνεται τοῦ λεγομένου τὸ αἴτιον, οἷον ἐν τῷ

ἀθάνατον ὀργὴν μὴ φύλασσε θνητὸς ὤν·

---

1. Εὐριπίδου «Μήδεια» 296 κ. ἑξ. (μετάφρ. Σάρρου).
2. Εὐριπίδου ἀπόσπασμα 661 N².
3. Εὐριπίδου «Ἑκάβη» 865 (μετάφρ. Σάρρου).
4. Εὐριπίδου «Τρωαδ.» 1051.
5. Ἀδέσποτον ἀπόσπασμα.
6. Ἀδέσποτον ἀπόσπασμα.

Ἂν ὅμως εἰς αὐτὸ προσθέσωμεν τὴν αἰτίαν καὶ τὸν σκοπὸν διὰ τὸν ὁποῖον ἐλέχθη τοῦτο, τὸ σύνολον ἀποτελεῖ ἐνθύμημα, ὅπως

«Γιατὶ ἐξὸν ποὺ γίνονται ὀκνὰ
Κάνει νὰ τὰ φθονοῦν οἱ συμπολῖτες τους [1]».

Ἐπίσης γνωμικὸν εἶναι καὶ τὸ

«Ἀπ' τοὺς θνητοὺς ὁλότελα κανεὶς δὲν εἶν' εὐτυχισμένος [2]»·

καθὼς καὶ τὸ

«Ἐλεύθερος δὲν εἶναι κανεὶς ἄνθρωπος [3]»,

ὅπου ἂν προστεθῇ καὶ ὁ ἑπόμενος στίχος

«Κι' εἶναι τῆς τύχης δοῦλοι ἢ τοῦ χρυσαφιοῦ [3]»,

ἔχομεν ἐνθύμημα.

Ἀφοῦ λοιπὸν γνωμικὸν εἶναι αὐτὸ ποὺ εἴπαμε, κατ' ἀνάγκην ὑπάρχουν τέσσαρα εἴδη γνωμικῶν. Πράγματι, ἄλλα γνωμικὰ ἔχουν ἀνάγκην ἐπεξηγήσεως καὶ ἄλλα ὄχι. Διότι ὅσα γνωμικὰ ἐκφράζουν μίαν παραδοξολογίαν ἢ κάτι ποὺ δὲν εἶναι γενικὰ παραδεδεγμένον, πρέπει νὰ ἀποδειχθοῦν. Ὅσα ὅμως δὲν ἀποτελοῦν παραδοξολογίαν, δὲν ἔχουν ἀνάγκην ἐπεξηγήσεως. Ἀπὸ τὰ γνωμικὰ αὐτά, ἄλλα μὲν δὲν ἔχουν ἀνάγκην ἐπεξηγήσεως, διότι εἶναι ἐκ τῶν προτέρων γνωστά, ὅπως τὸ

«γιὰ ἕνα ἄνθρωπον ἡ ὑγεία, κατὰ τὴν γνώμην μου, τουλάχιστον, εἶναι τὸ μεγαλύτερον καλό»,

διότι αὐτὴ εἶναι καὶ ἡ γνώμη τῶν πολλῶν, ἄλλα δέ, ἐπειδὴ μόλις διατυπωθοῦν γίνονται πρόδηλα εἰς κάθε ἄνθρωπον ποὺ τὰ ἐξετάζει ὅπως τὸ

«Ὅποιος δὲν ἀγαπᾶ συνεχῶς, δὲν εἶναι ἀληθινὸς ἐραστής [4]».

Ἀπὸ τὰ γνωμικὰ πάλιν ποὺ ἔχουν ἀνάγκην ἐπεξηγήσεως, ἄλλα μὲν ἀποτελοῦν μέρος ἐνθυμήματος, ὅπως τὸ

«ποτὲ δὲν πρέπει ἄνθρωπος μυαλωμένος...» [5].

Ἄλλα δὲ πάλιν συγγενεύουν πρὸς τὸ ἐνθύμημα, χωρὶς ὅμως καὶ νὰ ἀποτελοῦν μέρος ἐνθυμήματος. Αὐτὰ δὲ τὰ γνωμικὰ ἐκτιμῶνται καὶ περισσότερον. Ἀνήκουν δὲ εἰς αὐτὴν τὴν κατηγορίαν ἐκεῖνα ποὺ περιέχουν τὴν αἰτιολογίαν των, ὅπως λ. χ. τὸ

«Ἀφοῦ εἶσαι θνητός, μὴν κρατᾶς ἀθάνατο θυμό» [6].

τὸ μὲν γὰρ φάναι «μὴ δεῖν φυλάττειν» γνώμη, τὸ δὲ προσκείμενον «θνητὸν ὄντα» τὸ διὰ τί. Ὁμοίως δὲ καὶ

θνατὰ χρὴ τὸν θνατόν, οὐκ ἀθάνατα τὸν θνατὸν φρονεῖν.

Φανερὸν οὖν ἐκ τῶν εἰρημένων πόσα τε εἴδη γνώμης, καὶ περὶ ποῖον ἕκαστον ἁρμόττει· περὶ μὲν γὰρ τῶν ἀμφισβητουμένων ἢ παραδόξων μὴ ἄνευ ἐπιλόγου, ἀλλ' ἢ προθέντα τὸν ἐπίλογον γνώμῃ χρῆσθαι τῷ συμπεράσματι, οἷον εἴ τις εἴποι, «ἐγὼ μὲν οὖν, ἐπειδὴ οὔτε φθονεῖσθαι δεῖ οὔτ' ἀργὸν εἶναι, οὔ φημι χρῆναι παιδεύεσθαι», ἢ τοῦτο προειπόντα ἐπειπεῖν τὰ ἔμπροσθεν, περὶ δὲ τῶν μὴ παραδόξων ἀδήλων δὲ προστιθέντα τὸ διότι στρογγυλώτατα. Ἁρμόττει δ' ἐν τοῖς τοιούτοις καὶ τὰ Λακωνικὰ ἀποφθέγματα καὶ τὰ αἰνιγματώδη, οἷον εἴ τις λέγει ὅ περ Στησί- 1395a *χορος ἐν Λοκροῖς εἶπεν, ὅτι οὐ δεῖ ὑβριστὰς εἶναι, ὅπως μὴ οἱ τέττιγες χαμόθεν ᾄδωσιν. Ἁρμόττει δὲ γνωμολογεῖν ἡλικίᾳ μὲν πρεσβυτέρων, περὶ δὲ τούτων ὧν ἔμπειρός τις ἐστίν, ὡς τὸ μὲν μὴ τηλικοῦτον ὄντα γνωμολογεῖν ἀπρεπὲς ὥσπερ καὶ τὸ μυθολογεῖν, περὶ δὲ ὧν ἄπειρος, ἠλίθιον καὶ ἀπαίδευτον. Σημεῖον δὲ ἱκανόν· οἱ γὰρ ἀγροῖκοι μάλιστα γνωμοτύποι εἰσὶ καὶ ῥᾳδίως ἀποφαίνονται ⟨καθόλου⟩. Καθόλου δὲ μὴ ὄντος καθόλου εἰπεῖν μάλιστα ἁρμόττει ἐν σχετλιασμῷ καὶ δεινώσει, καὶ ἐν τούτοις ἢ ἀρχόμενον ἢ ἀποδείξαντα. Χρῆσθαι δὲ δεῖ καὶ ταῖς τεθρυλημέναις καὶ κοιναῖς γνώ-*

---

1. Οἱ Λοκροὶ εἶχαν πάθει μεγάλας καταστροφάς, ἡ χώρα των ἐλεηλατήθη τελείως καὶ ὅμως ἐξακολουθοῦσαν νὰ εἶναι προκλητικοί. Ἡ ἀνωτέρω φράσις ἑπομένως ἔχει τὴν σημασίαν ὅτι ἂν συνέχιζαν τὴν ἰδίαν τακτικήν, δὲν θὰ ἔμενε οὔτε δένδρο εἰς τὴν χώραν των, ἐπάνω στὸ ὁποῖον νὰ ἠμποροῦν νὰ καθήσουν τὰ τζιτζίκια.

Πράγματι, τὸ μὲν νόημα «δὲν πρέπει νὰ κρατοῦμε θυμὸν» ἀποτελεῖ κυρίως τὸ γνωμικόν, ἡ δὲ προσθήκη «ἐπειδὴ εἴμεθα θνητοί» ἀποτελεῖ τὴν ἐπεξήγησίν του.

Τὸ ἴδιο ἰσχύει καὶ διὰ τὸ γνωμικὸν

«ὁ θνητὸς πρέπει νὰ σκέπτεται σὰν θνητὸς καὶ ὄχι σὰν ἀθάνατος».

Ἀπὸ ὅσα ἐξεθέσαμεν καθίσταται φανερὸν καὶ πόσα εἴδη γνωμικῶν ὑπάρχουν καὶ ποῦ ταιριάζει τὸ καθένα. Καὶ τὰ μὲν γνωμικὰ ποὺ δὲν εἶναι γενικῶς παραδεδεγμένα ἢ ἀποτελοῦν παραδοξολογίαν, δὲν πρέπει νὰ μένουν χωρὶς ἐπεξήγησιν, ἀλλ' ἢ πρέπει πρῶτα νὰ δίδεται ἡ ἐξήγησις καὶ κατόπιν, ἐν εἴδει συμπεράσματος, νὰ λέγεται καὶ τὸ γνωμικόν, ὅπως λ. χ. εἰς τὴν φράσιν «φρονῶ ὅτι ἐπειδὴ δὲν πρέπει νὰ προκαλοῦμεν τὸν φθόνον, οὔτε νὰ εἴμεθα ἄνεργοι, δὲν εἶναι ἀνάγκη νὰ μορφωνώμεθα». Ἢ ἀπεναντίας νὰ εἰπῇ πρῶτα τὸ γνωμικὸν καὶ κατόπιν τὴν προηγουμένην φράσιν. Τὰ γνωμικὰ ὅμως ποὺ δὲν ἀποτελοῦν παραδοξολογίαν, ἀλλ' εἶναι ἀσαφῆ, πρέπει νὰ συνοδεύωνται ἀπὸ μίαν ἐξήγησιν μὲ χτυπητὰ λόγια. Ἀπὸ τὰ γνωμικὰ αὐτοῦ τοῦ εἴδους κυρίως εἶναι ταιριαστὰ τὰ λακωνικὰ ἀποφθέγματα, καθὼς καὶ τὰ γνωμικὰ ποὺ ὁμοιάζουν μὲ αἰνίγματα, ὅπως λ.χ., ἂν θέλῃ κανεὶς νὰ χρησιμοποιήσῃ ἐκεῖνο ποὺ ὁ Στησίχορος εἶπε πρὸς τοὺς Λοκρούς, ὅτι δηλ. δὲν πρέπει νὰ εἶναι προκλητικοὶ γιὰ νὰ μὴ καθήσουν τὰ τζιτζίκια των κάτω στὸ χῶμα καὶ ἀπὸ κεῖ τραγουδοῦν[1].

Γνωμικὰ ἁρμόζει νὰ χρησιμοποιοῦν οἱ ἡλικιωμένοι ἄνθρωποι, ἐπίσης δὲ καὶ ἐκεῖνοι ποὺ ἔχουν εἰδικήν τινα πεῖραν, ἐν σχέσει πρὸς τὸ ἀντικείμενον τῆς εἰδικότητός των. Ἑπομένως εἶναι ἀπρέπεια τὸ νὰ χρησιμοποιῇ γνωμικὰ εἰς τοὺς λόγους του ὁποῖος δὲν εἶναι ἡλικιωμένος, ὅπως ἄλλωστε καὶ τὸ νὰ χρησιμοποιῇ μύθους· τὸ νὰ λέγῃ δὲ κανεὶς γνωμικὰ περὶ πραγμάτων τῶν ὁποίων δὲν ἔχει καμμίαν πεῖραν, προδίδει ἀνοησίαν καὶ κακὴν ἀνατροφήν. Ἰδοὺ δὲ καὶ ἐπαρκὴς περὶ τούτου ἀπόδειξις. Οἱ ἀγροῖκοι ἄνθρωποι χρησιμοποιοῦν περισσότερον ἀπὸ κάθε ἄλλον γνωμικὰ καὶ εὔκολα βγάζουν γενικὰ ἀποφθέγματα γιὰ τὸ κάθε τί.

Τὸ νὰ χρησιμοποιῇ κανεὶς μίαν γενίκευσιν ἐνῷ χειρίζεται κάποιο εἰδικὸν θέμα, ἰδίως ταιριάζει ὅταν θέλῃ νὰ ἐπιτύχῃ ἀγανάκτησιν ἢ νὰ ἐξάρῃ τὴν σημασίαν τῶν λόγων του, αὐτὸ δὲ μπορεῖ νὰ γίνῃ ἐπιτυχῶς εἴτε εἰς τὸ προοίμιον εἴτε εἰς τὸ τέλος τοῦ λόγου. Πρέπει δὲ νὰ χρησιμοποιῇ κανεὶς κυρίως τὰ καθιερωμένα καὶ γενικῶς ἀποδεκτὰ γνω-

μαις, ἐὰν ὦσι χρήσιμοι· διὰ τὸ γὰρ εἶναι κοινά, ὡς ὁμολογούντων πάντων, ὀρθῶς ἔχειν δοκοῦσιν, οἷον παρακαλοῦντι ἐπὶ τὸ κινδυνεύειν μὴ θυσαμένους

εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης,

καὶ ἐπὶ τὸ ἥττους ὄντας

ξυνὸς Ἐνυάλιος,

καὶ ἐπὶ τὸ ἀναιρεῖν τῶν ἐχθρῶν τὰ τέκνα καὶ μηδὲν ἀδικοῦντα

νήπιος ὃς πατέρα κτείνας παῖδας καταλείπει.

Ἔτι ἔνιαι τῶν παροιμιῶν καὶ γνῶμαί εἰσιν, οἷον παροιμία, «Ἀττικὸς πάροικος». Δεῖ δὲ τὰς γνώμας λέγειν καὶ παρὰ τὰ δεδημοσιευμένα (λέγω δὲ δεδημοσιευμένα οἷον τὸ «γνῶθι σαυτὸν» καὶ «μηδὲν ἄγαν»), ὅταν ἢ τὸ ἦθος φαίνεσθαι μέλλῃ βέλτιον, ἢ παθητικῶς εἰρημένη ᾖ. Ἔστι δὲ παθητικὴ μὲν οἷον εἴ τις ὀργιζόμενος φαίη ψεῦδος εἶναι ὡς δεῖ γινώσκειν αὑτόν· οὗτος γοῦν εἰ ἐγίγνωσκεν ἑαυτόν, οὐκ ἄν ποτε στρατηγεῖν ἠξίωσε. Τὸ δὲ ἦθος βέλτιον, ὅτι οὐ δεῖ, ὥσπερ φασίν, φιλεῖν ὡς μισήσοντας ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντας. Δεῖ δὲ τῇ λέξει τὴν προαίρεσιν συνδηλοῦν, εἰ δὲ μή, τὴν αἰτίαν ἐπιλέγειν, οἷον οὕτως εἰπόντα, ὅτι «δεῖ δὲ φιλεῖν οὐχ ὥσπερ φασίν, ἀλλ' ὡς ἀεὶ φιλήσοντα· ἐπιβούλου γὰρ θάτερον», ἢ ὧδε «οὐκ ἀρέσκει δέ μοι τὸ λεγόμενον· δεῖ

---

1. Ἰλιάδος Μ 243. Τὸ ἀφήνομεν ἀμετάφραστον, διότι ὡς γνωμικὸν ἔχει καθιερωθῆ καὶ χρησιμοποιεῖται καὶ σήμερον μὲ τὴν ἀρχαίαν μορφήν του. Ὁ Πολυλᾶς ἔχει μεταφράσει τὸν στίχον αὐτὸν ὡς ἑξῆς:

Εἶναι καλὸ νὰ προμαχᾷς γιὰ τὴ γλυκειὰ Πατρίδα

2. Ἰλιάδος Σ 309 (μετάφρ. Πάλλη).
3. Βλ. Ρητορική, τόμ. Α' κεφ. 15.
4. Δηλ. ἐπικίνδυνος, ἄδολος γείτονας.

μικά, ἂν τοῦ εἶναι χρήσιμα. Πράγματι, ἐπειδὴ εἶναι γενικὰ καὶ ὅλοι τὰ ἀναγνωρίζουν, θεωροῦνται ὅτι εἶναι ὀρθά. Ἔτσι ὅταν προτρέπωμεν νὰ ἀντικρύσουν τὸν κίνδυνον, ἄνθρωποι ποὺ δὲν ἔχουν κάμει ἀκόμη θυσίαν ταιριάζει νὰ χρησιμοποιήσωμεν τὸ γνωμικὸν

«Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης» [1].

Ὅταν δὲ προτρέπωμεν τοὺς ἀδυνατωτέρους, ἐπίκαιρον εἶναι τὸ

«Χάρες δὲν ἔχει ὁ πόλεμος» [2].

Τέλος ἐκεῖνος ποὺ θέλει νὰ συμβουλεύσῃ νὰ θανατώσουν καὶ τὰ παιδιὰ τῶν ἐχθρῶν ἂν καὶ εἶναι ἀθῷα, μπορεῖ νὰ χρησιμοποιήσῃ τὸ

Εἶναι κουτὸς ὅποιος σκοτώνει τὸν πατέρα
Καὶ στὴ ζωὴ ἀφήνει τὰ παιδιά του [3].

Ὑπάρχουν ἐπίσης καὶ μερικαὶ παροιμίαι ποὺ ἀποτελοῦν γνωμικά, λ χ. ἡ παροιμία

«γείτονας ἀπὸ τὴν Ἀττική» [4].

Πρέπει δὲ ἀκόμη νὰ χρησιμοποιοῦμεν γνωμικά, ὅταν θέλωμεν ν' ἀντικρούσωμεν ἄλλα, γενικώτερον γνωστά, ὀνομάζω δὲ γενικώτερον γνωστὰ τὸ «γνῶθι σαυτὸν» λ. χ. ἢ τὸ «μηδὲν ἄγαν». Τοῦτο δέ, ὅταν ἢ θέλῃ νὰ δείξῃ ἀνώτερον χαρακτῆρα, ἢ νὰ χρησιμοποιήσῃ εἰς τὴν ἀγόρευσίν του πάθος. Πάθος ὑπάρχει ὅταν, ἐπὶ παραδείγματι, ὁ ρήτωρ θυμωμένος εἰπῇ ὅτι εἶναι ψέμα πὼς ὁ καθένας πρέπει νὰ γνωρίζῃ τὸν ἑαυτόν του. Διότι ἂν καὶ ὁ ἀντίπαλος ἐγνώριζε τὸν ἑαυτόν του, ποτὲ δὲν θὰ εἶχε τὴν ἀξίωσιν νὰ γίνῃ στρατηγός. Ἀφ' ἑτέρου δείχνει ἀνώτερον χαρακτῆρα ὅταν ἰσχυρίζεται ὅτι δὲν πρέπει, σύμφωνα μὲ τὸ γνωστὸν γνωμικόν, νὰ ἀγαπᾷ ὡσὰν νὰ πρόκειται τὴν ἄλλην ἡμέραν νὰ μισήσῃ (ἐκεῖνον ποὺ ἀγαπᾷ) ἀλλὰ μᾶλλον νὰ μισῇ ὡσὰν νὰ πρόκειται τὴν ἄλλην ἡμέραν νὰ ἀγαπήσῃ (ἐκεῖνον ποὺ μισεῖ) Καὶ τότε, μαζὶ μὲ τὸν ἰσχυρισμόν του, πρέπει ἀμέσως νὰ φανερώνῃ τί θέλει νὰ εἰπῇ ἢ τοὐλάχιστον νὰ ἐπεξηγῇ καὶ νὰ αἰτιολογῇ αὐτὸ ποὺ εἶπε, λόγου χάριν ἐκεῖνος ποὺ ἰσχυρίζεται ὅτι «δὲν πρέπει ν' ἀγαπᾷ κανείς, ὅπως λέγει ἡ παροιμία, ἀλλὰ σὰν νὰ πρόκειται νὰ ἀγαπᾷ πάντοτε. Διότι τὸ ἀντίθετον εἶναι ἴδιον ἐπιβούλου ἀνθρώπου». Ἢ καὶ τὸ ἑξῆς «δὲν μοῦ ἀρέσει ἡ παροιμία· διότι ὁ ἀληθινὸς φίλος πρέπει νὰ ἀγαπᾷ

γὰρ τὸν ἀληθινὸν φίλον ὡς φιλήσοντα ἀεὶ φιλεῖν»· καὶ «οὐδὲ τὸ μηδὲν ἄγαν· δεῖ γὰρ τούς γε κακοὺς ἄγαν μισεῖν».

1395b *Ἔχουσι δ' εἰς τοὺς λόγους βοήθειαν μεγάλην μίαν μὲν διὰ τὴν φορτικότητα τῶν ἀκροατῶν· χαίρουσι γὰρ ἐάν τις καθόλου λέγων ἐπιτύχῃ τῶν δοξῶν ἃς ἐκεῖνοι κατὰ μέρος ἔχουσιν. Ὃ δὲ λέγω. δῆλον ἔσται ὧδε, ἅμα δὲ καὶ πῶς δεῖ αὐτὰς θηρεύειν. Ἡ μὲν γὰρ γνώμη, ὥσπερ εἴρηται, ἀπόφανσις καθόλου ἐστίν, χαίρουσι δὲ καθόλου λεγομένου ὃ κατὰ μέρος προϋπολαμβάνοντες τυγχάνουσι· οἷον εἴ τις γείτοσι τύχοι κεχρημένος ἢ τέκνοις φαύλοις, ἀποδέξαιτ' ἂν τοῦ εἰπόντος «οὐδὲν γειτονίας χαλεπώτερον» ἢ ὅτι «οὐδὲν ἠλιθιώτερον τεκνοποιίας», ὥστε δεῖ στοχάζεσθαι πῶς τυγχάνουσι ποῖα προϋπολαμβάνοντες, εἶθ' οὕτως περὶ τούτων καθόλου λέγειν. Ταύτην τε δὴ ἔχει μίαν χρῆσιν τὸ γνωμολογεῖν, καὶ ἑτέραν κρείττω· ἠθικοὺς γὰρ ποιεῖ τοὺς λόγους. Ἦθος δὲ ἔχουσιν οἱ λόγοι ἐν ὅσοις δήλη ἡ προαίρεσις. Αἱ δὲ γνῶμαι πᾶσαι τοῦτο ποιοῦσιν διὰ τὸ ἀποφαίνεσθαι τὸν τὴν γνώμην λέγοντα καθόλου περὶ τῶν προαιρέσεων, ὥστε, ἂν χρησταὶ ὦσιν αἱ γνῶμαι, καὶ χρηστοήθη φαίνεσθαι ποιοῦσι τὸν λέγοντα.*

Περὶ μὲν οὖν γνώμης, καὶ τί ἐστι καὶ πόσα εἴδη ταύτης καὶ πῶς χρηστέον αὐτῇ καὶ τίνα ὠφέλειαν ἔχει, εἰρήσθω ταῦτα.

22. *Περὶ δ' ἐνθυμημάτων καθόλου τε εἴπωμεν, τίνα τρόπον δεῖ ζητεῖν, καὶ μετὰ ταῦτα τοὺς τόπους· ἄλλο γὰρ εἶδος ἑκάτερον τούτων ἐστίν. Ὅτι μὲν οὖν τὸ ἐνθύμημα*

ῶσάν νὰ πρόκειται νὰ ἀγαπᾷ πάντοτε». Οὔτε καὶ τὸ «μηδὲν ἄγαν». Διότι τοὺς κακοὺς ἀνθρώπους πρέπει νὰ τοὺς μισῶμεν ὑπερβολικά.

Τὰ γνωμικὰ ὠφελοῦν πολὺ τὸν ρήτορα, ἀφ' ἑνὸς μὲν ἐξ αἰτίας τῆς ματαιοδοξίας τοῦ ἀκροατηρίου. Διότι οἱ ἀκροαταὶ εὐχαριστοῦνται ἐξαιρετικὰ ὅταν ὁ ρήτωρ διατυπώνων μίαν γενικὴν κρίσιν συμφωνήσῃ μὲ τὰς γνώμας ποὺ καὶ αὐτοὶ οἱ ἴδιοι ἔχουν ἐν σχέσει πρὸς κάποιο εἰδικὸν θέμα. Μὲ τὰ ἀκόλουθα θὰ ἀποδειχθῇ αὐτὸ ποὺ ἰσχυρίζομαι καὶ θὰ φανῇ συγχρόνως πῶς πρέπει νὰ εὑρίσκωμεν τὰ γνωμικά. Εἶπα πράγματι ὅτι γνωμικὸν εἶναι μία γενικὴ κρίσις καὶ ὅτι οἱ ἀκροαταὶ αἰσθάνονται εὐχαρίστησιν ὅταν ὁ ρήτωρ διατυπώνῃ ὡς γενικὴν ἀλήθειαν κάτι ποὺ καὶ αὐτοὶ πιστεύουν ἐξ ἀφορμῆς μιᾶς εἰδικῆς περιπτώσεως. Πράγματι, ἂν κάποιος τύχῃ νὰ ἔχῃ κακοὺς γείτονας ἢ κακὰ παιδιά, θὰ ἀποδεχθῇ τὴν γνώμην ἐκείνου ποὺ θὰ εἴπῃ ὅτι «δὲν ὑπάρχει βαρύτερον πρᾶγμα ἀπὸ τὴν γειτονιὰ» ἢ ὅτι «δὲν ὑπάρχει ἀνοητότερον πρᾶγμα ἀπὸ τὸ νὰ κάμῃ κανεὶς παιδιά». Πρέπει ἑπομένως νὰ λογαριάζῃ κανεὶς τί συμβαίνει εἰς τοὺς ἀκροατάς του καὶ τί σκέψεις πιθανὸν νὰ κάμνουν καὶ τότε νὰ διατυπώνῃ γενικὰς κρίσεις ἀναλόγους. Αὐτὴ εἶναι ἡ μία ὠφέλεια τοῦ ρήτορος ἀπὸ τὴν χρησιμοποίησιν γνωμικῶν. Ὑπάρχει δὲ καὶ μία ἄλλη σπουδαιοτέρα. Τὰ γνωμικὰ δίδουν ἠθικὸν περιεχόμενον εἰς τοὺς λόγους. Ἔχουν δὲ ἠθικὸν περιεχόμενον ἐκεῖνοι οἱ λόγοι, ὅπου ἐκδηλώνονται αἱ ἠθικαὶ ἀντιλήψεις τοῦ ρήτορος. Κάθε γνωμικὸν ὅμως ἐπιτυγχάνει τὸ ἀποτέλεσμα αὐτό, διότι ὁ ρήτωρ ποὺ τὸ χρησιμοποιεῖ ἐμφανίζει τὰς γενικὰς ἀντιλήψεις του, εἰς τρόπον ὥστε, ἂν τὰ γνωμικὰ εἶναι ὀρθά, κάμνουν νὰ φαίνεται χρηστὸς ἄνθρωπος καὶ ἐκεῖνος ποὺ τὰ λέγει.

Ἀρκετὰ ἐξεθέσαμεν περὶ τῶν γνωμικῶν, περὶ τῆς φύσεως καὶ τῶν εἰδῶν των καὶ περὶ τοῦ τρόπου τῆς χρησιμοποιήσεώς των καθὼς καὶ περὶ τῆς ὠφελείας ποὺ προκύπτει ἀπ' αὐτά.

22. ΠΕΡΙ ΕΝΘΥΜΗΜΑΤΩΝ

Καὶ τώρα ἂς ὁμιλήσωμεν γενικῶς περὶ τῶν ἐνθυμημάτων. Ἂς ἐξετάσωμεν κατὰ ποῖον τρόπον πρέπει νὰ τὰ ἀναζητῶμεν καὶ κατόπιν θὰ πραγματευθῶμεν περὶ τῶν κοινῶν τόπων. Διότι τὸ καθένα ἀπὸ τὰ δύο αὐτὰ ἀποτελεῖ καὶ ἰδιαίτερον

συλλογισμός ἐστιν, εἴρηται πρότερον, καὶ πῶς συλλογισμός, καὶ τί διαφέρει τῶν διαλεκτικῶν· οὔτε γὰρ πόρρωθεν οὔτε πάντα δεῖ λαμβάνοντας συνάγειν· τὸ μὲν γὰρ ἀσαφὲς διὰ τὸ μῆκος, τὸ δὲ ἀδολεσχία διὰ τὸ φανερὰ λέγειν. Τοῦτο γὰρ αἴτιον καὶ τοῦ πιθανωτέρους εἶναι τοὺς ἀπαιδεύτους τῶν πεπαιδευμένων ἐν τοῖς ὄχλοις, ὥσπερ φασὶν οἱ ποιηταὶ τοὺς ἀπαιδεύτους παρ' ὄχλῳ μουσικωτέρους λέγειν· οἱ μὲν γὰρ τὰ κοινὰ καὶ καθόλου λέγουσιν, οἱ δ' ἐξ ὧν ἴσασι, καὶ τὰ ἐγγύς· ὥστ' οὐκ ἐξ ἁπάντων τῶν δοκούντων ἀλλ' ἐκ τῶν ὡρισμένων λεκτέον, οἷον ἢ τοῖς κρίνουσιν ἢ οὓς ἀπο-
1396a *δέχονται, καὶ τοῦτο δὴ ὅτι οὕτως φαίνεται, δῆλον εἶναι ἅπασιν ἢ τοῖς πλείστοις, καὶ μὴ μόνον συνάγειν ἐκ τῶν ἀναγκαίων, ἀλλὰ καὶ ἐκ τῶν ὡς ἐπὶ τὸ πολύ.*

Πρῶτον μὲν οὖν δεῖ λαβεῖν ὅτι περὶ οὗ δεῖ λέγειν καὶ συλλογίζεσθαι εἴτε πολιτικῷ συλλογισμῷ εἴθ' ὁποιῳοῦν, ἀναγκαῖον καὶ τὰ τούτῳ ἔχειν ὑπάρχοντα, ἢ πάντα ἢ ἔνια· μηδὲν γὰρ ἔχων ἐξ οὐδενὸς ἂν ἔχοις συνάγειν. Λέγω δ' οἷον πῶς ἂν δυναίμεθα συμβουλεύειν Ἀθηναίοις εἰ πολεμητέον [ἢ μὴ πολευητέον] μὴ ἔχοντες τίς ἡ δύναμις αὐτῶν, πότερον ναυτικὴ ἢ πεζικὴ ἢ ἄμφω, καὶ αὕτη πόση. καὶ πρόσοδοι τίνες ἢ φίλοι καὶ ἐχθροί, ἔτι τίνας πολέμους πεπολεμήκασι καὶ πῶς, καὶ τἆλλα τὰ τοιαῦτα· ἢ ἐπαινεῖν, εἰ μὴ ἔχοιμεν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἢ τὴν ἐν Μα-

---

1. Εὐριπίδου «Ἱππόλυτος» 994 - 995.

εἶδος. Τὸ ἐνθύμημα, ὅπως καὶ προηγουμένως εἴπαμεν, εἶναι συλλογισμός. Ἐδείξαμεν δὲ πῶς κατασκευάζεται ἕνας συλλογισμὸς καὶ τί διαφορὰ ὑπάρχει μεταξὺ ρητορικοῦ συλλογισμοῦ (ἐνθυμήματος) καὶ διαλεκτικοῦ συλλογισμοῦ. Πράγματι, εἰς τὸν ρητορικὸν συλλογισμὸν δὲν πρέπει νὰ συνάγωμεν συμπεράσματα ξεκινῶντας ἀπὸ πολὺ μακρυά, οὔτε νὰ παραθέτωμεν ὅλας τὰς προτάσεις. Διότι τοῦτο ἀφ' ἑνὸς μὲν θὰ ἐφαίνετο ἀσαφὲς ἐξ αἰτίας τῆς μακρᾶς σειρᾶς τῶν προτάσεων, ἀφ' ἑτέρου δὲ θὰ ἐθεωρεῖτο φλυαρία, ἐπειδὴ θὰ ἠναγκάζετο κανεὶς νὰ ἀναφέρῃ καὶ πράγματα πρόδηλα. Αὐτὸ εἶναι καὶ ἡ αἰτία, ποὺ οἱ ἀγράμματοι ἄνθρωποι ἔχουν μεγαλυτέραν πειστικότητα μέσα στὸν ὄχλον, παρὰ οἱ μορφωμένοι. Ἔτσι καὶ οἱ ποιηταὶ [1] λέγουν ὅτι οἱ ἀγράμματοι μπροστὰ στὸν ὄχλον ὁμιλοῦν μὲ περισσοτέραν τέχνην. Διότι αὐτοὶ μὲν χρησιμοποιοῦν κοινοτοπίας καὶ γενικότητας, ἐνῷ οἱ μορφωμένοι περιορίζονται εἰς τὸ θέμα των καὶ χρησιμοποιοῦν ὅλας τὰς γνώσεις των ποὺ σχετίζονται μὲ αὐτό. Ἑπομένως δὲν πρέπει νὰ χρησιμοποιοῦμεν εἰς τὸν λόγον μας ὅλα ὅσα μᾶς φαίνονται ἀληθινά, ἀλλὰ μόνον ἐκεῖνα ποὺ ἀναγνωρίζονται εἴτε ἀπὸ τοὺς δικαστὰς εἴτε ἀπὸ τὰ ἄλλα ἁρμόδια διὰ τὴν ὑπόθεσιν πρόσωπα καὶ νὰ τὰ διατυπώνωμεν ἔτσι, ὥστε ὅλος ὁ κόσμος ἢ τοὐλάχιστον οἱ πολλοὶ νὰ ἀντιλαμβάνωνται ὅτι αὐτὰ ποὺ λέγομεν εἶναι πρόδηλα. Νὰ μὴ χρησιμοποιοῦμεν δέ, πρὸς συναγωγὴν συμπερασμάτων, μόνον τὰς προτάσεις ποὺ ἀληθεύουν ἀναγκαστικά, ἀλλὰ καὶ ἐκείνας ποὺ εἶναι ἁπλῶς πιθαναί.

(XXIII). Ἄλλος τοῖς προδιαβεβλημένοις καὶ ἀνθρώποις καὶ πράγμασιν, ἢ δοκοῦσι, τὸ λέγειν τὴν αἰτίαν τοῦ παραδόξου· ἔστιν γάρ τι δι' ὃ φαίνεται. Οἷον ὑποβεβλημένης τινὸς τὸν αὑτῆς υἱὸν διὰ τὸ ἀσπάζεσθαι ἐδόκει συνεῖναι τῷ μειρακίῳ, λεχθέντος δὲ τοῦ αἰτίου ἐλύθη ἡ διαβολή· καὶ οἷον ἐν τῷ Αἴαντι τῷ Θεοδέκτου Ὀδυσσεὺς λέγει πρὸς τὸν Αἴαντα, διότι ἀνδρειότερος ὢν τοῦ Αἴαντος οὐ δοκεῖ.

(XXIV). Ἄλλος ἀπὸ τοῦ αἰτίου, ἄν τε ὑπάρχῃ, ὅτι ἔστι, κἂν μὴ ὑπάρχῃ, ὅτι οὐκ ἔστιν· ἅμα γὰρ τὸ αἴτιον καὶ οὗ αἴτιον, καὶ ἄνευ αἰτίου οὐθέν ἐστιν, οἷον Λεωδάμας ἀπολογούμενος ἔλεγε, κατηγορήσαντος Θρασυβούλου ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει, ἀλλ' ἐκκόψαι ἐπὶ τῶν τριάκοντα· οὐκ ἐνδέχεσθαι ἔφη· μᾶλλον γὰρ ἂν πιστεύειν αὐτῷ τοὺς τριάκοντα ἐγγεγραμμένης τῆς ἔχθρας πρὸς τὸν δῆμον.

(XXV). Ἄλλος, εἰ ἐνεδέχετο βέλτιον ἄλλως ἢ ἐνδέχεται ὧν ἢ συμβουλεύει ἢ πράττει ἢ πέ-
1400b πραχε σκοπεῖν· φανερὸν γὰρ ὅτι, εἰ μὴ οὕτως ἔχει, οὐ πέπραχεν· οὐδεὶς γὰρ ἑκὼν τὰ φαῦλα καὶ γιγνώσκων προαιρεῖται. Ἔστιν δὲ τοῦτο ψεῦδος· πολλάκις γὰρ ὕστερον γίγνεται δῆλον πῶς ἦν πρᾶξαι βέλτιον, πρότερον δὲ ἄδηλον.

(XXVI). Ἄλλος ὅταν τι ἐναντίον μέλλῃ πράτ-

---

1. Βλ. σχετικῶς Ὀβιδίου «Μεταμορφώσεις» XIII εἰς τὴν ἀρχήν.

ματα σὲ κανένα. Ἐγὼ δὲ ἔχω ἀπαλλάξει ἀπὸ τὰ χρέη των καὶ πολλοὺς ἀπὸ σᾶς».

ΚΓ. Ἄλλος κοινὸς τόπος εἶναι ἐκεῖνος ποὺ μεταχειριζόμεθα ὅταν κάποιοι ἄνθρωποι ἢ κάποιες πράξεις ἔχουν συκοφαντηθῆ προηγουμένως καὶ κάμνουν κακὴν ἐντύπωσιν, συνίσταται δὲ εἰς τὸ νὰ φανερώνωμεν τὴν αἰτίαν τῆς παρεξηγήσεως. Διότι κάποια πρᾶξις πάντοτε παρεξηγεῖται καὶ δίδει ἀφορμὴν εἰς τὴν διαβολήν. Λ.χ., ὅταν κάποτε μία γυναῖκα ἐθεάθη νὰ φιλῇ τὸν υἱόν της (καὶ ἦτο ἄγνωστος ἡ μεταξύ των συγγένεια) ἐνομίσθη ὅτι ἔχει ἰδιαιτέρας σχέσεις μὲ τὸν νεανίαν. Ὅταν ὅμως ἐφανερώθη ἡ αἰτία τῶν ἀσπασμῶν, διελύθη ἡ ἄδικος εἰς βάρος της γνώμη. Ἐπίσης εἰς τὸν Αἴαντα τοῦ Θεοδέκτου ὁ Ὀδυσσεὺς ἐξηγεῖ γιατὶ δὲν θεωρεῖται πιὸ ἀνδρεῖος ἀπ' αὐτόν, ἐνῷ εἰς τὴν πραγματικότητα εἶναι [1].

ΚΔ. Ἄλλος κοινὸς τόπος βασίζεται εἰς τὴν αἰτίαν. Καὶ ἐὰν μὲν ὑπάρχῃ αἰτία, λέγομεν ὅτι συνετελέσθη καὶ ἡ πρᾶξις, διαφορετικὰ δέ, ὅτι δὲν ἔγινε. Διότι ἡ αἰτία καὶ τὸ ἀποτέλεσμα συνυπάρχουν καὶ δὲν ὑπάρχει τίποτε χωρὶς αἰτίαν. Παράδειγμα: Ὅταν ὁ Θρασύβουλος εἶχε κατηγορήσει τὸν Λεωδάμαντα, αὐτός, ἀπολογούμενος εἶπεν ὅτι δὲν εἶναι ἀλήθεια, ὅτι τὸ ὄνομά του ἦτο γραμμένον εἰς τὴν στήλην ἐκείνην ἐπὶ τῆς Ἀκροπόλεως, (ὅπου ἀνεγράφοντο τὰ ὀνόματα τῶν ἐχθρῶν τοῦ λαοῦ) καὶ ἐπέτυχε τάχα τὴν διαγραφήν του ἐπὶ τῶν Τριάκοντα τυράννων. Διότι οἱ Τριάκοντα θὰ τοῦ εἶχαν μεγαλυτέραν ἐμπιστοσύνην, ἂν ἐξακολουθοῦσε ἡ ἐχθρότης τοῦ λαοῦ νὰ εἶναι γραμμένη ἐπάνω εἰς τὴν στήλην.

ΚΕ. Ἄλλος κοινὸς τόπος εἶναι ἡ ἐξέτασις τοῦ ἂν ἦτο ἢ εἶναι ἀκόμη δυνατὸν νὰ πραχθῇ κάτι καλύτερον, ἀπὸ ὅτι συμβουλεύει ἢ πράττει ἢ ἔχει πράξει. Καὶ τότε λέγομεν ὅτι εἶναι πιὰ φανερὸν ὅτι δὲν ἐξετελέσθη (ἡ δεῖνα πρᾶξις), ἀφοῦ ἦτο δυνατὸν ἐκεῖνος ποὺ φέρεται ὅτι τὴν ἐξετέλεσε νὰ κάμῃ κάτι καλύτερον. Διότι κανεὶς ἐν γνώσει καὶ θεληματικὰ δὲν προτιμᾷ τὸ χειρότερον. Ὁ συλλογισμὸς αὐτὸς ὅμως δὲν εἶναι ἀληθής. Διότι συχνὰ μόνον ἐκ τῶν ὑστέρων γίνεται φανερὸν ποιὸς δρόμος ἦτο προτιμότερος, ἐνῷ ἐκ τῶν προτέρων ἦτο τοῦτο ἄγνωστον.

ΚΣΤ. Ἄλλος κοινὸς τόπος συνίσταται εἰς τὴν ἐξέτασιν ἂν πρόκειται νὰ ἐκτελεσθῇ κά-

τεσθαι τοῖς πεπραγμένοις ἅμα. σκοπεῖν, οἷον Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν εἰ θύωσι τῇ Λευκοθέᾳ καὶ θρηνῶσιν ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσιν, μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον, μὴ θύειν

(XXVII). *Ἄλλος τόπος τὸ ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν ἢ ἀπολογεῖσθαι, οἷον ἐν τῇ Καρκίνου Μηδείᾳ οἱ μὲν κατηγοροῦσι ὅτι τοὺς παῖδας ἀπέκτεινεν, οὐ φαίνεσθαι γοῦν αὐτούς. Ἥμαρτε γὰρ ἡ Μήδεια περὶ τὴν ἀποστολὴν τῶν παίδων· ἡ δ' ἀπολογεῖται ὅτι οὐκ ἂν τοὺς παῖδας ἀλλὰ τὸν Ἰάσονα ἂν ἀπέκτειιεν· τοῦτο γὰρ ἥμαρτεν ἂν μὴ ποιήσασα, εἴπερ καὶ θάτερον ἐποίησεν. Ἔστι δ' ὁ τόπος οὗτος τοῦ ἐνθυμήματος καὶ τὸ εἶδος ὅλη ἡ πρότερον Θεοδώρου τέχνη*

(XXVIII). *Ἄλλος ἀπὸ τοῦ ὀνόματος, οἷον ὡς ὁ Σοφοκλῆς*

σαφῶς σιδήρῳ καὶ φοροῦσα τοὔνομα,

καὶ ὡς ἐν τοῖς τῶν θεῶν ἐπαίνοις εἰώθασι λέγειν . . . , καὶ ὡς Κόνων Θρασύβουλον θρασύβουλον ἐκάλει, καὶ Ἡρόδικος Θρασύμαχον ἀεὶ θρασύμαχος εἶ, καὶ Πῶλον ἀεὶ σὺ πῶλος εἶ, καὶ Δράκοντα τὸν νομοθέτην, ὅτι οὐκ ἂν ἀνθρώπου οἱ νόμοι ἀλλὰ δράκοντος· χαλεποὶ γάρ. Καὶ ὡς ἡ Εὐριπίδου Ἑκάβη εἰς τὴν Ἀφροδίτην

καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς,

καὶ ὡς Χαιρήμων

Πενθεὺς ἐσομένης συμφορᾶς ἐπώνυμος.

Εὐδοκιμεῖ δὲ μᾶλλον τῶν ἐνθυμημάτων τὰ ἐλεγκτικὰ τῶν

---

1. Ἡ συμβουλὴ αὐτὴ ἐδόθη ἀπὸ τὸν Ξενοφάνη εἰς τοὺς Αἰγυπτίους, σχετικὰ μὲ τοὺς θεούς των, τῶν ὁποίων ἐθρηνοῦσαν τὸν θάνατον. Βλ. σχετικῶς Πλουτάρχου «Περὶ δεισιδαιμονίας» 34.

2. Διδάσκαλος τῆς ρητορικῆς.

3. Δηλ. σκληρὰ σὰν τὸ σίδηρο, ὅπως καὶ τὄνομά της δηλώνει. Σοφοκλέους ἀπόσπασμα 597. Εἶναι φανερὸν ὅτι προτιμῶ τὴν γραφὴν Σιδηρὼ (κύριον ὄνομα).

4. Εὐριπίδου Τρῳάδες 1000.

5. Ὁ Χαιρήμων ἦτο τραγικὸς ποιητής, μαθητὴς τοῦ Σωκράτους

ποια πρᾶξις ἀντίθετος πρὸς ἐκείνας ποὺ συγχρόνως ἐκτελοῦνται. Ἔτσι ὁ Ξενοφάνης συνεβούλευε τοὺς Ἐλεάτας, ὅταν τὸν ἐρωτοῦσαν ἂν πρέπῃ νὰ θρηνοῦν διὰ τὸν θάνατον τῆς Λευκοθέας καὶ νὰ κάμνουν θυσίας εἰς αὐτήν, ἢ ὄχι, ὅτι ἂν μὲν τὴν θεωροῦν θεάν, δὲν ἔπρεπε νὰ θρηνοῦν, ἂν δὲ πάλιν τὴν θεωροῦν ἄνθρωπον, δὲν ἔπρεπε νὰ θυσιάζουν εἰς αὐτήν[1].

ΚΖ. Ἄλλος τόπος εἶναι ἐκεῖνος ποὺ στηρίζει τὴν κατηγορίαν ἢ τὴν ἀπολογίαν ἐπάνω εἰς τὴν ἀπαρίθμησιν τῶν σφαλμάτων ποὺ διεπράχθησαν. Ἔτσι εἰς τὴν Μήδειαν τοῦ Καρκίνου, ἀφ' ἑνὸς μὲν κατηγοροῦν τὴν Μήδειαν ὅτι ἐσκότωσε τὰ παιδιά της, ἀφοῦ αὐτὰ δὲν φαίνονται πουθενά. Διότι τὸ σφάλμα τῆς Μηδείας ἦτο αὐτό, δηλ. τὸ νὰ ἀπομακρύνῃ τὰ παιδιά της. Ἡ Μήδεια ἀφ' ἑτέρου, ἀπολογουμένη, λέγει ὅτι θὰ σκότωνε τὸν Ἰάσονα καὶ ὄχι τὰ παιδιά της. Διότι αὐτὸ ἦτο τὸ σφάλμα της, δηλ. τὸ ὅτι δὲν ἐσκότωσε τὸν Ἰάσονα, καὶ ἂν ἀκόμη ὑπετίθετο ὅτι ἐσκότωσε τὰ παιδιά της. Αὐτὸς ὁ τόπος καὶ τὸ εἶδος τοῦ συλλογισμοῦ ἀποτελεῖ ὁλόκληρον τὸ πρῶτον ἔργον τοῦ Θεοδώρου[2].

ΚΗ. Ἄλλος τόπος βασίζεται ἐπάνω εἰς τὸ ὄνομα: Παράδειγμα ὁ στίχος τοῦ Σοφοκλέους :

> «Ὄνομα καὶ πρᾶμα Σιδηρώ[3]».

Ἡ ἰδία μέθοδος χρησιμοποιεῖται καὶ εἰς τὰ ἐγκώμια τῶν θεῶν. Ἔτσι καὶ ὁ Κόνων ὠνόμαζε τὸν Θρασύβουλον ἄνθρωπον μὲ ἰσχυρὰν θέλησιν (θρασεῖαν βούλησιν) καὶ ὁ Ἡρόδικος ἔλεγε πρὸς τὸν Θρασύμαχον «πάντοτε εἶσαι θαρραλέος πολεμιστὴς (θρασὺς μαχητής») καὶ πρὸς τὸν Πῶλον «εἶσαι πάντοτε πουλάρι», ἐπίσης δὲ περὶ τοῦ νομοθέτου Δράκοντος, ὅτι τοὺς νόμους του δὲν τοὺς ἔγραψεν ἄνθρωπος ἀλλὰ δράκος, ἐξ αἰτίας τῆς αὐστηρότητός των. Ἐπίσης ὁ Εὐριπίδης βάζει τὴν Ἑκάβην νὰ εἰπῇ περὶ τῆς Ἀφροδίτης :

> «Πολὺ σωστὰ τὄνομά της ἀρχίζει ἀπὸ τὶς ἴδιες συλλαβὲς
> μὲ τὴν λέξιν ἀφροσύνη»[4].

Ἐπίσης ὁ Χαιρήμων[5] :

> «Ὁ Πενθεύς, ποὺ μέσα στὄνομά του προαναγγέλλεται
> ἡ συμφορὰ ποὺ θὰ τὸν βρῇ».

Ἀπὸ τὰ ἐνθυμήματα ἐπιτυχέστερα εἶναι τὰ ἐλ[ε]γκτικὰ

ἀποδεικτικῶν διὰ τὸ συναγωγὴν μὲν ἐναντίων εἶναι ἐν μικρῷ τὸ ἐλεγκτικὸν ἐνθύμημα, παρ' ἄλληλα δὲ φανερὰ εἶναι τῷ ἀκροατῇ μᾶλλον. Πάντων δὲ καὶ τῶν ἐλεγκτικῶν καὶ τῶν δεικτικῶν συλλογισμῶν θορυβεῖται μάλιστα τὰ τοιαῦτα ὅσα ἀρχόμενα προορῶσι μὴ τῷ ἐπιπολῆς εἶναι (ἅμα γὰρ καὶ αὐτοὶ ἐφ' αὑτοῖς χαίρουσι προαισθανόμενοι), καὶ ὅσων τοσοῦτον ὑστερίζουσιν ὥσθ' ἅμα εἰρημένων γνωρίζειν.

24. *Ἐπεὶ δ' ἐνδέχεται τὸν μὲν εἶναι συλλογισμόν, τὸν δὲ μὴ εἶναι μὲν φαίνεσθαι δέ, ἀνάγκη καὶ ἐνθύμημα τὸ μὲν εἶναι, τὸ δὲ μὴ εἶναι ἐνθύμημα φαίνεσθαι δέ, ἐπείπερ τὸ ἐνθύμημα συλλογισμός τις. Τόποι δ' εἰσὶ τῶν φαινομένων ἐνθυμημάτων* (I) *εἷς μὲν ὁ* π α ρ ὰ τ ὴ ν λ έ ξ ι ν, *καὶ τούτου* (α) *ἓν μὲν μέρος, ὥσπερ ἐν τοῖς διαλεκτικοῖς τὸ μὴ συλλογισάμενον συμπερασματικῶς τὸ τελευταῖον εἰπεῖν, οὐκ ἄρα τὸ καὶ τό, ἀνάγκη ἄρα καὶ τὸ καὶ τό, ⟨καὶ ἐν⟩ τοῖς ἐνθυμήμασι τὸ συνεστραμμένον καὶ ἀντικειμένως εἰπεῖν φαίνεται ἐνθύμημα· ἡ γὰρ τοιαύτη λέξις χώρα ἐστὶν ἐνθυμήματος. Καὶ ἔοικε τὸ τοιοῦτον εἶναι παρὰ τὸ σχῆμα τῆς λέξεως. Ἔστι δὲ εἰς τὸ τῇ λέξει συλλογιστικῶς λέγειν χρήσιμον τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν, ὅτι τοὺς μὲν ἔσωσε τοῖς δ' ἑτέροις ἐτιμώρησε, τοὺς δ' Ἕλληνας ἠλευθέρωσε· ἕκαστον μὲν γὰρ τούτων ἐξ ἄλλων ἀπεδείχθη, συντεθέντων δὲ φαίνεται καὶ ἐκ τούτων τι γίγνεσθαι.* (β) *Ἓν δὲ τὸ* π α ρ ὰ τ ὴ ν ὁ μ ω ν υ μ ί α ν, *τὸ φάναι σπουδαῖον εἶ-*

1. Ἀνωτέρω, βιβλ. Α κεφ. ΙΙ.
2. Τὰς μείζονας.

παρὰ τὰ δεικτικά, ἐπειδὴ τὸ μὲν ἐλεγκτικὸν ἐνθύμημα παρουσιάζει συνοπτικὰ ὅλα τὰ ἀντίθετα μεταξύ των ἐπιχειρήματα, μὲ τὸ νὰ παραλληλίζωνται δὲ ταῦτα, ὁ ἀκροατὴς τὰ ἐννοεῖ σαφέστερα. Ἀπὸ ὅλα δὲ τὰ ἐνθυμήματα, ἐλεγκτικὰ μαζὶ καὶ δεικτικά, μεγαλυτέραν ἐντύπωσιν κάμνουν ἐκεῖνα τῶν ὁποίων τὸ συμπέρασμα προβλέπεται ἀπὸ τοὺς ἀκροατὰς εὐθὺς μόλις ἀρχίσῃ ὁ ρήτωρ (γιατὶ καὶ οἱ ἴδιοι χαίρουν καὶ αἰσθάνονται ἱκανοποίησιν) μὲ τὸ νὰ προμαντεύουν τὴν σκέψιν τοῦ ρήτορος, καθὼς καὶ τὰ ἐνθυμήματα ἐκεῖνα ποὺ τόσον πολὺ ἀργεῖ νὰ γίνῃ καταληπτὸν τὸ συμπέρασμα, ὥστε τὸ ἐννοοῦν οἱ ἀκροαταὶ μόνον ὅταν διατυπωθῇ πλήρως.

24. ΠΕΡΙ ΤΩΝ ΦΑΙΝΟΜΕΝΙΚΩΝ ΕΝΘΥΜΗΜΑΤΩΝ

Ἀφοῦ ὅμως συμβαίνει νὰ ὑπάρχουν καὶ πραγματικοὶ συλλογισμοὶ καὶ ἄλλοι ποὺ φαινομενικῶς εἶναι συλλογισμοί, χωρὶς καὶ εἰς τὴν πραγματικότητα νὰ εἶναι τοιοῦτοι, ἀναγκαστικὰ καὶ τὰ ἐνθυμήματα ὑπάρχουν ὄχι μόνον πραγματικά, ἀλλὰ καὶ φαινομενικά. Διότι καὶ τὸ ἐνθύμημα εἶναι εἶδος συλλογισμοῦ [1].

Τόποι τῶν φαινομενικῶν συλλογισμῶν εἶναι οἱ ἑξῆς: Πρῶτον μὲν ἐκεῖνος ποὺ προέρχεται ἀπὸ τέχνασμα τοῦ λόγου. Ἕνα μέρος τοῦ τόπου αὐτοῦ εἶναι, καθὼς καὶ εἰς τὰ ἐπιχειρήματα τῆς διαλεκτικῆς συμβαίνει, τὸ νὰ παρουσιάσωμεν τὴν τελευταίαν ἀπὸ μίαν σειρὰν φράσεων ὡς συμπέρασμα τῶν προηγουμένων, χωρὶς ἐν τούτοις νὰ ἔχωμεν καταρτίσει συλλογισμόν· λ.χ. «δὲν συμβαίνει τοῦτο καὶ ἐκεῖνο. Πρέπει λοιπὸν νὰ συμβαίνῃ τὸ τάδε καὶ τὸ τάδε. Πράγματι, ἡ περίπλοκος καὶ ἀντιφατικὴ ἔκφρασις φαίνεται σὰν ἐνθύμημα, διότι ὁ τρόπος αὐτὸς τῆς διατυπώσεως δίδει ἐμφάνισιν ἐνθυμήματος εἰς τὴν φράσιν καὶ ἡ ὁμοιότης αὐτὴ προέρχεται ἀπὸ τέχνασμα τοῦ λόγου. Διὰ νὰ δημιουργήσωμεν δὲ φράσεις ποὺ νὰ ἔχουν τὴν ἐμφάνισιν συλλογισμοῦ χρήσιμον εἶναι τὸ νὰ ἀπαγγείλωμεν τὰς ἀρχικὰς προτάσεις περισσοτέρων τοῦ ἑνὸς συλλογισμῶν λ. χ. «ἔσωσε τοὺς μέν, ἐξεδικήθη τοὺς ἄλλους, ἀπηλευθέρωσε τοὺς Ἕλληνας». Διότι καὶ μὲν ἡ κάθε μιὰ ἀπὸ τὰς προτάσεις αὐτὰς ἀπεδείχθη ἀπὸ ἄλλους συλλογισμούς, ἀλλὰ ὅλες μαζὶ φαίνονται σὰν νὰ ἀποτελοῦν ἕνα καινούργιο ἐνθύμημα. Τὸ δεύτερον δὲ μέρος τοῦ τόπου αὐτοῦ στηρίζεται ἐπάνω εἰς τὴν ὁμοιότητα τῶν λέξεων, ὅπως τὸ νὰ ὑποστηρίζῃ κανεὶς ὅτι τὸ ποντίκι

ναι μῦν, ἀφ' οὗ γ' ἐστὶν ἡ τιμιωτάτη πασῶν τελετή· τὰ γὰρ μυστήρια πασῶν τιμιωτάτη τελετή. Ἢ εἴ τις κύνα ἐγκωμιάζων τὸν ἐν τῷ οὐρανῷ συμπαραλαμβάνοι ἢ τὸν Πᾶνα, ὅτι ὁ Πίνδαρος ἔφησεν

ὦ μάκαρ, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν
καλέουσιν 'Ολύμπιοι.

Ἢ ὅτι τὸ μηδένα εἶναι κύν' ἀτιμότατόν ἐστιν, ὥστε τὸ κύνα δῆλον ὅτι τίμιον. Καὶ τὸ κοινωνικὸν φάναι τὸν Ἑρμῆν εἶναι μάλιστα τῶν θεῶν· μόνος γὰρ καλεῖται κοινὸς Ἑρμῆς. Καὶ τὸ τὸν λόγον εἶναι σπουδαιότατον, ὅτι οἱ ἀγαθοὶ ἄνδρες οὐ χρημάτων ἀλλὰ λόγου εἰσὶν ἄξιοι· τὸ γὰρ λόγου ἄξιον οὐχ ἁπλῶς λέγεται. (II) *Ἄλλος τὸ διῃρημένον συντιθέντα λέγειν ἢ τὸ συγκείμενον διαιροῦντα· ἐπεὶ γὰρ ταὐτὸν δοκεῖ εἶναι οὐκ ὂν ταὐτὸ πολλάκις, ὁπότερον χρησιμώτερον, τοῦτο δεῖ ποιεῖν. Ἔστι δὲ τοῦτο Εὐθυδήμου λόγος, οἷον τὸ εἰδέναι ὅτι τριήρης ἐν Πειραιεῖ ἐστίν· ἕκαστον γὰρ οἶδεν. Καὶ τὸν τὰ στοιχεῖα ἐπιστάμενον ὅτι τὸ ἔπος οἶδεν· τὸ γὰρ ἔπος τὸ αὐτό ἐστιν Καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον νοσῶδες, μηδὲ τὸ ἓν φάναι ὑγιεινὸν εἶναι· ἄτοπον γὰρ εἰ τὰ δύο ἀγαθὰ ἓν κακόν ἐστιν. Οὕτω μὲν οὖν ἐλεγκτικόν, ὧδε δὲ δεικτικόν· οὐ γάρ ἐστιν ἓν ἀγαθὸν δύο κακά. Ὅλος δὲ ὁ τόπος παραλογιστικός. Πάλιν τὸ*

---

1. Εἶδος λογοπαιγνίου ἀπὸ τὸν παραλληλισμὸν τῶν λέξεων *μῦς* καὶ *μυστήριον*. Τὸ παράδειγμα εἶναι παρμένο ἀπὸ τὸ «Μυὸς ἐγκώμιον» τοῦ Πολυκράτους.

2. Ἀπόσπασμα ἀπὸ ὕμνον τοῦ Πινδάρου ποὺ ἔχει χαθῆ.

3. Μὲ μεταφορικὴν σημασίαν, δηλ. νὰ εἴμεθα εὐνοῦχοι. Μὲ τὴν λέξιν *κύων* κατὰ τὸ Μέγα Ἐτυμολογικὸν ἐσημαίνετο καὶ τὸ κάτω τῆς πόσθης συμπεφυκὸς τῷ δέρματι. Βλ. Γαληνοῦ 4, 358 Ἀριστοφάνους «Λυσιστράτη» 158 κτλ.

4. *Κοινός*, ἐπειδὴ τὸ πεδίον δράσεώς του ἐκτείνεται εἰς τὸν οὐρανόν, εἰς τὴν γῆν καὶ εἰς τὸν Ἅδην. Καὶ αὐτὸ τὸ λογοπαίγνιον στηρίζεται ἐπάνω στὴν ὁμοιότητα τῶν λέξεων *κοινωνικὸς* καὶ *κοινός*.

5. Καὶ ἐδῶ τὸ φαινομενικὸν ἐνθύμημα βάσιν ἔχει τὰς περισσοτέρας τῆς μιᾶς σημασίας τῆς λέξεως *λόγος*.

6. Πρβλ. «Σοφιστῶν ἔλεγχος» κεφ. 20.

είναι σπουδαίον ζώον, αφού απ' αυτό προέρχεται ή πιό άξιοσέβαστη τελετή, διότι τα μυστήρια είναι ή πιό άξιοσέβαστη τελετή [1]. Ή, όταν κάποιος εγκωμιάζη τό σκυλί, νά απαριθμή μαζί μέ τ' άλλα εγκώμια και όσα αναφέρονται είς τόν αστερισμόν Κ ύ ν α καθώς και είς τόν Πάνα, γιατί ό Πίνδαρος είπε γι' αυτόν :

> «Ώ καλότυχε, πού οί Ολύμπιοι σ' όνομάζουν
> Χιλίων μορφών σκυλί [2]».

Ή τέλος, νά λέγη ότι πρέπει νά συμπεράνωμεν ότι τό σκυλί είναι άξιον τιμής, αφού είναι πολύ ατιμωτικόν τό νά μήν έχωμεν καθόλου σκυλί [3]. Είς αυτό τό είδος ανήκει και τό επιχείρημα ότι ό Ερμής είναι ό πιό κοινωνικός θεός, αφού μόνον αυτός απ' όλους τούς θεούς λέγεται κ ο ι ν ό ς Ερμής [4]. Επίσης τό νά ισχυρίζεται κανείς ότι ό λ ό γ ο ς είναι τό σπουδαιότερο απ' όλα τά πράγματα, αφού οί καλοί άνθρωποι χαρακτηρίζονται όχι ώς άξιοι χρημάτων αλλά ώς αξιόλογοι. Και πράγματι ή έκφρασις άξιος λόγου έχει περισσοτέρας τής μιάς σημασίας [5]. Άλλος τόπος φαινομενικού ενθυμήματος είναι τό νά ενώνωμεν κατά τήν ομιλίαν μας πράγματα διαφορετικά μεταξύ των, ή απεναντίας, νά χωρίζωμεν πράγματα πού αποτελούν έν σύνολον. Πράγματι, επειδή πολλές φορές φαίνεται ότι είναι τό ίδιο πράγμα εκείνο πού δέν είναι καθόλου τό ίδιο, πρέπει νά χρησιμοποιούμεν αυτό τό τέχνασμα κατά τόν τρόπον πού μάς είναι χρησιμώτερος. Αυτή είναι ή μέθοδος τού Ευθυδήμου [6], όπως λ.χ. τό νά λέγωμεν ότι είναι γνωστόν πώς κάποια τριήρης βρίσκεται στόν Πειραιά, αφού και τά δύο αυτά (δηλ. και ή τριήρης και ό Πειραιεύς) είναι γνωστά. Ή τό νά υποστηρίζωμεν πώς εκείνος πού ξέρει τά 24 γράμματα ξέρει και ολόκληρο τό ποίημα, αφού τό ποίημα δέν είναι καθόλου διαφορετικό από τά γράμματα πού τό αποτελούν. Επίσης τό νά λέγωμεν ότι αφού ή διπλή δόσις κάμνει κακόν είς τήν υγείαν, ασφαλώς και ή μία μόνον δόσις δέν κάμνει καλόν, διότι άτοπον είναι νά υποτεθή ότι τά δυό καλά αποτελούν ένα κακό. Αυτά είναι τά ελεγκτικά ενθυμήματα. Ιδού τώρα πώς θά διατυπώσωμεν (τό ίδιο πράγμα) ώς αποδεικτικόν ενθύμημα : Αλήθεια δέν μπορεί τό ένα καλό νά αποτελήται από δύο κακά. Αλλά, ολόκληρος ό κοινός αυτός τόπος στηρίζεται επάνω είς παραλογισμόν. Άς αναφέρωμεν ακόμη τήν φράσιν τού Πολυ-

Πολυκράτους εἰς Θρασύβουλον, ὅτι τριάκοντα τυράννους κατέλυσε· συντίθησι γάρ. Ἢ τὸ ἐν τῷ Ὀρέστῃ τῷ Θεοδέκτου· ἐκ διαιρέσεως γάρ ἐστιν.

Δίκαιόν ἐστιν, ἥ τις ἂν κτείνῃ πόσιν,
ἀποθνήσκειν ταύτην, καὶ τῷ πατρί γε τιμωρεῖν τὸν υἱόν·

1401b *οὐκοῦν [καὶ] ταῦτα καὶ πεπρᾶχθαι· συντεθέντα γὰρ ἴσως οὐκέτι δίκαιον. Εἴη δ' ἂν καὶ παρὰ τὴν ἔλλειψιν· ἀφαιρεῖ γὰρ τὸ ὑπὸ τίνος.* (III) *Ἄλλος δὲ τόπος τὸ δεινώσει κατασκευάζειν ἢ ἀνασκευάζειν· τοῦτο δ' ἐστὶν ὅταν, μὴ δείξας ὅτι ἐποίησεν, αὐξήσῃ τὸ πρᾶγμα· ποιεῖ γὰρ φαίνεσθαι ἢ ὡς οὐ πεποίηκεν, ὅταν ὁ τὴν αἰτίαν ἔχων αὔξῃ, ἢ ὡς πεποίηκεν, ὅταν ὁ κατηγορῶν ὀργίζηται. Οὔκουν ἐστὶν ἐνθύμημα· παραλογίζεται γὰρ ὁ ἀκροατὴς ὅτι ἐποίησεν ἢ οὐκ ἐποίησεν, οὐ δεδειγμένου.* (IV) *Ἄλλος τὸ ἐκ σημείου· ἀσυλλόγιστον γὰρ καὶ τοῦτο. Οἷον εἴ τις λέγοι, ταῖς πόλεσι συμφέρουσιν οἱ ἐρῶντες· ὁ γὰρ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔρως κατέλυσε τὸν τύραννον Ἵππαρχον. Ἢ εἴ τις λέγοι ὅτι κλέπτης Διονύσιος· πονηρὸς γάρ· ἀσυλλόγιστον γὰρ δὴ τοῦτο· οὐ γὰρ πᾶς πονηρὸς κλέπτης, ἀλλ' ὁ κλέπτης πᾶς πονηρός.* (V) *Ἄλλος διὰ τὸ συμβεβηκός, οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς μῦς, ὅτι ἐβοήθησαν διατραγόντες τὰς νευράς. Ἢ εἴ τις φαίη τὸ ἐπὶ δεῖπνον κληθῆναι τιμιώτατον· διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς ἐμήνισε τοῖς Ἀχαιοῖς ἐν Τενέδῳ· ὁ δ' ὡς ἀτιμαζόμενος ἐμήνισεν, συνέβη δὲ τοῦτο*

---

1. Ὑπαινιγμὸς εἰς σχετικὸν χωρίον τοῦ «Συμποσίου» τοῦ Πλάτωνος.
2. Τὸ περιστατικὸν αὐτὸ τὸ ἀναφέρει καὶ ὁ Κλήμης ὁ Ἀλεξανδρεὺς εἰς τὸν Προτρεπτικόν του καὶ προσθέτει ὅτι ἐξ αἰτίας αὐτοῦ οἱ Τρῶες ἐθεωροῦσαν τοὺς ποντικοὺς ζῶα ἄξια σεβασμοῦ.

κράτους διὰ τὸν Θρασύβουλον. «Κατέλυσε τοὺς Τριάκοντα τυράννους». Ἐδῶ εἶναι φανερὸν ὅτι χρησιμοποιεῖ τὴν σύνθεσιν. Ἐπίσης δὲ τὴν περικοπὴν τοῦ Θεοδέκτου, εἰς τὸν Ὀρέστην του ὅπου ἐφαρμόζεται ἡ ἀντίθετος μέθοδος τῆς διαιρέσεως

«Δίκαιον εἶναι, ὅταν μιὰ γυναῖκα σκοτώσῃ τὸν ἄντρα της, νὰ σκοτωθῇ κι' αὐτή, κι' ὁ γιὸς νὰ ἐκδικηθῇ τὸν πατέρα του».

Καὶ αὐτὸ πράγματι εἶχε συμβῆ. Ἂν ὅμως συνέθετε κανεὶς μαζὶ τὰς δύο ἰδέας αὐτάς, πιθανὸν νὰ προέκυπτε ὅτι δὲν εἶναι πιὰ δικαία ἡ πρᾶξις. Ἄλλωστε τὸ ἐνθύμημα αὐτὸ εἶναι ἐλλειπτικόν, διότι δὲν ἀναφέρει τὸν δράστην τῆς πράξεως.

Ἄλλος κοινὸς τόπος εἶναι τὸ νὰ ἀποδεικνύῃς ἢ νὰ ἀνατρέπῃς ἕνα ἐπιχείρημα μὲ τὴν ὑπερβολήν. Αὐτὸ συμβαίνει ὅταν χωρὶς νὰ ἀποδείξῃς ὅτι ἐξετελέσθη κάποια πρᾶξις, ἐπιμένῃς ἐπὶ τῆς σοβαρότητός της. Διότι ἔτσι δημιουργεῖται ἡ ἑξῆς ἐντύπωσις. Ἂν μὲν μεγαλοποιῇ τὴν σοβαρότητα τῆς πράξεως ἐκεῖνος ποὺ κατηγορεῖται γι' αὐτήν, φαίνεται ὅτι ἀσφαλῶς δὲν τὴν ἐξετέλεσε. Ἂν πάλιν ὁ κατήγορός του τὴν ἐξογκώνῃ καὶ ἐκδηλώνῃ τὴν ἀγανάκτησίν του, τότε ἀπ' ἐναντίας (νομίζει τὸ ἀκροατήριον) ὅτι ἀπεδείχθη ἡ ἐνοχὴ τοῦ κατηγορουμένου. Λοιπὸν εἰς τὴν περίπτωσιν αὐτὴν δὲν ὑπάρχει ἐνθύμημα καὶ ὁ ἀκροατὴς μὲ παραλογισμοὺς παρασύρεται εἰς τὸ νὰ δεχθῇ τὴν ὕπαρξιν ἢ τὴν ἀνυπαρξίαν γεγονότος ποὺ δὲν ἔχει ἀποδειχθῆ.

Ἄλλος κοινὸς τόπος εἶναι ἐκεῖνος ποὺ στηρίζεται ἐπάνω εἰς τὸ παράδειγμα. Ἔτσι, ὅταν λέγῃ κανεὶς ὅτι οἱ ἄνδρες ποὺ συνδέονται ἐρωτικὰ μεταξύ των εἶναι ὠφέλιμοι εἰς τὰς πατρίδας των διότι ὁ Ἔρως μεταξὺ Ἁρμοδίου καὶ Ἀριστογείτονος κατέλυσε τὸν τύραννον Ἵππαρχον.[1] Ἢ ὅταν κάποιος λέγῃ, ὅτι ὁ Διονύσιος εἶναι κλέπτης, ἐπειδὴ εἶναι κακὸς ἄνθρωπος. Αὐτὸ ὅμως δὲν εἶναι συλλογισμός. Διότι κάθε κακὸς ἄνθρωπος δὲν εἶναι καὶ κλέπτης, ἀλλὰ κάθε κλέπτης εἶναι καὶ κακός.

Ἄλλος κοινὸς τόπος εἶναι ἐκεῖνος ποὺ βασίζεται ἐπάνω εἰς ἕνα τυχαῖον συμβάν. Αὐτὸ συμβαίνει μὲ τὸν ἰσχυρισμὸν τοῦ Πολυκράτους ποὺ λέγει ὅτι καὶ τὰ ποντίκια ἐβοήθησαν (τοὺς Τρῶας) μὲ τὸ νὰ φᾶνε τὰς χορδὰς ἀπὸ τὰ τόξα (τῶν Ἑλλήνων)[2]. Ἐπίσης ἂν κάποιος λέγῃ ὅτι τὸ νὰ κληθῇ κανεὶς εἰς δεῖπνον εἶναι πολὺ μεγάλη τιμή ἀφοῦ ὁ Ἀχιλλεὺς ἐθύμωσε μὲ τοὺς Ἀχαιοὺς εἰς τὴν Τένεδον, ἐπειδὴ δὲν τὸν εἶχαν καλέσει σὲ κάποιο δεῖπνον. Ὁ θυμός του ὠφεί-

διὰ τὸ μὴ κληθῆναι. (VI) *Ἄλλος τὸ παρὰ τὸ ἑπόμενον, οἷον ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι μεγαλόψυχος· ὑπεριδὼν γὰρ τὴν πολλῶν ὁμιλίαν ἐν τῇ Ἴδῃ διέτριβεν καθ' αὑτόν· ὅτι γὰρ οἱ μεγαλόψυχοι τοιοῦτοι, καὶ οὗτος μεγαλόψυχος δόξειεν ἄν. Καὶ ἐπεὶ καλλωπιστὴς καὶ νύκτωρ πλανᾶται, μοιχός· τοιοῦτοι γάρ. Ὅμοιον δὲ καὶ ὅτι ἐν τοῖς ἱεροῖς οἱ πτωχοὶ καὶ ᾄδουσι καὶ ὀρχοῦνται, καὶ ὅτι τοῖς φυγάσιν ἔξεστιν οἰκεῖν ὅπου ἂν θέλωσιν· ὅτι γὰρ τοῖς δοκοῦσιν εὐδαιμονεῖν ὑπάρχει ταῦτα, καὶ οἷς ταῦτα ὑπάρχει, δόξαιεν ἂν εὐδαιμονεῖν. Διαφέρει δὲ τῷ πῶς· διὸ καὶ εἰς τὴν ἔλλειψιν ἐμπίπτει.* (VII) *Ἄλλος παρὰ τὸ ἀναίτιον ὡς αἴτιον, οἷον τῷ ἅμα ἢ μετὰ τοῦτο γεγονέναι· τὸ γὰρ μετὰ τοῦτο ὡς διὰ τοῦτο λαμβάνουσιν, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις, οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν· μετ' ἐκείνην γὰρ συνέβη ὁ πόλεμος.*

(VIII) *Ἄλλος παρὰ τὴν ἔλλειψιν τοῦ πότε καὶ πῶς, οἷον ὅτι δικαίως Ἀλέξανδρος ἔλαβε τὴν Ἑλένην· αἵρεσις γὰρ αὐτῇ ἐδόθη παρὰ τοῦ πατρός. Οὐ γὰρ ἀεὶ ἴσως,*
1402a *ἀλλὰ τὸ πρῶτον· καὶ γὰρ ὁ πατὴρ μέχρι τούτου κύριος. Ἢ εἴ τις φαίη τὸ τύπτειν τοὺς ἐλευθέρους ὕβριν εἶναι· οὐ γὰρ πάντως, ἀλλ' ὅταν ἄρχῃ χειρῶν ἀδίκων.* (IX) *Ἔτι ὥσπερ*

---

1. Δηλ. ὑπὸ ποίαν ἔννοιαν λ. χ. ὁ ἐξόριστος μπορεῖ νὰ κατοικῇ ὅπου θέλει.

2. Πρόκειται περὶ τοῦ γνωστοῦ σοφίσματος ποὺ ἡ μεσαιωνικὴ σχολαστικὴ φιλοσοφία διετύπωσε μὲ τὴν παροιμιώδη πλέον φράσιν «post hoc, ergo propter hoc». Πρέπει νὰ σημειωθῇ ὅτι καὶ ὁ Αἰσχίνης εἰς τὸν κατὰ Κτησιφῶντος λόγον του § 164, ποὺ συνετέθη πιθανῶς μετὰ τὴν «Ρητορικήν», κατηγορεῖ τὸν Δημοσθένην, ὅτι ἐχρησιμοποίησεν ἐναντίον του αὐτὸν τὸν παραλογισμόν.

λετο στὸ ὅτι τὸν εἶχαν προσβάλει. Ἀλλὰ ἡ προσβολὴ συνίστατο εἰς τὸ ὅτι δὲν τὸν εἶχαν καλέσει.

Ἄλλος κοινὸς τόπος εἶναι ἐκεῖνος ποὺ βασίζεται ἐπάνω εἰς τὸ παρακολούθημα. Ἔτσι, ἐλέχθη γιὰ τὸν Πάριν, ὅτι ἦτο μεγαλόψυχος, ἀφοῦ περιεφρόνησε τὴν συναναστροφὴν μὲ τὸ πλῆθος καὶ ἀποτραβήχτηκε μόνος του εἰς τὴν Ἴδην. Δηλαδή, ἀφοῦ συνήθως τὴν μεγαλοψυχίαν παρακολουθοῦν ἐκδηλώσεις αὐτοῦ τοῦ εἴδους, βγαίνει τὸ συμπέρασμα ὅτι καὶ αὐτὸς ἦτο μεγαλόψυχος. Ἤ, ἐπειδὴ κάποιος καλλωπίζεται καὶ συνηθίζει νὰ γυρίζῃ ἔξω τὴν νύκτα, τὸ νὰ συμπεράνωμεν ὅτι εἶναι μοιχός, ἀφοῦ τέτοιες πράξεις κάμνουν καὶ οἱ μοιχοί. Ἀνάλογον ἐνθύμημα εἶναι καὶ τὸ ἑξῆς : Οἱ ζητιᾶνοι τραγουδοῦν καὶ χορεύουν μέσα εἰς τοὺς ναοὺς καὶ οἱ ἐξόριστοι ἔχουν τὸ δικαίωμα νὰ κατοικοῦν ὅπου θέλουν. Ἐπειδὴ ὅμως αὐτὰς τὰς ἰδιότητας ἔχουν ὅσοι θεωροῦνται εὐτυχισμένοι, καὶ οἱ ζητιᾶνοι καὶ οἱ ἐξόριστοι ποὺ τὰς ἔχουν μπορεῖ νὰ θεωρηθοῦν εὐτυχισμένοι. Ἡ διαφορὰ ὅμως συνίσταται εἰς τὸν τρόπον μὲ τὸν ὁποῖον οἱ τελευταῖοι αὐτοὶ ἔχουν τὰς ἀνωτέρω ἰδιότητας [1]. Καὶ γι' αὐτὸ ὁ κοινὸς αὐτὸς τόπος καταλήγει εἰς τοὺς ἐλλειπτικοὺς συλλογισμούς.

Ἄλλος κοινὸς τόπος εἶναι τὸ νὰ παρουσιάζῃ κανεὶς ὡς αἴτιον ἐκεῖνο ποὺ δὲν εἶναι. Ἐπειδὴ τυχὸν τὸ ἀποτέλεσμα ἐπῆλθε συγχρόνως ἢ ἀμέσως κατόπιν Τότε ἐκεῖνο ποὺ ἐπηκολούθησε τὸ θεωροῦν ὡς ἀποτέλεσμα τῆς προκληθείσης πράξεως καὶ τὸ ἐνθύμημα αὐτὸ χρησιμοποιεῖται κυρίως εἰς τὰς πολιτικὰς συζητήσεις. Ἔτσι ὁ Δημάδης ἐχαρακτήριζε τὴν πολιτικὴν τοῦ Δημοσθένους ὡς αἰτίαν ὅλων τῶν κακῶν, ἀφοῦ ὁ πόλεμος ἐπῆλθεν ἀμέσως μετὰ τὴν ἐπικράτησίν της [2].

Ἄλλος κοινὸς τόπος εἶναι ἐκεῖνος ποὺ στηρίζεται ἐπάνω εἰς τὴν ἀποσιώπησιν τοῦ χρόνου καὶ τῶν συνθηκῶν. ὅπως τὸ νὰ ὑποστηρίζωμεν ὅτι καλὰ ἔκαμεν ὁ Πάρις καὶ ἀπήγαγε τὴν Ἑλένην, ἀφοῦ ὁ πατέρας της τῆς ἔδωσε τὸ δικαίωμα νὰ διαλέξῃ ἄνδρα. Φυσικὰ αὐτὸ τὸ δικαίωμα δὲν τῆς ἐδόθηκε γιὰ πάντα. ἀλλὰ διὰ νὰ τὸ ἐξασκήσῃ μίαν φοράν, διότι ἕως ἐκεῖ ἐκτείνεται ἡ ἐξουσία τοῦ πατρός. Ἢ τὸ νὰ ὑποστηρίζωμεν ὅτι τὸ νὰ δείρῃ κανεὶς ἐλεύθερον ἄνθρωπον ἀποτελεῖ ἐξύβρισιν. Αὐτὸ δὲν ἀληθεύει εἰς ὅλας τὰς περιπτώσεις ἀλλὰ μόνον ὅταν κάποιος χωρὶς νὰ ἔχῃ δίκαιον ἐπιτίθεται πρῶτος.

Ἄλλος ἕνας φαινομενικὸς συλλογισμὸς εἶναι ἐκεῖνος πού,

ἐν τοῖς ἐριστικοῖς παρὰ τὸ ἁπλῶς καὶ μὴ ἁπλῶς, ἀλλὰ τί, γίγνεται φαινόμενος συλλογισμός, οἷον ἐν μὲν τοῖς διαλεκτικοῖς ὅτι ἐστὶ τὸ μὴ ὂν ὄν, ἔστι γὰρ τὸ μὴ ὂν μὴ ὄν, καὶ ὅτι ἐπιστητὸν τὸ ἄγνωστον, ἔστιν γὰρ ἐπιστητὸν τὸ ἄγνωστον ὅτι ἄγνωστον, οὕτως καὶ ἐν τοῖς ῥητορικοῖς ἐστιν φαινόμενον ἐνθύμημα παρὰ τὸ μὴ ἁπλῶς εἰκὸς ἀλλὰ τὶ εἰκός. Ἔστιν δὲ τοῦτο οὐ καθόλου, ὥσπερ καὶ Ἀγάθων λέγει

τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι,
βροτοῖσι πολλὰ τυγχάνειν οὐκ εἰκότα.

Γίγνεται γὰρ τὸ παρὰ τὸ εἰκός, ὥστε εἰκὸς καὶ τὸ παρὰ τὸ εἰκός. Εἰ δὲ τοῦτο, ἔσται τὸ μὴ εἰκὸς εἰκός. Ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ καὶ ἐπὶ τῶν ἐριστικῶν τὸ κατὰ τί καὶ πρός τί καὶ πῇ οὐ προστιθέμενα ποιεῖ τὴν συκοφαντίαν, καὶ ἐνταῦθα παρὰ τὸ εἰκὸς εἶναι μὴ ἁπλῶς ἀλλὰ τὶ εἰκός. Ἔστι δ' ἐκ τούτου τοῦ τόπου ἡ Κόρακος τέχνη συγκειμένη· ἄν τε γὰρ μὴ ἔνοχος ᾖ τῇ αἰτίᾳ, οἷον ἀσθενὴς ὢν αἰκίας φεύγῃ· οὐ γὰρ εἰκός· κἂν ἔνοχος ὤν, οἷον ἂν ἰσχυρὸς ὤν· οὐ γὰρ εἰκός, ὅτι εἰκὸς ἔμελλε δόξειν. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ἢ γὰρ ἔνοχον ἀνάγκη ἢ μὴ ἔνοχον εἶναι τῇ αἰτίᾳ· φαίνεται μὲν οὖν ἀμφότερα εἰκότα, ἔστι δὲ τὸ μὲν εἰκός, τὸ δὲ

---

1. Ὁ Κόραξ μαζὶ μὲ τὸν Τεισίαν ἦσαν οἱ πρῶτοι συγγράψαντες περὶ ρητορικῆς τέχνης.

καθὼς καὶ εἰς τὰς συζητητικὰς προτάσεις, στηρίζεται ἐπάνω εἰς τὸ ὅτι ἕνα καὶ τὸ αὐτὸ πρᾶγμα τὸ ἐξετάζομεν ἄλλοτε μὲν ἀπολύτως καὶ ἄλλοτε ὄχι ἀπολύτως, ἀλλὰ ὑπὸ κάποιαν συγκεκριμένην μορφήν. Ὅπως λ.χ., εἰς τὴν διαλεκτικήν, ὅταν ὑποστηρίζῃ κανεὶς ὅτι τὸ μὴ ὂν ὑπάρχει ἀφοῦ εἶναι κάτι, δηλ. ἀφοῦ εἶναι μὴ ὄν, ἢ ὅτι τὸ ἄγνωστον μπορεῖ νὰ εἶναι ἀντικείμενον τῆς γνώσεώς μας, ἀφοῦ μποροῦμε νὰ γνωρίζωμεν ὅτι τὸ ἄγνωστον εἶναι ἄγνωστον, ἔτσι καὶ εἰς τὴν ρητορικὴν ὑπάρχει ἕνα φαινομενικὸν ἐνθύμημα ποὺ βασίζεται ἐπάνω εἰς πράγματα τὰ ὁποῖα ἀπολύτως μὲν δὲν εἶναι ἀληθοφανῆ, εἶναι ὅμως ὑπὸ κάποιαν συγκεκριμένην μορφήν.

Αὐτὸ ἄλλωστε δὲν ἠμπορεῖ νὰ ὑπαχθῇ εἰς γενικὸν κανόνα καθὼς λέγει καὶ ὁ Ἀγάθων:

> «Ἴσως θἄπρεπε νὰ δεχθῇ κανεὶς πὼς φυσικὸ εἶναι τὸ νὰ συμβαίνουν στοὺς θνητοὺς πολλὰ πράγματα ποὺ δὲν εἶναι φυσικά».

Ἀληθινά, καὶ ἐκεῖνο ποὺ δὲν εἶναι φυσικὸν συμβαίνει. Ὥστε φυσικὸν εἶναι καὶ ὅ,τι γίνεται παρὰ φύσιν. Ἂν ὅμως αὐτὸ ἀληθεύῃ, τότε καὶ τὸ ἀφύσικον εἶναι φυσικόν. Ὄχι ὅμως ἀπολύτως, ἀλλὰ καθὼς συμβαίνει καὶ εἰς τὰς εριστικὰς συζητήσεις, ὅταν κανεὶς δὲν προσθέσῃ (τὸν καιρὸ ποὺ ἐκθέτει μίαν ὑπόθεσιν) τὸ πῶς καὶ ἐν σχέσει πρὸς τί καὶ ὑπὸ ποίας συνθήκας συνετελέσθη, τὴν παραμορφώνει μέχρι σημείου ὥστε αὐτὸ ποὺ λέγει καταντᾶ συκοφαντία. Ἔτσι καὶ εἰς τὴν περίπτωσιν ποὺ ἐξετάζομεν τὸ παρὰ φύσιν εἶναι ὄχι ἀπολύτως, ἀλλὰ ὑπὸ κάποιαν συγκεκριμένην μορφὴν φυσικόν.

Ἀπὸ αὐτὸν δὲ τὸν κοινὸν τόπον σύγκειται καὶ ἡ τέχνη τοῦ Κόρακος. Ἔτσι ἀπεδείκνυεν ὅτι δὲν εἶναι ἔνοχος καὶ ἐκεῖνος ποὺ δὲν ἔχει τὰ σωματικὰ προσόντα διὰ μίαν πρᾶξιν, λ.χ. ὁ ἀσθενικὸς ποὺ ἀποφεύγει τὰς αἰκίας, διότι αὐτὸς δὲν εἶναι φυσικὸν νὰ εἶναι ἔνοχος αἰκιῶν, ἀλλὰ καὶ ἐκεῖνος ποὺ εἶχε τὰ σωματικὰ προσόντα, λ.χ. ὁ ἰσχυρός, διότι αὐτὸς δὲν εἶναι φυσικὸν νὰ ὑπέπιπτεν εἰς αὐτοῦ τοῦ εἴδους τὴν πρᾶξιν, ἀφοῦ, ἂν τὸ ἔκαμνε, ὅλοι θὰ τὸ ἐθεώρουν ὡς φυσικὸν καὶ θὰ τὸν ὑπωπτεύοντο.

Ὁμοίους συλλογισμοὺς ἐφαρμόζει καὶ εἰς ὅλας τὰς ἄλλας περιπτώσεις. Ἀναγκαστικὰ ὅμως ὁ καθένας ἔχει σωματικὰς ἰδιότητας τοιαύτας ὥστε νὰ μπορῇ ἢ νὰ μὴ μπορῇ νὰ ἐκτελέσῃ μίαν ἄδικον πρᾶξιν. Ἐν τούτοις καὶ οἱ δύο συλλογισμοὶ φαίνονται ἀληθοφανεῖς· ἀλλὰ ὁ μὲν πρῶτος εἶναι

οὐχ ἁπλῶς ἀλλ' ὥσπερ εἴρηται. Καὶ τὸ τὸν ἥττω δὲ λόγον κρείττω ποιεῖν τοῦτ' ἐστίν. Καὶ ἐντεῦθεν δικαίως ἐδυσχέραινον οἱ ἄνθρωποι τὸ Πρωταγόρου ἐπάγγελμα· ψεῦδός τε γάρ ἐστιν, καὶ οὐκ ἀληθὲς ἀλλὰ φαινόμενον εἰκός, καὶ ἐν οὐδεμιᾷ τέχνῃ ἀλλ' ἐν ῥητορικῇ καὶ ἐριστικῇ.

25. *Καὶ περὶ μὲν ἐνθυμημάτων καὶ τῶν ὄντων καὶ τῶν φαινομένων εἴρηται, περὶ δὲ λύσεως ἐχόμενόν ἐστιν τῶν εἰρημένων εἰπεῖν. Ἔστιν δὲ λύειν ἢ ἀντισυλλογισάμενον ἢ ἔνστασιν ἐνεγκόντα. Τὸ μὲν οὖν ἀντισυλλογίζεσθαι δῆλον ὅτι ἐκ τῶν αὐτῶν τόπων ἐνδέχεται ποιεῖν· οἱ μὲν γὰρ συλλογισμοὶ ἐκ τῶν ἐνδόξων, δοκοῦντα δὲ πολλὰ ἐναντία ἀλλήλοις ἐστίν. Αἱ δ' ἐνστάσεις φέρονται καθάπερ καὶ ἐν τοῖς τοπικοῖς, τετραχῶς· ἢ γὰρ ἐξ ἑαυτοῦ ἢ ἐκ τοῦ ὁμοίου ἢ ἐκ τοῦ ἐναντίου ἢ ἐκ τῶν κεκριμένων. Λέγω δὲ* (I) *ἀφ' ἑαυτοῦ* 1402b *μέν, οἷον εἰ περὶ ἔρωτος εἴη τὸ ἐνθύμημα ὡς σπουδαῖος, ἡ ἔνστασις διχῶς· ἢ γὰρ καθόλου εἰπόντα ὅτι πᾶσα ἔνδεια πονηρόν, ἢ κατὰ μέρος ὅτι οὐκ ἂν ἐλέγετο Καύνιος ἔρως, εἰ μὴ ἦσαν καὶ πονηροὶ ἔρωτες.* (II) *Ἀπὸ δὲ τοῦ ἐναντίου ἔνστασις φέρεται, οἷον εἰ τὸ ἐνθύμημα ἦν ὅτι ὁ ἀγαθὸς ἀνὴρ πάντας τοὺς φίλους εὖ ποιεῖ, ἀλλ' οὐδ' ὁ μοχθηρὸς κακῶς,* (III) *ἀπὸ δὲ τοῦ ὁμοίου, οἷον εἰ ἦν τὸ ἐνθύμημα ὅτι οἱ κακῶς πεπονθότες ἀεὶ μισοῦσιν, ὅτι ἀλλ'*

---

1. Ὁ σοφιστὴς *Πρωταγόρας* ἀπὸ τὰ Ἄβδηρα ἰσχυρίζετο ὅτι μποροῦσε νὰ διδάξῃ πῶς θὰ κερδίζωνται οἱ χαμένες ὑποθέσεις, «τὸ τὸν ἥττω λόγον κρείττω ποιεῖν».

2. *Ἔνστασις* κατὰ τὸν Ἀριστοτέλην εἶναι ἡ διατύπωσις ἀντιθέτου προτάσεως ἢ κατὰ τὸν ὁρισμόν του «*ἔνστασις ἐστὶ πρότασις προτάσει ἐναντία*» (Ἀναλυτικὰ Β 26).

3. Τοπικὰ Η 10.

4. Ὁ ἔρως τῆς Βύβλιδος ἀπὸ τὴν Καρίαν πρὸς τὸν δίδυμον ἀδελφόν της Καῦνον. Τὸν ἀναφέρει ὁ Ὀβίδιος εἰς τὰς «Μεταμορφώσεις» του Ι Χ. 453.

ἀπολύτως, ὁ δὲ ἄλλος ὄχι ἀπολύτως, ἀλλὰ κατὰ τὸν τρόπον ποὺ τὸν διετυπώσαμεν. Αὐτὸ δὲ εἶναι ἐκεῖνο ποὺ λέγεται ὅτι κάμνομεν νὰ κερδίζῃ ἡ χαμένη ὑπόθεσις. Καὶ γι' αὐτὸ δικαίως ὁ κόσμος ἐδυσφοροῦσε δι' ἐκεῖνα ποὺ ὑπέσχετο ὁ Πρωταγόρας [1] εἰς τοὺς μαθητάς του. Διότι ὅλη αὐτὴ ἡ τέχνη ἦτο μία ψευτιά, καὶ ὄχι ἀλήθεια ἀλλ' ἁπλῶς μία φαινομενικὴ ἀληθοφάνεια, ἡ ὁποία δὲν συναντᾶται εἰς καμμίαν ἄλλην τέχνην παρὰ μόνον εἰς τὴν ρητορικὴν καὶ εἰς τὴν συζητητικήν.

25. ΠΕΡΙ ΤΗΣ ΑΝΑΣΚΕΥΗΣ

Ἐξεθέσαμεν ὅ,τι ἔπρεπε σχετικὰ μὲ τὰ ἀληθινὰ καὶ μὲ τὰ φαινομενικὰ ἐνθυμήματα καὶ τώρα εἶναι σειρὰ νὰ ὁμιλήσωμεν ἐν συνεχείᾳ καὶ περὶ τῆς ἀνασκευῆς. Ἀνασκευάζομεν τὰ ἐπιχειρήματα τῶν ἀντιπάλων ἢ μὲ τὴν διατύπωσιν ἀντιθέτων συλλογισμῶν ἢ μὲ τὴν διατύπωσιν ἐνστάσεων [2]. Καὶ τοὺς μὲν ἀντιθέτους συλλογισμοὺς εἶναι φανερὸν ὅτι μποροῦμε νὰ τοὺς συνθέσωμεν ἀπὸ τοὺς ἰδίους κοινοὺς τόπους ποὺ ἐξεθέσαμεν ἕως τώρα. Πράγματι, οἱ συλλογισμοὶ συγκροτοῦνται ἀπὸ προτάσεις ποὺ φαίνονται πιθαναὶ εἰς δὲ κάθε συγκεκριμένην περίπτωσιν ὑπάρχουν πολλὰ ἐνδεχόμενα ἐξ ἴσου πιθανά, ἀλλὰ ἀντίθετα μεταξύ των. Αἱ δὲ ἐνστάσεις, ὅπως ἐξεθέσαμεν καὶ εἰς τὰ Τοπικὰ [3], ἔχουν τέσσαρας μορφάς· δηλαδὴ ἡ ἔνστασις διατυπώνεται ἢ μὲ βάσιν αὐτὸ τὸ ἴδιο πρᾶγμα περὶ τοῦ ὁποίου ἦτο καὶ ἡ ἀντίθετος πρότασις, ἢ μὲ βάσιν τὸ ὅμοιον ἢ τὸ ἐναντίον ἢ ἐκεῖνο ποὺ ἔχει ἤδη κριθῆ. Ἐννοῶ δ' ἔνστασιν βασιζομένην ἐπάνω εἰς αὐτὸ τὸ ἴδιο πρᾶγμα, τὴν ἑξῆς: λ.χ. ἂν θέλωμεν νὰ ἀνασκευάσωμεν ἕνα ἐνθύμημα περὶ ἔρωτος, ὅτι τάχα εἶναι σπουδαῖος, ἠμποροῦμεν κατὰ δύο τρόπους νὰ φέρωμεν τὴν ἔνστασιν· ἢ δηλαδὴ κατὰ τρόπον γενικόν, ὑποστηρίζοντες ὅτι κάθε ἔλλειψις εἶναι κακὸ πρᾶγμα ἢ κατὰ τρόπον μερικὸν λέγοντες ὅτι δὲν θὰ ὑπῆρχε ἡ παροιμία «καύνιος ἔρως» [4], ἂν δὲν ὑπῆρχαν καὶ κακοὶ ἔρωτες. Ἀπὸ τὸ ἀντίθετον πάλιν δημιουργεῖται ἡ ἔνστασις ὅπως λ.χ. ἂν τὸ ἐνθύμημα εἶναι ὅτι ὁ καλὸς ἄνθρωπος εὐεργετεῖ ὅλους τοὺς φίλους του, ἡ ἔνστασις ὅτι καὶ ὁ κακὸς δὲν βλάπτει ὅλους τοὺς ἰδικούς του φίλους. Ἀπὸ τὸ ὅμοιον πάλιν, ἂν εἰς τὸ ἐνθύμημα ὅτι ἐκεῖνοι ποὺ ἐβλάβησαν ἀπὸ κάποιον τὸν μισοῦν πάντοτε, ἀντιτάξωμεν τὴν ἔνστασιν ὅτι, οὔτε ἐκεῖνοι ποὺ

οὐδ' οἱ εὖ πεπονθότες ἀεὶ φιλοῦσιν. (IV). Αἱ δὲ κρίσεις αἱ ἀπὸ τῶν γνωρίμων ἀνδρῶν, οἷον εἴ τις ἐνθύμημα εἶπεν ὅτι τοῖς μεθύουσι δεῖ συγγνώμην ἔχειν, ἀγνοοῦντες γὰρ ἁμαρτάνουσιν. ἔνστασις ὅτι οὔκουν ὁ Πιττακὸς αἰνετός· οὐ γὰρ ἂν μείζους ζημίας ἐνομοθέτησεν ἐάν τις μεθύων ἁμαρτάνῃ.

Ἐπεὶ δὲ τὰ ἐνθυμήματα λέγεται ἐκ τεττάρων, τὰ δὲ τέτταρα ταῦτ' ἐστὶν εἰκὸς παράδειγμα τεκμήριον σημεῖον, ἔστι δὲ τὰ μὲν ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ ἢ ὄντων ἢ δοκούντων συνηγμένα ἐνθυμήματα ἐκ τῶν εἰκότων, τὰ δὲ [δι' ἐπαγωγῆς] διὰ τοῦ ὁμοίου, ἢ ἑνὸς ἢ πλειόνων, ὅταν λαβὼν τὸ καθόλου εἶτα συλλογίσηται τὰ κατὰ μέρος, διὰ παραδείγματος. τὰ δὲ διὰ ἀναγκαίου καὶ ⟨ἀεὶ⟩ ὄντος διὰ τεκμηρίου, τὰ δὲ διὰ τοῦ καθόλου ἢ τοῦ ἐν μέρει ὄντος, ἐάν τε ὂν ἐάν τε μή, διὰ σημείων, τὸ δὲ εἰκὸς οὐ τὸ ἀεὶ ἀλλὰ τὸ ὡς ἐπὶ τὸ πολύ, φανερὸν ὅτι τὰ τοιαῦτα μὲν τῶν ἐνθυμημάτων ἀεὶ ἔστι λύειν φέροντα ἔνστασιν, ἡ δὲ λύσις φαινομένη ἀλλ' οὐκ ἀληθὴς ἀεί· οὐ γὰρ ὅτι οὐκ εἰκός, λύει ὁ ἐνιστάμενος, ἀλλ' ὅτι οὐκ ἀναγκαῖον. Διὸ καὶ ἀεὶ ἔστι πλεονεκτεῖν ἀπολογούμενον μᾶλλον ἢ κατηγοροῦντα διὰ τοῦτον τὸν παραλογισμόν· ἐπεὶ γὰρ ὁ μὲν κατηγορῶν διὰ εἰκότων ἀποδείκνυσιν — ἔστι δὲ οὐ ταὐτὸ λῦσαι ἢ ὅτι οὐκ εἰκὸς ἢ ὅτι οὐκ ἀναγκαῖον, ἀεὶ δ' ἔχει ἔνστασιν τὸ ὡς ἐπὶ τὸ πολύ· οὐ

εὐηργετήθησαν ἀπὸ κάποιον τὸν ἀγαποῦν εἰς ὅλην των τὴν ζωήν. Ἰδοὺ τέλος καὶ ἕνα παράδειγμα ἐνστάσεως ποὺ βασίζεται ἐπάνω εἰς π ρ ᾶ γ μ α π ο ὺ ἐ κ ρ ί θ η ἤδη· φυσικὰ πρέπει ἡ κρίσις ν' ἀναφέρεται εἰς κάποιο ἐπιφανὲς πρόσωπον. Ἔτσι ἐὰν κανεὶς διετύπωσε τὸ ἐνθύμημα ὅτι οἱ μεθυσμένοι πρέπει νὰ συγχωροῦνται, διότι δὲν ἔχουν συναίσθησιν τοῦ κακοῦ ποὺ ἔκαναν, ἠμποροῦμεν νὰ φέρωμεν τὴν ἔνστασιν, ὅτι τότε δὲν πρέπει νὰ ἐπαινῆται ὁ Πιττακὸς ποὺ ἐνομοθέτησε βαρυτέρας ποινὰς δι' ὅσα ἀδικήματα διαπράττονται εἰς κατάστασιν μέθης.

Ἐπειδὴ δὲ τέσσαρες εἶναι αἱ βάσεις τῶν ἐνθυμημάτων, δηλ. ἡ ἀληθοφάνεια, τὸ παράδειγμα, ἡ ἀπόδειξις καὶ ἡ ἔνδειξις· λέγομεν δὲ ὅτι ἕνα ἐνθύμημα στηρίζεται εἰς τὴν ἀληθοφάνειαν ὅταν συνάγεται ἀπὸ ἐκεῖνα ποὺ συνήθως συμβαίνουν ἢ φαίνονται ὅτι συμβαίνουν· εἰς τὸ παράδειγμα πάλιν στηρίζεται τὸ ἐνθύμημα ποὺ διὰ τῆς ἐπαγωγῆς συνάγεται ἀπὸ ἕνα ἢ περισσότερα ὅμοια πράγματα, ὅταν δηλ. κάποιος ἀναγάγῃ τὰ ὅμοια αὐτὰ γεγονότα εἰς γενικὸν ἀξίωμα καὶ ἀπὸ ἐκεῖ καταρτίσῃ συλλογισμὸν καὶ διὰ τὴν εἰδικὴν περίπτωσιν ποὺ χειρίζεται· εἰς τὴν ἀπόδειξιν πάλιν στηρίζονται τὰ ἐνθυμήματα ποὺ ἐπιτυγχάνονται διὰ τῆς γνώσεως τῶν πραγμάτων ποὺ ἀναγκαστικὰ καὶ χωρὶς ἄλλο ὑπάρχουν. Τέλος εἰς τὴν ἔνδειξιν στηρίζονται τὰ ἐνθυμήματα ποὺ συνάγονται ἀπὸ γεγονότα τὰ ὁποῖα συμβαίνουν γενικὰ ἢ ἐν μέρει ἀνεξαρτήτως τοῦ ἂν εἰς τὴν συγκεκριμένην περίπτωσιν ὑπάρχουν ἢ ὄχι, καὶ ἐπειδὴ ἀληθοφανὲς εἶναι ἐκεῖνο ποὺ συμβαίνει ὄχι πάντοτε ἀλλὰ συνήθως μόνον, δι' ὅλους αὐτοὺς τοὺς λόγους εἶναι φανερὸν ὅτι αὐτοῦ τοῦ εἴδους τὰ ἐνθυμήματα εἶναι πάντοτε δυνατὸν νὰ τὰ ἀνασκευάζῃ κανεὶς προβάλλων ἐνστάσεις, αἱ ἐνστάσεις ὅμως αὐταὶ εἶναι φαινομενικαὶ καὶ δὲν ἀληθεύουν πάντοτε. Πράγματι ἐκεῖνος ποὺ ἐνίσταται δὲν ἰσχυρίζεται ὅτι αὐτὰ ποὺ λέγει ὁ ἀντίπαλός του δὲν εἶναι ἀληθοφανῆ, ἀλλὰ μόνον ὅτι δὲν εἶναι κατ' ἀνάγκην ἀληθῆ. Καὶ ἔτσι ὁ παραλογισμὸς αὐτὸς κάμνει πάντοτε πλεονεκτικὴν τὴν θέσιν τοῦ ἀπολογουμένου ἀπέναντι τοῦ κατηγόρου του. Πράγματι, ὁ μὲν κατήγορος προσπαθεῖ νὰ ἀποδείξῃ τοὺς ἰσχυρισμούς του βασιζόμενος ἐπάνω εἰς τὴν ἀληθοφάνειαν τῶν ἐπιχειρημάτων του. Δὲν εἶναι ὅμως τὸ ἴδιο πρᾶγμα τὸ νὰ ἀνασκευάσῃς ἕνα ἰσχυρισμὸν ὅτι δὲν εἶναι ἀληθοφανὴς καὶ τὸ νὰ τὸν ἀνασκευάσῃς ἁπλῶς ὅτι δὲν εἶναι κατ' ἀνάγκην ἀληθής. Εἰς ἐκεῖνο ποὺ συνήθως συμβαίνει πάντοτε ἠμπορεῖ νὰ

γὰρ ἂν ἦν ⟨ὡς ἐπὶ τὸ πολὺ καὶ⟩ εἰκὸς ἀλλ᾽ ἀεὶ καὶ ἀναγκαιον· — ὁ δὲ κριτὴς οἴεται, ἂν οὕτω λυθῇ, ἢ οὐκ εἰκὸς εἶναι ἢ οὐχ αὐτῷ κριτέον, παραλογιζόμενος ὥσπερ ἐλέγομεν· οὐ γὰρ ἐκ τῶν ἀναγκαίων δεῖ αὐτὸν μόνον κρίνειν, ἀλλὰ καὶ ἐκ τῶν εἰκότων· τοῦτο γάρ ἐστι τὸ γνώμῃ τῇ ἀρίστῃ κρίνειν· οὔκουν ἱκανὸν ἂν λύσῃ ὅτι οὐκ ἀναγκαῖον, ἀλλὰ δεῖ λύειν ὅτι οὐκ εἰκός. Τοῦτο δὲ συμβήσεται, ἐὰν ᾖ ἡ ἔνστασις μᾶλλον ὡς ἐπὶ τὸ πολύ. Ἐνδέχεται δὲ εἶναι τοιαύτην διχῶς, ἢ τῷ χρόνῳ ἢ τοῖς πράγμασιν, κυριώτα-
1403a τα δέ, εἰ ἀμφοῖν· εἰ γὰρ τὰ ⟨τὰ πλείω καὶ⟩ πλεονάκις οὕτως, τοῦτ᾽ ἐστὶν εἰκὸς μᾶλλον. Λύεται δὲ καὶ τὰ σημεῖα καὶ τὰ διὰ σημείου ἐνθυμήματα εἰρημένα, κἂν ᾖ ὑπάρχοντα, ὥσπερ ἐλέχθη ἐν τοῖς πρώτοις· ὅτι γὰρ ἀσυλλόγιστόν ἐστιν πᾶν σημεῖον, δῆλον ἡμῖν ἐκ τῶν ἀναλυτικῶν. Πρὸς δὲ τὰ παραδειγματώδη ἡ αὐτὴ λύσις καὶ τὰ εἰκότα· ἐάν τε γὰρ ἔχωμεν ⟨ἕν⟩ τι οὐχ οὕτω, λέλυται, ὅτι οὐκ ἀναγκαῖον, εἰ καὶ τὰ πλείω ἢ πλεονάκις ἄλλως· ἐάν τε καὶ τὰ πλείω καὶ τὰ πλεονάκις οὕτω, μαχετέον ἢ ὅτι τὸ παρὸν οὐχ ὅμοιον ἢ οὐχ ὁμοίως ἢ διαφοράν γέ τινα ἔχει. Τὰ δὲ τεκμήρια καὶ τεκμηριώδη ἐνθυμήματα κατὰ μὲν τὸ ἀσυλλόγιστον οὐκ ἔσται λῦ-

1. Βιβλίον Α κεφ. Β.
2. Ἀναλυτικὰ Β 27.

ἀντιταχθῇ κάποια ἔνστασις. Ἀλλέως δὲν θὰ ἦτο πρᾶγμα ἀληθοφανὲς καὶ ποὺ συνήθως μόνον συμβαίνει, ἀλλὰ αἰωνίως καὶ ἀναγκαστικὰ ἀληθινόν. Ὁ δὲ κριτὴς ὅταν τοιαύτη ἀνασκευὴ γίνῃ τῆς κατηγορίας, πιστεύει ἢ ὅτι αὕτη δὲν ἦτο ἀληθοφανὴς ἢ ὅτι δὲν πρέπει νὰ βασισθῇ ἐπάνω εἰς αὐτὸ καὶ νὰ καταδικάσῃ, ἀλλὰ ἔτσι πίπτει εἰς παραλογισμόν, καθὼς εἴπομεν. Διότι ὁ δικαστὴς δὲν πρέπει νὰ κρίνῃ μόνον βασιζόμενος ἐπάνω εἰς ὅσα κατ' ἀνάγκην ἀληθεύουν, ἀλλὰ καὶ ἐπάνω εἰς ὅσα φαίνονται ἀληθῆ καὶ φυσικά. Αὐτὸ πράγματι εἶναι τὸ νὰ κρίνῃ κανεὶς κατὰ συνείδησιν. Δὲν εἶναι λοιπὸν ἀρκετὸν νὰ ἀνασκευάσῃ ὁ ἀπολογούμενος τοὺς ἰσχυρισμοὺς τοῦ ἀντιδίκου του, ἀποδεικνύων ὅτι δὲν ἀληθεύουν κατ' ἀνάγκην, ἀλλὰ πρέπει νὰ ἀποδείξῃ ὅτι δὲν εἶναι κἂν ἀληθοφανεῖς. Τοῦτο δὲ θὰ προκύψῃ ἂν τὸ περιεχόμενον τῆς ἐνστάσεώς του εἶναι ἐκεῖνο ποὺ συνήθως συμβαίνει. Εἶναι δὲ δυνατὸν τοῦτο κατὰ δύο τρόπους, εἴτε ἐν σχέσει πρὸς τὸν χρόνον εἴτε ἐν σχέσει πρὸς τὰ γεγονότα, ἀκόμη δὲ καλύτερα ἂν καὶ ὡς πρὸς τὰ δύο σημεῖα αὐτὰ ἡ ἔνστασις εἶναι ἀληθοφανεστέρα ἀπὸ τὸν ἀντίθετον ἰσχυρισμόν, διότι, ἐὰν τὶς πιὸ πολλὲς φορὲς τὰ πράγματα συμβαίνουν κατ' αὐτὸν τὸν τρόπον ποὺ ἐκτίθεται μέσα εἰς τὴν ἔνστασιν, εἶναι καὶ ἀληθοφανεστέρα. Καὶ αἱ ἐνδείξεις δέ, καθὼς καὶ τὰ ἐνθυμήματα, ποὺ στηρίζονται ἐπὶ ἐνδείξεων, ἠμποροῦν νὰ ἀνασκευασθοῦν καὶ ἂν ἀκόμη ἀνταποκρίνωνται εἰς τὴν ἀλήθειαν, καθὼς ἐξεθέσαμεν ἤδη εἰς τὸ πρῶτον βιβλίον [1]. Πράγματι, ἀπὸ τὰ Ἀναλυτικὰ [2] εἶναι φανερὸν ὅτι κάθε ἔνδειξις δὲν ἀποτελεῖ συλλογισμόν. Ἡ ἀνασκευὴ πάλιν τῶν ἐνθυμημάτων, ποὺ βασίζονται ἐπάνω εἰς τὸ παράδειγμα, γίνεται κατὰ τὸν ἴδιον τρόπον ὅπως καὶ ἐκείνων ποὺ βασίζονται εἰς τὴν ἀληθοφάνειαν Πράγματι, ἐὰν ἔχωμεν ἔστω καὶ ἓν μόνον ὅμοιον γεγονὸς ποὺ δὲν συνετελέσθη κατὰ τὸν ἴδιον τρόπον, ἠμποροῦμεν νὰ ἀνασκευάσωμεν τὸ ἐνθύμημα αὐτοῦ τοῦ εἴδους, ἂν καὶ τὰ περισσότερα καὶ συχνότερα ὅμοια γεγονότα συμφωνοῦν μὲ τὴν ἀντίθετον ἄποψιν. Καὶ ἂν δὲ τὰ περισσότερα καὶ τὶς περισσότερες φορὲς συμβαίνουν κατὰ τὴν ἀντίθετον πρὸς τὴν ἰδικήν μας ἄποψιν, πρέπει νὰ φέρωμεν τὴν ἀντίρρησιν ὅτι ἡ συγκεκριμένη περίπτωσίς μας δὲν εἶναι ὁμοία ἢ δὲν ἐμφανίζεται ὑπὸ τὰς αὐτὰς συνθήκας ἢ πάντως ἔχει κάποιας διαφοράς. Ὡς πρὸς τὰς ὑλικὰς ὅμως ἀποδείξεις καὶ τὰ ἐνθυμήματα ποὺ βασίζονται ἐπάνω εἰς αὐτὰς δὲν εἶναι δυνατὸν νὰ τὰς ἀνασκευάσωμεν, ἐπειδὴ δὲν ἀποτελοῦν συλλογισμοὺς (καὶ τὸ σημεῖον δὲ τοῦ-

σαι (δῆλον δὲ καὶ τοῦθ' ἡμῖν ἐκ τῶν ἀναλυτικῶν), λείπεται δ' ὡς οὐχ ὑπάρχει τὸ λεγόμενον δεικνύναι. Εἰ δὲ φανερὸν καὶ ὅτι ὑπάρχει καὶ ὅτι τεκμήριον, ἄλυτον ἤδη γίγνεται τοῦτο· πάντα γὰρ γίγνεται ἀπόδειξις ἤδη φανερά.

26. Τὸ δ' αὔξειν καὶ μειοῦν οὐκ ἔστιν ἐνθυμήματος στοιχεῖον· τὸ γὰρ αὐτὸ λέγω στοιχεῖον καὶ τόπον· ἔστιν γὰρ στοιχεῖον καὶ τόπος, εἰς ὃ πολλὰ ἐνθυμήματα ἐμπίπτει. Τὸ δ' αὔξειν καὶ μειοῦν ἐστὶν [ἐνθυμήματα] πρὸς τὸ δεῖξαι ὅτι μέγα ἢ μικρόν, ὥσπερ καὶ ὅτι ἀγαθὸν ἢ κακὸν ἢ δίκαιον ἢ ἄδικον καὶ τῶν ἄλλων ὁτιοῦν Ταῦτα δ' ἐστὶν πάντα περὶ ἃ οἱ συλλογισμοὶ καὶ τὰ ἐνθυμήματα, ὥστ' εἰ μηδὲ τούτων ἕκαστον ἐνθυμήματος τόπος οὐδὲ τὸ αὔξειν καὶ μειοῦν Οὐδὲ τὰ λυτικὰ ἐνθυμήματος εἶδός τι ἐστιν [ἄλλο τῶν κατασκευαστικῶν]· δῆλον γὰρ ὅτι λύει μὲν ἢ δείξας ἢ ἔνστασιν ἐνεγκών. ἀνταποδεικνύουσιν δὲ τὸ ἀντικείμενον, οἷον εἰ ἔδειξεν ὅτι γέγονεν, οὗτος ὅτι οὐ γέγονεν, εἰ δὲ ὅτι οὐ γέγονεν, οὗτος ὅτι γέγονεν. Ὥστε αὕτη μὲν οὐκ ἂν εἴη ἡ διαφορά· τοῖς αὐτοῖς γὰρ χρῶνται ἀμφότεροι· ὅτι γὰρ οὐκ ἔστιν ἢ ἔστιν, ἐνθυμήματα φέρουσιν· ἡ δ' ἔνστασις οὐκ ἔστιν ἐνθύμημα. ἀλλὰ καθάπερ ἐν τοῖς τοπικοῖς τὸ εἰπεῖν δόξαν τινὰ ἐξ ἧς ἔσται δῆλον ὅτι οὐ συλλελόγισται ἢ ὅτι ψεῦδός τι εἴληφεν.

Ὑπὲρ μὲν οὖν παραδειγμάτων καὶ γνωμῶν καὶ ἐνθυμημάτων καὶ ὅλως τῶν περὶ τὴν διάνοιαν, ὅθεν τε εὐπορήσομεν
1403b καὶ ὡς αὐτὰ λύσομεν, εἰρήσθω ἡμῖν τοσαῦτα, λοιπὸν δὲ διελθεῖν περὶ λέξεως καὶ τάξεως.

---

1. «Ἀναλυτικὰ» αὐτόθι.

2. Μὲ λίγα λόγια διὰ τῆς περικοπῆς αὐτῆς ὁ Ἀριστοτέλης ἐννοεῖ ὅτι ἡ ὑπερβολὴ ἢ ἡ μείωσις δὲν εἶναι στοιχεῖα χρήσιμα διὰ τὴν κατασκευὴν ἐνθυμημάτων, ἀλλ' ἀπεναντίας τὰ ἐνθυμήματα εἶναι χρήσιμα διὰ νὰ ὑπερβάλωμεν ἢ νὰ μειώσωμεν τὴν σημασίαν τοῦ θέματος ποὺ χειρ ζόμεθα.

3. «Τοπικὰ» Η 8.

το μᾶς εἶναι γνωστὸν ἀπὸ τὰ 'Αναλυτικά [1]). Μᾶς μένει δὲ μόνον νὰ ἀποδείξωμεν τὴν ἀνυπαρξίαν των. 'Εὰν ὅμως εἶναι φανερὰ ἡ ὕπαρξίς των καὶ περὶ αὐτῆς ὑπάρχουν ὑλικαὶ ἀποδείξεις, δὲν χωρεῖ ἀνασκευή, διότι ὑπάρχει πλέον τελεία ἀπόδειξις.

26. ΠΕΡΙ ΥΠΕΡΒΟΛΗΣ ΚΑΙ ΜΕΙΩΣΕΩΣ

Ἡ ὑπερβολὴ καὶ ἡ μείωσις δὲν εἶναι στοιχεῖον τοῦ ἐνθυμήματος. Τοὺς ὅρους «στοιχεῖον» «καὶ τόπος» μεταχειρίζομαι μὲ τὴν αὐτὴν ἔννοιαν, διότι στοιχεῖον καὶ τόπος εἶναι αἱ κατηγορίαι εἰς τὰς ὁποίας πολλὰ ἐνθυμήματα ὑπάγονται. 'Αλλὰ ἡ ὑπερβολὴ καὶ ἡ μείωσις εἶναι ἐνθυμήματα ποὺ σκοπὸν ἔχουν νὰ ἀποδείξουν ὅτι κάποιο πρᾶγμα ἔχει μικρὰν ἢ μεγάλην σημασίαν, ὅπως ὑπάρχουν καὶ ἐνθυμήματα, ποὺ σκοπὸν ἔχουν νὰ δείξουν ὅτι κάποιο πρᾶγμα εἶναι καλὸν ἢ κακὸν· ἢ δίκαιον ἢ ἄδικον ἢ ὁτιδήποτε ἄλλο. Ὅλα δὲ αὐτὰ ἀποτελοῦν τὸ ἀντικείμενον τῶν συλλογισμῶν καὶ τῶν ἐνθυμημάτων, καὶ ἑπομένως, ἂν τὸ καθένα ἀπὸ αὐτὰ δὲν ἀποτελῇ τόπον ἐνθυμήματος, τότε οὔτε καὶ ἡ ὑπερβολὴ ἢ ἡ μείωσις εἶναι τόποι [2]. 'Επίσης τὰ ἐνθυμήματα ποὺ χρησιμεύουν πρὸς ἀνασκευὴν τῶν ἀντιθέτων δὲν ἀποτελοῦν ἰδιαίτερον εἶδος. Πράγματι, εἶναι φανερὸν ὅτι ἀνασκευάζομεν κάτι, ἢ ὅταν ἀποδεικνύωμεν τὸ ἀντίθετον ἢ ὅταν θέλωμεν μίαν ἔνστασιν. 'Ανταποδεικνύομεν δέ, ὅταν ἀποδείξωμεν τὸ ἀντίθετον ἀπὸ ἐκεῖνο ποὺ ἀπέδειξεν ὁ ἀντίπαλός μας, λ.χ. ἐὰν ἐκεῖνος ἀπέδειξεν ὅτι κάτι τι ἔγινε, ἡμεῖς ἀποδεικνύομεν ὅτι δὲν ἔγινε, καὶ πάλιν, ἂν ἐκεῖνος ἀπέδειξεν ὅτι κάτι δὲν ἔγινε, ἡμεῖς ἀποδεικνύομεν ὅτι ἔγινε. Ὥστε εἰς τὸ σημεῖον αὐτὸ δὲν ὑπάρχει διαφορά, ἀφοῦ καὶ τὰ δύο μέρη χρησιμοποιοῦν τὰ ἴδια μέσα· δηλαδὴ ἀποδεικνύουν δι' ἐνθυμημάτων τὴν ὕπαρξιν ἢ τὴν ἀνυπαρξίαν κάποιου γεγονότος. Ἡ δὲ ἔνστασις δὲν εἶναι ἐνθύμημα. ἀλλά, ὅπως ἐξεθέσαμεν καὶ εἰς τὰ «Τοπικὰ» [3], ἀποτελεῖ τὴν ἔκφρασιν μιᾶς γνώμης ἀπὸ τὴν ὁποίαν καθίσταται φανερὸν ὅτι ὁ ἀντίπαλος δὲν διετύπωσε συλλογισμὸν ἢ ὅτι ὁ συλλογισμός του βασίζεται εἰς κάποιαν ψευδῆ πρότασιν.

'Εξεθέσαμεν ἀρκετὰ περὶ τῶν παραδειγμάτων καὶ τῶν γνωμικῶν καὶ τῶν ἐνθυμημάτων καὶ γενικὰ περὶ ἐκείνων ποὺ ἀποτελοῦν τὴν οὐσίαν τοῦ ρητορικοῦ λόγου, καθὼς καὶ περὶ τοῦ τρόπου τῆς χρησιμοποιήσεως καὶ τῆς ἀνασκευῆς των. Μᾶς μένει δὲ νὰ πραγματευθῶμεν περὶ τοῦ τρόπου τῆς ἐκφράσεως καὶ τῆς διατάξεως τοῦ λόγου.

ΤΕΧΝΗΣ ΡΗΤΟΡΙΚΗΣ Γ

1. Ἐπειδὴ τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον, ἓν μὲν ἐκ τίνων αἱ πίστεις ἔσονται, δεύτερον δὲ περὶ τὴν λέξιν, τρίτον δὲ πῶς χρὴ τάξαι τὰ μέρη τοῦ λόγου, περὶ μὲν τῶν πίστεων εἴρηται, καὶ ἐκ πόσων, ὅτι ἐκ τριῶν εἰσί, καὶ ταῦτα ποῖα, καὶ διὰ τί τοσαῦτα μόνα· ἢ γὰρ τῷ αὐτοί τι πεπονθέναι οἱ κρίνοντες, ἢ τῷ ποιούς τινας ὑπολαμβάνειν τοὺς λέγοντας, ἢ τῷ ἀποδεδεῖχθαι πείθονται πάντες. Εἴρηται δὲ καὶ τὰ ἐνθυμήματα, πόθεν δεῖ πορίζεσθαι· ἔστι γὰρ τὰ μὲν εἴδη τῶν ἐνθυμημάτων, τὰ δὲ τόποι. Περὶ δὲ τῆς λέξεως ἐχόμενόν ἐστιν εἰπεῖν· οὐ γὰρ ἀπόχρη τὸ ἔχειν ἃ δεῖ λέγειν, ἀλλ' ἀνάγκη καὶ ταῦτα ὡς δεῖ εἰπεῖν, καὶ συμβάλλεται πολλὰ πρὸς τὸ φανῆναι ποιόν τινα τὸν λόγον. Τὸ μὲν οὖν πρῶτον ἐζητήθη κατὰ φύσιν, ὅ περ πέφυκε πρῶτον, αὐτὰ τὰ πράγματα ἐκ τίνων ἔχει τὸ πιθανόν, δεύτερον δὲ τὸ ταῦτα τῇ λέξει διαθέσθαι, τρίτον δὲ τούτων ὃ δύναμιν μὲν ἔχει μεγίστην, οὔπω δ' ἐπικεχείρηται, τὰ περὶ τὴν ὑπόκρισιν. Καὶ γὰρ εἰς τὴν τραγικὴν καὶ ῥαψῳδίαν ὀψὲ παρῆλθεν· ὑπεκρίνοντο γὰρ αὐτοὶ τὰς τραγῳδίας οἱ ποιηταὶ τὸ πρῶτον. Δῆλον οὖν ὅτι καὶ περὶ τὴν ῥητορικήν ἐστι τὸ τοιοῦτον ὥσπερ καὶ περὶ τὴν ποιητικήν, ὅ περ

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

1. ΠΕΡΙ ΤΟΥ ΛΕΚΤΙΚΟΥ

Τρία πράγματα πρέπει νὰ ἐξετάσωμεν ἐν σχέσει πρὸς τὸν ρητορικὸν λόγον, πρῶτον μὲν ἀπὸ ποῖα στοιχεῖα πρέπει νὰ συντεθῇ ἡ ἀπόδειξις, δεύτερον περὶ τοῦ λεκτικοῦ καὶ τρίτον ποία πρέπει νὰ εἶναι ἡ διάταξις τῶν μερῶν τοῦ λόγου. Περὶ μὲν τῆς ἀποδείξεως ἐκάμαμεν ἤδη λόγον καὶ καθωρίσαμεν ἐκ πόσων μερῶν ἀποτελεῖται αὕτη, ὅτι δηλαδὴ ἡ ἀπόδειξις παρουσιάζεται ὑπὸ τρεῖς μορφὰς καὶ εἴπομεν ποῖαι εἶναι αἱ μορφαὶ αὐταὶ καὶ διατὶ εἶναι μόνον τόσαι. Πράγματι, οἱ ἀκροαταὶ πείθονται, εἴτε διότι αὐτοὶ οἱ ἴδιοι ὑπέστησαν κάποιαν ἐπίδρασιν, εἴτε διότι πιστεύουν ὅτι ὁ ρήτωρ ἔχει ὡρισμένας ἰδιότητας (ποὺ τὸν καθιστοῦν ἀξιόπιστον), εἴτε τέλος διότι ἀπεδείχθη κάτι τι. Ἐξεθέσαμεν ἐπίσης ἀπὸ ποῦ πρέπει νὰ ἀντλοῦμεν τὰ ἐνθυμήματα καὶ ἐκάμαμεν τὴν διάκρισιν μεταξὺ τῶν εἰδῶν καὶ τῶν τόπων τῶν ἐνθυμημάτων. Καὶ τώρα εἶναι καιρὸς ἐν συνεχείᾳ νὰ ὁμιλήσωμεν καὶ περὶ τοῦ λεκτικοῦ. Διότι δὲν ἀρκεῖ νὰ κατέχῃ κανεὶς τὸ θέμα τοῦ λόγου του, ἀλλὰ εἶναι ἀνάγκη νὰ τὸ ἐκθέσῃ ὅπως πρέπει, καὶ αὐτὸ συντελεῖ πολὺ εἰς τὸ νὰ φανῇ ὅτι ὁ λόγος ἔχει ὡρισμένας (καλὰς) ἰδιότητας. Στὴν ἀρχὴ λοιπὸν ἡ ἔρευνά μας ἐστράφη, σύμφωνα μὲ τὴν φυσικὴν σειρὰν καὶ ὅπως ἦτο φυσικόν, εἰς τὸ νὰ ἐξετάσωμεν αὐτὰ τὰ πράγματα, πῶς εἶναι δυνατὸν νὰ φανοῦν πιστευτά, κατόπιν πῶς θὰ τὰ διατυπώσωμεν ὑπὸ ἔποψιν λεκτικοῦ τρίτον δέ, τὸ ὁποῖον ἔχει μεγίστην σημασίαν, ἀλλὰ δὲν ἐξητάσθη ἀκόμη ἀπὸ κανένα, ὅ τι σχετίζεται μὲ τὴν ἠθοποιΐαν τοῦ ρήτορος. Ἡ ἠθοποιΐα πράγματι καὶ εἰς τὴν δραματικὴν καὶ εἰς τὴν ποίησιν πολὺ ἀργὰ ἔγινε δεκτή, διότι εἰς τὴν ἀρχὴν τὰς τραγωδίας τὰς παρίσταναν αὐτοὶ οἱ ἴδιοι οἱ ποιηταί των. Εἶναι λοιπὸν φανερὸν ὅτι καὶ εἰς τὴν ρητορικὴν συμβαίνει κάτι ὅμοιον μὲ αὐτὸ ποὺ γίνεται εἰς τὴν ποιητικὴν καὶ ποὺ τὸ ἐξήτασαν καὶ μερικοὶ ἄλλοι καὶ

ἕτεροί τινες ἐπραγματεύθησαν καὶ Γλαύκων ὁ Τήιος. Ἔστιν δὲ αὐτὴ μὲν ἐν τῇ φωνῇ, πῶς αὐτῇ δεῖ χρῆσθαι πρὸς ἕκαστον πάθος. οἷον πότε μεγάλῃ καὶ πότε μικρᾷ καὶ μέσῃ, καὶ πῶς τοῖς τόνοις, οἷον ὀξείᾳ καὶ βαρείᾳ καὶ μέσῃ, καὶ ῥυθμοῖς τίσι πρὸς ἕκαστα. Τρία γάρ ἐστιν περὶ ἃ σκοποῦσιν· ταῦτα δ' ἐστὶ μέγεθος ἁρμονία ῥυθμός. Τὰ μὲν οὖν ἆθλα σχεδὸν ἐκ τῶν ἀγώνων οὗτοι λαμβάνουσιν, καὶ καθάπερ ἐκεῖ μεῖζον δύνανται νῦν τῶν ποιητῶν οἱ ὑποκριταί, καὶ κατὰ τοὺς πολιτικοὺς ἀγῶνας διὰ τὴν μοχθηρίαν τῶν πολιτειῶν. Οὔπω δὲ σύγκειται τέχνη περὶ αὐτῶν, ἐπεὶ καὶ τὸ περὶ τὴν λέξιν ὀψὲ προῆλθεν· καὶ δοκεῖ φορτικὸν εἶναι,
1404a *καλῶς ὑπολαμβανόμενον. Ἀλλ' ὅλης οὔσης πρὸς δόξαν τῆς πραγματείας τῆς περὶ τὴν ῥητορικήν, οὐκ ὀρθῶς ἔχοντος, ἀλλ' ὡς ἀναγκαίου τὴν ἐπιμέλειαν ποιητέον. ἐπεὶ τό γε δίκαιον μηδὲν πλείω ζητεῖν περὶ τὸν λόγον ἢ ὡς μήτε λυπεῖν μήτ' εὐφραίνειν· δίκαιον γὰρ αὐτοῖς ἀγωνίζεσθαι τοῖς πράγμασιν, ὥστε τἆλλα ἔξω τοῦ ἀποδεῖξαι περίεργα ἐστίν· ἀλλ' ὅμως μέγα δύναται, καθάπερ εἴρηται, διὰ τὴν τοῦ ἀκροατοῦ μοχθηρίαν. Τὸ μὲν οὖν τῆς λέξεως ὅμως ἔχει τι μικρὸν ἀναγκαῖον ἐν πάσῃ διδασκαλίᾳ· διαφέρει γάρ τι πρὸς τὸ δηλῶσαι ὡδὶ ἢ ὡδὶ εἰπεῖν, οὐ μέντοι τοσοῦτον, ἀλλ' ἅπαντα φαντασία ταῦτ' ἐστὶ καὶ πρὸς τὸν ἀκροατήν· διὸ οὐδεὶς οὕτω γεωμετρεῖν διδάσκει. Ἐκείνη μὲν οὖν ὅταν ἔλθῃ ταὐτὸ ποιήσει τῇ ὑποκριτικῇ. ἐγκεχειρήκασιν δὲ ἐπ' ὀλίγον περὶ αὐτῆς εἰπεῖν τινές, οἷον Θρασύμαχος ἐν τοῖς ἐλέοις· καὶ ἔστιν*

---

1. Ὁ *Γλαύκων ὁ Τήϊος* ὑπῆρξε γλωσσογράφος. Τὸν ἀναφέρει ὁ Ἀθήναιος, XI 480.

2. Μὲ τὸ μέγεθος ἐννοεῖ τὴν δύναμιν τῆς φωνῆς, μὲ τὴν ἁρμονίαν τὸν βαθμὸν τοῦ τονισμοῦ καὶ μὲ τὸν ρυθμὸν τὸν χρόνον ποὺ πρέπει νὰ διατίθεται διὰ τὴν ἐκφώνησιν κάθε συλλαβῆς.

3. *Θρασύμαχος ὁ Χαλκηδόνιος*, διδάσκαλος τῆς ρητορικῆς, σύγχρονος τοῦ Πλάτωνος.

ὁ Γλαύκων ἀπὸ τὴν Τέω [1]. Ἡ ἠθοποιΐα συνίσταται εἰς τὴν μεταβολὴν τῆς φωνῆς ποὺ πρέπει νὰ χρησιμοποιῆται κατὰ διαφορετικὸν τρόπον διὰ νὰ ἐκφράσῃ τὰς διαφόρους ψυχικὰς καταστάσεις, δηλ. νὰ εἶναι ἄλλοτε δυνατή, ἄλλοτε χαμηλὴ καὶ ἄλλοτε μετρία, καθὼς καὶ εἰς τὸν τόνον, ποὺ εἶναι ἄλλοτε ὀξύς, ἄλλοτε βαρὺς καὶ ἄλλοτε μέτριος, καὶ εἰς τοὺς ρυθμοὺς ποὺ ἁρμόζουν εἰς κάθε περίστασιν. Πράγματι, τρία εἶναι τὰ σημεῖα ποὺ πρέπει νὰ προσέξωμεν ἐν σχέσει πρὸς τὴν ἠθοποιΐαν, δηλαδὴ τὸ μέγεθος, ἡ ἁρμονία καὶ ὁ ρυθμός [2]. Εἰς τοὺς ποιητικοὺς διαγωνισμοὺς σχεδὸν πάντοτε νικοῦν ἐκεῖνοι ποὺ ἀπαγγέλλουν καλύτερα, καὶ ὅπως εἰς αὐτοὺς τώρα ἡ ἠθοποιΐα νικᾷ τὴν ποίησιν, τὸ ἴδιο συμβαίνει καὶ εἰς τοὺς πολιτικοὺς ἀγῶνας ἐξ αἰτίας τῆς ἀτελείας τῶν πολιτειῶν. Ἐν τούτοις ἐπὶ τοῦ θέματος αὐτοῦ δὲν διετυπώθησαν ἀκόμη κανόνες, ἀφοῦ ἄλλωστε καὶ περὶ τοῦ λεκτικοῦ πολὺ ἀργὰ ἐδημιουργήθη τέχνη. Ἐπὶ πλέον ἂν ἐξετασθῇ καλὰ τὸ πρᾶγμα, φαίνεται ὅτι εἶναι εὐτελές. Ἐπειδὴ ὅμως μία πραγματεία περὶ τῆς ρητορικῆς τέχνης ὁλόκληρος ἀσχολεῖται μόνον μὲ τὸ τί θεωρεῖται χρήσιμον διὰ νὰ πεισθοῦν οἱ ἀκροαταί, δὲν πρέπει νὰ ἐξετάζωμεν μόνον τὰ πράγματα ποὺ εἶναι καθ' ἑαυτὰ ἀξιόλογα, ἀλλὰ καὶ ὅλα ὅσα χρειάζονται. Βέβαια σωστὸ εἶναι νὰ ἐπιδιώκῃ κανεὶς μὲ τὸν λόγον μόνον τὸ δίκαιον καὶ τίποτε ἄλλο καὶ νὰ μὴ ἀσχολῆται πῶς θὰ προξενήσῃ λύπην ἢ εὐχαρίστησιν εἰς τοὺς ἀκροατάς. Διότι δίκαιον εἶναι τὸ νὰ ἀγωνίζεται κανεὶς μόνον μὲ τὰ πραγματικὰ γεγονότα, καὶ ἑπομένως, ἐκτὸς τοῦ περὶ ἀποδείξεως μέρους, ὅλα τὰ ἄλλα εἶναι περιττά. Ἐν τούτοις τὰ περιττὰ αὐτὰ ἔχουν μεγάλην δύναμιν, ὅπως εἴπαμεν, ἐξ αἰτίας τῆς ἀτελείας τῶν ἀκροατῶν. Πάντως ὅ,τι σχετίζεται μὲ τὸ λεκτικὸν εἶναι κάπως χρήσιμον εἰς κάθε εἶδους διδασκαλίαν, διότι ὁτιδήποτε καὶ ἂν θέλωμεν νὰ ἀποδείξωμεν, ὑπάρχει διαφορὰ ἂν τὸ εἰποῦμε ἔτσι ἢ ἀλλέως. Φυσικὰ ἡ διαφορὰ δὲν εἶναι τόσον μεγάλη εἰς τὰς ἄλλας διδασκαλίας ὅσον εἰς τὴν ρητορικήν, διότι εἰς αὐτὴν ὅλα τὰ στοιχεῖα ἀποσκοποῦν εἰς τὴν δημιουργίαν ἐντυπώσεων ἐπὶ τοῦ ἀκροατοῦ. Καὶ γι' αὐτὸ προκειμένου λ.χ. περὶ τῆς γεωμετρίας οἱ διδάσκαλοί της δὲν ἀσχολοῦνται μὲ τὸ λεκτικόν. Ὁπωσδήποτε τὸ λεκτικὸν ἔχει τὰ ἴδια ἀποτελέσματα μὲ τὴν ἠθοποιΐαν καὶ ἐπεχείρησαν μερικοὶ νὰ πραγματευθοῦν συνοπτικῶς περὶ αὐτοῦ ὅπως ὁ Θρασύμαχος [3] εἰς τὸ βιβλίον του «ἡ τέχνη τῆς προκλήσεως οἴκτου». Ἡ

φύσεως τὸ ὑποκριτικὸν εἶναι καὶ ἀτεχνότερον, περὶ δὲ τὴν λέξιν ἔντεχνον. Διὸ καὶ τοῖς τοῦτο δυναμένοις γίνεται πάλιν ἆθλα καθάπερ καὶ τοῖς κατὰ τὴν ὑπόκρισιν ῥήτορσιν· οἱ γὰρ γραφόμενοι λόγοι μεῖζον ἰσχύουσι διὰ τὴν λέξιν ἢ διὰ τὴν διάνοιαν.

Ἤρξαντο μὲν οὖν κινῆσαι τὸ πρῶτον, ὥσπερ πέφυκεν, οἱ ποιηταί· τὰ γὰρ ὀνόματα μιμήματα ἐστίν, ὑπῆρξεν δὲ καὶ ἡ φωνὴ πάντων μιμητικώτατον τῶν μορίων ἡμῖν· διὸ καὶ αἱ τέχναι συνέστησαν ἥ τε ῥαψῳδία καὶ ἡ ὑποκριτικὴ καὶ ἄλλαι γε. Ἐπεὶ δ' οἱ ποιηταὶ λέγοντες εὐήθη διὰ τὴν λέξιν ἐδόκουν πορίσασθαι [τήνδε] τὴν δόξαν, διὰ τοῦτο ποιητικὴ πρώτη ἐγένετο λέξις, οἷον ἡ Γοργίου. Καὶ νῦν ἔτι οἱ πολλοὶ τῶν ἀπαιδεύτων τοὺς τοιούτους οἴονται διαλέγεσθαι κάλλιστα. Τοῦτο δ' οὐκ ἔστιν, ἀλλ' ἑτέρα λόγου καὶ ποιήσεως λεξις ἐστίν. Δηλοῖ δὲ τὸ συμβαῖνον· οὐδὲ γὰρ οἱ τὰς τραγῳδίας ποιοῦντες ἔτι χρῶνται τὸν αὐτὸν τρόπον, ἀλλ' ὥσπερ καὶ ἐκ τῶν τετραμέτρων εἰς τὸ ἰαμβεῖον μετέβησαν διὰ τὸ τῷ λόγῳ τοῦτο τῶν μέτρων ὁμοιότατον εἶναι τῶν ἄλλων, οὕτω καὶ τῶν ὀνομάτων ἀφείκασιν ὅσα παρὰ τὴν διάλεκτόν ἐστιν, οἷς [δ'] οἱ πρῶτοι ἐκόσμουν, καὶ ἔτι νῦν οἱ τὰ ἑξάμετρα ποιοῦντες [ἀφείκασιν] Διὸ γελοῖον μιμεῖσθαι τούτους οἳ αὐτοὶ οὐκέτι χρῶνται ἐκείνῳ τῷ τρόπῳ ὥστε φανερὸν ὅτι οὐχ ἅπαντα ὅσα περὶ λέξεως ἔστιν εἰπεῖν ἀκριβολογητέον ἡμῖν, ἀλλ' ὅσα περὶ τοιαύτης οἵας λέγομεν. Περὶ δ' ἐκείνης εἴρηται ἐν τοῖς περὶ ποιητικῆς.

1404b 2. *Ἔστω οὖν ἐκεῖνα τεθεωρημένα καὶ ὡρίσθω λέξεως ἀρετὴ σαφῆ εἶναι· σημεῖον γὰρ ὅτι ὁ λόγος, ὡς ἐὰν μὴ δηλοῖ, οὐ ποιήσει τὸ ἑαυτοῦ ἔργον· καὶ μήτε ταπεινὴν μήτε*

---

1. Ὑποτίθεται ὅτι αὐτὴ ἡ φράσις εἶναι ὑπαινιγμὸς διὰ τοὺς λόγους τοῦ Ἰσοκράτους, π.ύ, ὡς γνωστόν, δὲν ἐξεφωνήθησαν ποτέ.

2. Σοφιστής, ἐγεννήθη εἰς τὸ Λεόντιον τῆς Σικελίας τὸ 485 π. Χ. καὶ ἀπέθανεν εἰς τὴν Λάρισαν τὸ 380. Διδάσκαλος τοῦ Θουκυδίδου. Βλ. τὸν ὁμώνυμον διάλογον τοῦ Πλάτωνος, μὲ θέμα τὴν ρητορικήν.

μὲν ἠθοποιΐα εἶναι φυσικὸν δῶρον καὶ ἀνεξάρτητον ἀπὸ τὴν τέχνην, τὸ δὲ λεκτικὸν χρειάζεται τέχνην. Καὶ γι' αὐτὸ καὶ οἱ ρήτορες, ποὺ εἶναι δυνατοὶ εἰς τὸ λεκτικόν, νικοῦν καὶ αὐτοὶ εἰς τοὺς ἀγῶνας, ὅπως καὶ ὅσοι ἔχουν καλὴν ἠθοποιΐαν. Διότι οἱ γραπτοὶ λόγοι ἔχουν περισσοτέραν ἀξίαν ὡς λεκτικὸν παρὰ ὡς περιεχόμενον[1].

Πρῶτοι οἱ ποιηταί, ὅπως εἶναι φυσικόν, ἤρχισαν νὰ προκαλοῦν τὰ κινήματα τῆς ψυχῆς, διότι καὶ τὰ ὀνόματα εἶναι μιμήσεις τῶν πραγμάτων καὶ μὲ τὴν φωνὴν μποροῦμε νὰ μιμηθοῦμε καλύτερα παρὰ μὲ ὁποιοδήποτε ἄλλο μέρος τοῦ ἑαυτοῦ μας. Καὶ ἔτσι ἐδημιουργήθησαν ἡ ποιητική, ἡ ἠθοποιΐα καὶ αἱ ἄλλαι τέχναι. Ἐπειδὴ δὲ οἱ ποιηταί, καὶ ὅταν ἔλεγαν ἀσήμαντα πράγματα, ἐξ αἰτίας τοῦ λεκτικοῦ των ἐφαίνετο ὅτι ἐγίνοντο ἔνδοξοι, γι' αὐτὸ πρῶτα πρῶτα ἐδημιουργήθη τὸ ποιητικὸν ὕφος, ὅπως τοῦ Γοργίου[2]. Καὶ τώρα ἀκόμη οἱ πιὸ πολλοὶ ἀπὸ τοὺς ἀμορφώτους πιστεύουν ὅτι καλύτεροι ρήτορες εἶναι ὅσοι μεταχειρίζονται ποιητικὸν ὕφος. Τοῦτο ὅμως δὲν εἶναι σωστό, καὶ ἄλλο λεκτικὸν ταιριάζει εἰς τὸν πεζὸν καὶ ἄλλο εἰς τὸν ποιητικὸν λόγον. Ἰδοὺ δὲ καὶ ἡ ἀπόδειξις: καὶ αὐτοὶ ἀκόμη οἱ δραματικοὶ ποιηταὶ δὲν χρησιμοποιοῦν πλέον ποιητικὸν ὕφος, ἀλλὰ ἄφησαν τὸ τετράμετρον καὶ παρεδέχθησαν τὸ ἰαμβικὸν μέτρον, ἐπειδὴ αὐτὸ περισσότερον ἀπὸ κάθε ἄλλο μέτρον ὁμοιάζει μὲ τὸν πεζὸν λόγον· ἔτσι ἄφησαν καὶ τὰς ἐκφράσεις ποὺ δὲν συνηθίζονται εἰς τὴν καθημερινὴν συνομιλίαν καὶ τὰ στολίδια μὲ τὰ ὁποῖα οἱ παλαιότεροι ἐκόσμουν τὰς τραγῳδίας των καὶ τὰ ὁποῖα τώρα ἀκόμη οἱ ἐπικοὶ ποιηταὶ μεταχειρίζονται. Ἑπομένως θὰ ἦτο γελοῖον νὰ προσπαθοῦμε εἰς τὸν πεζὸν λόγον νὰ μιμηθοῦμε τοὺς ποιητάς, ἀφοῦ καὶ αὐτοὶ πλέον δὲν χρησιμοποιοῦν πλέον ἐκεῖνο τὸ ὕφος. Εἶναι λοιπὸν φανερὸν ὅτι δὲν πρόκειται ἡμεῖς τώρα νὰ ἐξαντλήσωμεν τελείως τὸ θέμα περὶ τοῦ λεκτικοῦ ἀλλὰ μόνον ἐκεῖνο τὸ μέρος ποὺ σχετίζεται μὲ τὸ ρητορικὸν λεκτικόν, ἐνῶ τὸ ἄλλο τὸ ἐξητάσαμεν εἰς τὸ βιβλίον μας περὶ τῆς ποιητικῆς.

